Δημόσια Κεντρική Βιβλιοθήκη Δημοσίου -
Μουσείο Τυπάλδου Γακωβάτων

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Λήξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

# ΩΡΟΛΟΓΙΟΝ

## ΤΟ ΜΕΓΑ

## ΠΕΡΙΕΧΟΝ

ΑΠΑΣΑΝ ΤΗΝ ΑΝΗΚΟΥΣΑΝ ΑΥΤΩ ΑΚΟΛΟΥΘΙΑΝ, ΚΑΤΑ ΤΗΝ ΤΑΞΙΝ ΤΗΣ ΑΝΑΤΟΛΙΚΗΣ ΤΟΥ ΧΡΙΣΤΟΥ ΕΚΚΛΗΣΙΑΣ, ΚΑΙ ΕΞΑΙΡΕΤΩΣ ΤΩΝ ΥΠΟΚΕΙΜΕΝΩΝ ΑΥΤΗ ΕΥΑΓΩΝ ΜΟΝΑΣΤΗΡΙΩΝ.

ΔΙΟΡΘΩΘΕΝ ΚΑΙ ΕΙΣ ΤΡΙΑ ΜΕΡΗ ΔΙΑΙΡΕΘΕΝ

ὑπὸ

ΒΑΡΘΟΛΟΜΕΙΟΥ ΚΟΥΤΛΟΥΜΟΥΣΙΑΝΟΥ

ΤΟΥ ΙΜΒΡΙΟΥ

ὑφ' οὗ

Προσετέθη καὶ σύντομος ἱστορία πασῶν τῶν Ἑορτῶν τοῦ ὅλου ἐνιαυτοῦ, καὶ πολλῶν τῶν τοῦ Μηνολογίου Ἁγίων.

ΕΚΔΟΣΙΣ ΠΕΜΠΤΗ

Ἀναθεωρηθεῖσα ὑπὸ τοῦ αὐτοῦ ἐπιδιορθωθεῖσά τε καὶ πλουτισθεῖσα δι' ἑνὸς Ἀλφαβητικοῦ πίνακος τῶν ἐν τῇ ἱερᾷ ταύτῃ Βίβλῳ ὀνομαστὶ ἀναφερομένων Ἁγίων.



ΕΝ ΒΕΝΕΤΙΑ

Ἐκ τῆς Ἑλληνικῆς Τυπογραφίας

ΤΟΥ ΝΟΙΚΙΟΥ

1841

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπωμάτων Ιακωβάτων

Λέγω ὑμῖν: Πάντα ὅσα ἂν προσευχόμενοι αἰτεῖσθε, πιστεύετε ὅτι λαμβάνετε, καὶ ἔσται ὑμῖν. Καὶ ὅταν στήκητε προσευχόμενοι, ἀφίετε εἴ τι ἔχετε κατά τινος· ἵνα καὶ ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς ἀφῇ ὑμῖν τὰ παραπτώματα ὑμῶν.

Μάρκ. ιά. .24-25

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΕΙΔΗΣΙΣ

## ΠΡΟΣ ΤΟΥΣ ΑΝΑΓΙΝΩΣΚΟΝΤΑΣ.

Ἐπειδὴ εἰς τὴν παροῦσαν ἔκδοσιν τοῦ Ὡρολογίου ἔγειναν μεταβολαί τινες καὶ μεταῤῥυθμίσεις, ἴσως δὲν θέλει φανῇ περιττὴ ἡ εἰς τὸ κοινὸν γνωστοποίησις τούτων.

Ἐν πρώτοις, ὅσα τῆς ἱερᾶς ταύτης Βίβλου ἀνάγονται εἰς προσευχήν, διηρέθησαν εἰς τρία γενικὰ μέρη, τῶν ὁποίων τὸ Πρῶτον περιέχει τὴν ἡμερονύκτιον Ἀκολουθίαν ἀπὸ τοῦ Μεσονυκτικοῦ ἕως τοῦ Ἀποδείπνου. Τὸ Δεύτερον περιλαμβάνει τὰ Ἀπολυτίκια καὶ Κοντάκια τοῦ Μηνολογίου, καὶ ἐφεξῆς τὰ τοῦ Τριῳδίου καὶ Πεντηκοσταρίου, καὶ ὅσα, εἴτε ἐν ταῖς Κυριακαῖς, εἴτε ἐν ταῖς λοιπαῖς, καὶ μὴ ἑορτασίμοις ἡμέραις τῆς Ἑβδομάδος ψάλλονται. Τὸ δὲ Τρίτον μέρος ἀπαρτίζουσιν αἱ τρεῖς Ἀκολουθίαι: τοῦ Ἀκαθίστου Ὕμνου, τῶν δύο Παρακλητικῶν Κανόνων, καὶ τῆς Θείας Μεταλήψεως, οἱ τρεῖς Ἱκετήριοι Κανόνες, ὁ εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ὁ εἰς τὸν Ἄγγελον, τὸν φύλακα τῆς τοῦ ἀνθρώπου ζωῆς, καὶ ὁ εἰς πάντας τοὺς Ἁγίους, καὶ ἐπὶ πᾶσιν, οἱ εἰς τὸν τίμιον Σταυρὸν εἰκοσιτέσσαρες Οἶκοι μετὰ τοῦ Κανόνος αὐτῶν.

Εἰς τὸ Α΄. μέρος μετεποιήθησαν ἐπὶ τὸ σαφέστερον πολλαὶ τυπικαὶ ἑρμηνεῖαι, φυλαττομένης τῆς ἐννοίας αὐτῶν. Προσετέθη, σελ. 77 τοὐλάχιστον διὰ τοὺς ἀρχαρίους εἰς τὰ ἐκκλησιαστικὰ, ὁλόκληρος ἡ Δοξολογία. καθὼς ἐν ταῖς μὴ ἑορτασίμοις ἡμέραις

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

τῆς Ἑβδομάδος ἀναγινώσκεται, πρὸς ἀποφυγὴν τῆς συγχύσεως ἐκείνης τοῦ, λέγε ἕως τοῦ... καὶ πάλιν, ὑπέρβηθι εἰς τὸ... ἕως τέλους, ἐνῷ οὐδὲ τὸ τέλος αὐτὸ εὑρίσκετο γεγραμμένον. Ἀφηρέθη ἐξ ἐναντίας ἡ ἐν τῷ τέλει τοῦ Ἑσπερινοῦ κειμένη, καὶ εἰς μόνην τὴν Διακαινήσιμον Ἑβδομάδα διατεταγμένη Εὐχή: Εὐλογητὸς εἶ, Δέσποτα παντοκράτωρ, κ.τ.λ. σελ. 409. Ἀφηρέθη πρὸς τούτοις καὶ ἀπὸ τὸν τριαδικὸν Ὕμνον τὸ: Φῶς ἱλαρόν... σελ. 136, ἡ πρότερα ἐπιγραφὴ αὐτοῦ: Ποίημα Σωφρονίου πατριάρχου Ἱεροσολύμων. καθότι ὁ Μ. Βασίλειος, τρεῖς αἰῶνας σχεδὸν προγενέστερος τοῦ Σωφρονίου, ἀναφέρων τὸν Ὕμνον τοῦτον, λέγει αὐτὸν καὶ ἑαυτοῦ ἀρχαιότερον· ἀντὶ δὲ Ὕμνου, ὀνομάζει αὐτὸν, Ἐπιλύχνιον εὐχαριστίαν. Ὅθεν ὁ μὲν Ὕμνος ἐπεγράφη μὲ αὐτὰς ταύτας τὰς λέξεις τοῦ θείου Πατρός· ὅσα δὲ οὗτος περὶ αὐτοῦ ἀναφέρει, ἐτέθησαν εἰς τὴν ἱστορίαν τοῦ ἁγίου Σωφρονίου, σελ. 307. Ἐπειδὴ δὲ πρὸ τοῦ Μεσονυκτικοῦ κεῖται σύντομός τις προσευχὴ, εὐθὺς μετὰ τὴν ἀπὸ τοῦ ὕπνου ἔξέγερσιν λεγομένη, ἀντικρὺ δὲ αὐτῆς τίθεται τῆς ἁγίας Τριάδος ἡ εἰκὼν, ἡ μὲν προσευχὴ αὕτη, ὡς προοίμιον τῆς ὅλης Ἀκολουθίας, ἐπεγράφη οὕτω: Προσευχὴ προοιμιακή· κάτωθεν δὲ τῆς εἰκόνος ἐγράφη τὸ Δαυϊτικὸν ῥητὸν, τοὺς ἑπτὰ καιροὺς τῆς προσευχῆς ἀναμιμνῆσκον. Τοιαῦτα ῥητὰ ὑπεγράφησαν καὶ εἰς τὰς ἑφεξῆς εἰκόνας, σχέσιν ἔχοντα ὁπωσοῦν πρὸς τὰ ἑπόμενα. Καὶ ταῦτα μὲν περὶ τοῦ Α'. μέρους, εἰς τὸ ὁποῖον μετετέθησαν καὶ τὰ Εὐλογητάρια ἐν τῷ οἰκείῳ αὐτῶν τόπῳ, σελ. 50, ἐκτετοπισμένα ὄντα πρότερον.

Εἰς δὲ τὸ Β'. προηγουμένως ἐπεγράφησαν πάντα τὰ Ἀπολυτίκια μὲ αὐτὴν ταύτην τὴν εἰδικὴν λέξιν, Ἀπολυτίκιον, ἀντὶ τῆς προτέρας ἐπιγραφῆς, Τροπάριον, ὅπερ σημαίνει γενικῶς πᾶν εἶδος Τροπαρίου. Προσεπεγράφη ἔπειτα εἰς πολλὰ τὸ πρωτότυπον ἐκεῖνο Τροπάριον ἢ ᾆσμα, κατὰ τὸν ῥυθμὸν καὶ τὸ μέλος τοῦ ὁποίου ἐμελουργήθησαν, καὶ τὰ ἐφ' ὧν ἐπιγράφεται. Προσετέθη πολλαχοῦ ἡ λέξις: Εἴδησις, ὁσάκις σημειοῦταί τι πρὸς τὸν ἀναγνώστην, γνώσεως ἢ μνήμης ἄξιον· ἐπομένως δὲ καὶ εἰς τὴν 11 τοῦ Ὀκτωβρίου, καὶ 16 τοῦ Ἰουλίου μηνὸς, ὡς μᾶλλον κατάλληλος, παρὰ τὴν πρώτην ἐκείνην λέξιν, Σχόλιον,

πρὸς ὑπόμνησιν τοῦ πότε δεῖ ψάλλεσθαι τὴν Ἀκολουθίαν τῶν ἁγίων Πατέρων· καὶ ἐπειδὴ ἡ ἐν τῷ Ἰουλίῳ Ἀκολουθία τούτων ψάλλεται ἀπὸ τῆς 13 ἕως τῆς 19 τοῦ αὐτοῦ μηνός, διὰ τοῦτο ἡ Εἴδησις αὕτη μετετέθη ἀπὸ τῆς 16 εἰς τὴν 13 ἡμέραν, ἥτις εἶναι τὸ πρῶτον ὅριον τοῦ προσδιορισμοῦ· ὥστε φθάσας εἰς τοῦτο ὁ ἀναγνώστης, νὰ παρατηρῇ τὴν ἀμέσως ἐρχομένην Κυριακὴν, καὶ νὰ μὴ παραδράμῃ αὐτὴν ἐξ ἀγνοίας τυχὸν, ἢ λήθης. Διὰ τὸν αὐτὸν λόγον μετετέθη καὶ ἡ περὶ τῆς Κυριακῆς τῶν Προπατόρων, καὶ τῆς πρὸ τῆς Χριστοῦ Γεννήσεως Εἴδησις, εἰς τὴν 11 καὶ 18 τοῦ Δεκεμβρίου. Τέλειτὰῖον, εἰς τὸ μέρος τοῦτο προσετέθη καὶ ἱστορία σύντομος, οὐ μόνον τῶν Δεσποτικῶν καὶ Θεομητορικῶν Ἑορτῶν τοῦ ὅλου ἐνιαυτοῦ, ἀλλὰ καὶ πολλῶν τῶν τοῦ Μηνολογίου Ἁγίων ἑορταζομένων καὶ μὴ, εἰς πρόχειρον χρῆσιν καὶ ὠφέλειαν τῶν ἀναγινωσκόντων. Διὰ τὴν αὐτὴν ὠφέλειαν ἐτέθησαν ἐν τῷ Μηνολογίῳ καὶ ὀνόματα Ἁγίων τινῶν, μάλιστα προφητῶν καὶ Ἀσματογράφων, ὡς τὸ τοῦ Ἰωνᾶ, φέρ' εἰπεῖν, τοῦ βαρούχ, τοῦ Ἀνατολίου, Ἰωσὴφ τοῦ Ὑμνογράφου, καὶ ἄλλων, οἵτινες οὐδὲ Ἀκολουθίαν ἔχουσιν ἐν τοῖς Μηναίοις, ἀλλ' ἀναφέρονται μόνον ἐν τῷ Συναξαριστῇ· ἡ ἱστορία ὅμως αὐτῶν χρησιμεύει καὶ εἰς ἕνα μὲν ἕκαστον Χριστιανὸν, ἐξαιρέτως δὲ εἰς τὸν Κλῆρον, πρὸς γνῶσιν κἂν ἐπιπόλαιον τοιούτων ἐπισήμων ἀνδρῶν τῆς τοῦ Χριστοῦ Ἐκκλησίας. Ἠρανίσθη δὲ τούτων πάντων ἡ ἱστορία ἔκτε τῆς Θείας Γραφῆς, τῆς Ἐκκλησιαστικῆς ἱστορίας, καὶ τῶν ἀκριβεστέρων καὶ δοκιμωτέρων βιογραφικῶν Λεξικῶν, καὶ ἄλλων φιλολογικῶν βιβλίων.

Τὰ δὲ εἰς τὸ Γ'. μέρος περιεχόμενα διετάχθησαν οὕτως, ὥστε τὰ ἐπιγραφόμενα κοινῷ ὀνόματι, εἴτε Ἀκολουθίαι εἶναι, εἴτε Κανόνες ἁπλοῖ, νὰ φυλάττωσι καὶ ἐνταῦθα τῆς κοινῆς αὐτῶν ἐπιγραφῆς τὴν συνέχειαν· ἔσχατον δὲ πάντων ἐτέθησαν οἱ εἰς τὸν τίμιον Σταυρὸν εἰκοσιτέσσαρες Οἶκοι, ὡς νεώτερον ποίημα. Καὶ ταῦτα μὲν περὶ τῶν τριῶν τοῦ Ὡρολογίου μερῶν, τῶν περιεχόντων πᾶν ὅ, τι ἀνάγεται εἰς προσευχήν.

Ἐπειδὴ δὲ ἦσαν καὶ ἄλλα τινὰ, μέρος προσευχῆς μὴ ποιοῦντα, ὡς ἡ Σύνοψις τῶν ἱερῶν Κανόνων, τὰ τὸ Μηνολόγιον περιέχοντα Στιχηρὰ, τὰ Πασχάλια, καθὼς προσέτι τὸ Σύμ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λήμνου - Μουσείο Τυπογραφικών Κειμηλίων

βολον τῆς Πίστεως τοῦ ἁγίου Ἀθανασίου, καὶ τὸ Εὐαγγέλιον τῆς Κυριακῆς τοῦ Πάσχα, τὰ εἰς τὴν ἀρχὴν τοῦ βιβλίου εὑρισκόμενα πρότερον, διὰ τοῦτο, μετατεθέντων καὶ αὐτῶν εἰς τὸ τέλος, ἐπεγράφησαν τὰ πάντα κοινῷ ὀνόματι: Παράρτημα τοῦ Ὡρολογίου. Ἀντὶ ὅμως τῶν εἰρημένων Στιχηρῶν, ὡς μικρὰν προξενούντων τὴν ὠφέλειαν, ἐτέθη πίναξ Ἀλφαβητικὸς πάντων τῶν ἐν τῇ ἱερᾷ ταύτῃ Βίβλῳ ὀνομαστὶ ἀναφερομένων Ἁγίων, πρὸς εὐκολωτέραν εὕρεσιν τῆς μνήμης ἑνὸς ἑκάστου αὐτῶν.

Αὗται εἶναι αἱ μεταβολαὶ καὶ μεταρρυθμίσεις, αἱ εἰς τὴν παροῦσαν ἔκδοσιν τοῦ Ὡρολογίου γενόμεναι. Τὴν δὲ αἰτίαν καὶ ἀδειαν τῆς ἀφαιρέσεως δύο Εὐχῶν ἀπὸ τὴν τῆς Θείας Μεταλήψεως Ἀκολουθίαν, καὶ τινων Κανόνων ἀπὸ τὴν εἰρημένην Σύνοψιν αὐτῶν, μανθάνει ὁ ἀναγνώστης ἐκ τῆς ἑπομένης τοῦ Ἐκδότου ἐπιστολῆς, καὶ τῆς εἰς αὐτὴν Πατριαρχικῆς ἀποκρίσεως· ἥτις δὲ ἐπίτηδες γεγραμμένου φυλλαδίου, προσδιώρισεν ὀνομαστὶ, καὶ μετ' ἐκκλησιαστικῆς ἐπιταγῆς παρήγγειλε, καὶ τῶν ἀφαιρεθησομένων τὸν ἀριθμὸν, καὶ τῶν ἀνατυπωθησομένων τὴν τάξιν καὶ διόρθωσιν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΕΚΔΟΤΟΥ

πρὸς τὸν

ΠΑΝΑΓΙΩΤΑΤΟΝ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΝ

# ΠΑΤΡΙΑΡΧΗΝ

✠ ✠ ✠

ΠΑΝΑΓΙΩΤΑΤΕ ΔΕΣΠΟΤΑ.

Ἐμφανιζόμενος διὰ τοῦ παρόντος μου ἔμπροσθεν τῆς ΥΜΕΤΕΡΑΣ πανσεβάστου καὶ προσκυνητῆς μοι ΠΑΝΑΓΙΟΤΗΤΟΣ, προηγουμένως μὲν προσφέρω ΑΥΤΗ[illegible]ην ἕως ἐδάφους ταπεινήν μου προσκύνησιν κατὰ τὸ ἀπαραίτητον χρέο[illegible]ἑπομένως δὲ, λαμβάνων θάῤῥος υἱικὸν, ὡς τέκνον τῆς Ἀνατολικῆς τοῦ Χριστοῦ Ἐκκλησίας γνήσιον, ἀναφέρω τὰ ἑξῆς.

Τυπογράφος τις [illegible]τῶν ἐνταῦθα, Φραγκίσκος Ἀνδρεώλας καλούμενος, ὅς τις, πρὸ δύο [illegible]ετῶν καὶ ἐπέκεινα, ἤρχισε νὰ ἐκδίδῃ εἰς τὴν τυπογραφίαν του, μετὰ [illegible]ἄλλων Ἑλληνικῶν βιβλίων, καί τινα Ἐκκλησιαστικά, ὡς τὴν Ὠ[illegible]ώηχον, τὸ Ψαλτήριον, τὸν Ἀπόστολον, κ. τ. λ. μέλλων νὰ ἐκδώσῃ καὶ τὸ λεγόμενον, Ὡραλόγιον τὸ Μέγα, μοὶ ἐπρόβαλε τὴν τυπογραφικὴν τούτου διόρθωσιν. Κρίνων ἐγὼ τὸ ἔργον τοῦτο ἱερὸν, καὶ τῶν τοῦ ἱεροῦ καταλόγου μᾶλλον εἰκεῖον, ἐπένευσα

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λιξουρίου - Μουσείο Ομηρικών Ιθακησίων

εὐχαρίστως εἰς τὸ πρόβλημα· καὶ εὐθὺς μὲ τὴν εναρξιν τοῦ τύπου, ἤρχισα νὰ διέρχωμαι τὴν βίβλον ταύτην ἐπιμελῶς, παραβάλλων τοὺς μὲν Ψαλμοὺς τῆς ἡμερονυκτίου Ἀκολουθίας, μὲ τὰς ἀκριβεστέρας ἐκδόσεις τῆς Παλαιᾶς Γραφῆς· τὰ δὲ τοῦ Μηνολογίου Τροπάρια καὶ ὅσα ἐφεξῆς, μὲ ἄλλα ὅμοια παλαιοτέρων, καὶ μᾶλλον διωρθωμένων.

Φθάσας δὲ ἤδη καὶ εἰς τὴν περὶ τὰ τέλη τῆς βίβλου προστεθειμένην Σύνοψιν Κανόνων τινῶν ἱερῶν, καὶ ἀναγνοὺς αὐτοὺς μετὰ σκέψεως, εὑρίσκομαι εἰς μέγαν δισταγμόν, ἂν ἐξ ἀνάγκης πρέπῃ νὰ ἀνατυπωθῶσι καὶ εἰς τὴν παροῦσαν ἔκδοσιν πάντες ἀπαραλλάκτως, ἢ τινὲς μόνον ἐξ αὐτῶν κατ' ἐκλογήν· ἢ, τὸ ἐναντίον, νὰ λείψωσι διόλου, καθὼς ἐλλείπουσι καὶ εἰς τὰς ἀρχαιοτέρας τοῦ 1777 ἔτους ἐκδόσεις τῶν Ὡρολογίων. Καθότι, οἱ μὲν τὰς νηστείας καὶ καταλύσεις ἀποβλέποντες, ἐνῷ ἀναφέρουσι πράγματα, εἰς πάντας σχεδὸν ἤδη γνωστά, εἶναι καὶ ἀσύμφωνοι τινὲς καὶ πρὸς ἀλλήλους, καὶ πρὸς τὴν νῦν ἐπικρατοῦσαν τῆς ἁγίας ἡμῶν Ἐκκλησίας συνήθειαν· ὡς ἡ ἐκ τοῦ Τυπικοῦ Νικηφόρου τοῦ πατριάρχου γνώμη, αἱ ἀποκρίσεις τοῦ Βαλσαμῶνος, καὶ τῆς ἐν Γάγγρα ὁ δέκατος ἔννατος· τῶν ὁποίων ἡ μὲν, λέγει μετάθεσιν τῆς τοῦ Αὐγούστου νηστείας· ὁ δὲ ἀπροσδιορίστως καθυποβάλλει ἀναθέματι τὸν παραλύοντα τὰς εἰς τὸ κοινὸν παραδεδομένας νηστείας· αἱ δὲ ἀποκρίσεις τοῦ Βαλσαμῶνος, μετὰ τὸν εἰς ἑπτὰ μόνον ἡμέρας προσδιορισμὸν αὐτῶν, ἀφίνουσι τὸ πλέον εἰς τὴν ἑκάστου προαίρεσιν· ἀσυμφωνία, ἥτις ἀναμφιβόλως βάλλει τοὺς πιστοὺς εἰς ἀμφιβολίαν καὶ περὶ ἄλλων ἐκκλησιαστικῶν καὶ θρησκευτικῶν ἐθίμων, καὶ μεταξὺ αὐτῶν διαφωνίας καὶ σχίσματα.

Ὅσοι δὲ πάλιν διαλαμβάνουσι περὶ αἱρετικῶν, (ἀνυπάρκτων τὴν σήμερον τῶν πολλῶν·) προσερχομένων τῇ Ἐκκλησίᾳ, καὶ περὶ γυναικῶν ἐν ἀφέδρῳ ἢ τεκουσῶν, καὶ λύσεως ἀφορισμῶν, καὶ χειροτονιῶν, καὶ εἴτι ἄλλο τοιοῦτον, οὗτοι πάντες, ὡς ἰδιάζοντες εἰς ἄνδρας ἱερωμένους καὶ πνευματικοὺς, καὶ ἐξαιρέτως εἰς τοὺς Ἀρχιερεῖς, μοὶ φαίνονται ἀνάρμοστοι εἰς βιβλίον, ἐκδιδόμενον πρὸς κοινὴν χρῆσιν παντὸς τοῦ λαοῦ· καὶ μάλιστα οἱ τὰ ἐπιτίμια τῶν ἁμαρτημάτων, καὶ τὸν πρὸς ἱκανοποίησιν χρόνον προσδιορίζοντες, τῶν ὁποίων ἡ δημοσίευσις εἰς πάντας ἴσως εἶναι μᾶλλον ἐπιβλαβὴς, ἢ ὠφέλιμος.

Διὰ ταῦτα λοιπὸν τὰ αἴτια, καὶ πρὸς τούτοις, διότι ἀγνοῶ, ἂν οἱ Κανόνες οὗτοι προσετέθησαν εἰς τὸ Ὡρολόγιον ἐξ ἀρχῆς, κατὰ συναίνεσιν τῆς Ἐκκλησίας, ἢ παρὰ γνώμην αὐτῆς, ἔκρινα εὔλογον, πρὶν πολλαπλασιασθῶσιν ἔτι μᾶλλον εἰς τὸ κοινὸν διὰ νεωτέρας ἐκδόσεως, ν' ἀναφέρω τὴν περὶ τούτων ὑπόθεσιν εἰς αὐτὴν τὴν ἁγίαν Ἐκκλησίαν· ἥτις, φροντίζουσα περὶ τοῦ κοινοῦ συμφέροντος τῶν Χριστιανῶν, ν'

ἀποφασίσῃ καὶ περὶ τῶν εἰς κοινὴν αὐτῶν διδασκαλίαν καὶ ὠφέλειαν ἐκδιδομένων βιβλίων.

Διὰ τὸν αὐτὸν πρὸς τὰ εἰρημένα λόγον, τολμῶ νὰ ἐρωτήσω καὶ περὶ τῆς εἰς τὴν θείαν Μετάληψιν Δ'. Εὐχῆς: Ὡς ἐπὶ τοῦ φοβεροῦ σου καὶ ἀπροσωπολήπτου παρεστηκὼς βήματος, κ. τ. λ. ἂν κρίνῃ ὠφελιμώτερον ἡ Ἐκκλησία ν' ἀφαιρεθῶσιν ἀπ' αὐτὴν τὰ εἰδικῶς ἀπαριθμούμενα ἁμαρτήματα, περὶ τὰς ἀρχὰς μὲν εἰκοσιτρία, κατωτέρω δὲ ὀκτὼ ἕτερα, ἢ ἐννέα· τὰ ὁποῖα ὁ ταύτης συγγραφεύς, Συμεὼν ὁ Μεταφραστής, ὀνομαστὶ ἐξομολογεῖται, καὶ εἰς τῶν ὁποίων τὸν ἀριθμὸν εἶναι καὶ πορνεία, μοιχεία, μεθοδεῖαι σατανικαί, διαφθοραί, ῥεύσεις, μαλακίαι, παιδοφθορίαι, συμβουλίαι πρὸς ἁμαρτίαν, γαργαλισμοί, κ. τ. λ. ἐξομολόγησις ἀκριβὴς μέν, καὶ ἀναγκαία πρὸς πατέρα πνευματικόν, ἀλλ' ἴσως εἶναι περιττὴ ἐνώπιον τοῦ Θεοῦ, τοῦ τὰ πάντα γινώσκοντος· ἴσως μολύνει τῶν προσευχομένων τὴν ψυχήν, καὶ μάλιστα τῶν νεωτέρων, δι' αἰσχρῶν ἐννοιῶν, τῶν αἰσχρῶν πράξεων ἡ ὀνομασία· ἴσως κινεῖ τὴν περιέργειαν τῶν ἀγνοούντων τυχὸν τοιούτων λέξεων τὰ σημαινόμενα, εἰς τῶν πραγμάτων τὴν γνῶσιν καὶ δοκιμήν· ἴσως γίνεται εἰς τοὺς φιλοψόγους ἀφορμὴ διαβολῆς εἰς τὰ ἱερὰ καὶ γλωσσαλγίας· ἴσως, τελευταῖον, δὲν ἁρμόζει κοινῶς εἰς τὸ στόμα παντὸς προσευχομένου τοιαύτη εἰδικὴ ἁμαρτημάτων ἐξομολόγησις· καθότι οὔτε τοσαῦτα ὡρισμένως, οὔτε τὰ αὐτὰ ἁμαρτάνουσι πάντες· καὶ ἑπομένως, εἴτε πλείονα, εἴτε ἐλάττονα τῶν ἀπηριθμημένων ἥμαρτέ τις, ἡ ἐξομολόγησις αὐτοῦ δὲν θέλει εἶσθαι ἀκριβής, ἀλλ' ἤτοι ἐλλιπής, ἢ ὑπερβολικὴ καὶ περιττολόγος. Ἐὰν δὲ τὰ πταίσματα αὐτοῦ ἦναι ἕτερα τυχὸν παρὰ τὰ ἐξ ὀνόματος γεγραμμένα, τότε, ἐξομολογούμενος ταῦτα, ξένα ὄντα, καὶ ἄγνωστα ἴσως εἰς αὐτὸν, ἀποσιωπᾷ τὰ οἰκεῖα. Ἀλλ' οὐδὲ ἀναγκαία ἐφάνη τοιαύτη ὀνομαστικὴ τῶν ἐπταισμένων ἐξομολόγησις εἰς τὸν θεῖον Δαυΐδ, ὅς τις, μοιχείαν καὶ φόνον ποιήσας, ἀνομίαν ἐκάλεσεν αὐτὰ καὶ ἁμαρτίαν ἐνώπιον τοῦ Θεοῦ, μεταχειρισθεὶς ὀνόματα παντὸς εἴδους ἁμαρτημάτων περιληπτικά, καὶ τρόπον ἐξομολογήσεως πρὸς τὸν Θεὸν εὐπρεπῆ τῳόντι, καὶ εἰς πάντας ἁρμόδιον· τὸν ὁποῖον ἐμιμήθησαν εἰς τὰς ἐξομολογητικάς των Εὐχὰς καὶ οἱ ἅγιοι τῆς Ἐκκλησίας Πατέρες, Βασίλειος, καὶ Χρυσόστομος, καὶ Ἰωάννης ὁ Δαμασκηνός.

Ταῦτα θαῤῥούντως ἐσημείωσα πρὸς τὴν ΠΑΝΑΓΙΟΤΗΤΑ ΤΗΣ, εὐέλπις ὤν, ὅτι δὲν θέλει μὲ καταδικάσει διὰ τοῦτο, ὅτι ζητῶ τὴν γνώμην τῆς ἁγίας Ἐκκλησίας, εἰς ἔκδοσιν βιβλίου ἐκκλησιαστικοῦ καὶ εἰς πάντας χρησίμου, μὲ τρόπον ἐπίσης ἁρμοδιώτερον εἰς πάντας καὶ κοινωφελέστερον· ἀλλὰ μᾶλλον εἰς τὸν ἀγαθόν μου τοῦτον σκοπὸν

ΑΠΟΣΧΕΣ ΒΡΑΙΛΑΣ-ΑΡΒΑΝΙΤΗ
Ψηφιακή Συλλογή Βιβλιοθήκης - Μουσείο Τυπολογικών Ιδιοτύπων

εὐμενῶς ἀποβλέπουσα, καὶ συγκαταβαίνουσα πατρικῶς εἰς τὰς υἱικάς μου ἐρωτήσεις, θέλει μὲ ἀξιώσει, πρὶν ἐκδοθῶσιν εἰς τύπον τὰ περὶ ὧν διστάζω καὶ ἐρωτῶ, διστίχου ἀποκρίσεως, ἀποφαντικῆς τοῦ πρακτέου· τὴν ὁποίαν καὶ ἀναμένων ἐν καιρῷ, συνωδευμένην μὲ τὰς πατρικὰς ΑΥΤΗΣ εὐχὰς καὶ εὐλογίας, καὶ εὐλαβῶς κατασπαζόμενος τὴν ἱερὰν ΑΥΤΗΣ δεξιάν, μένω.

Ἐν Βενετίᾳ, τῇ κς'. Δεκεμβρίου, ᾳωλά.

ΤΗΣ ΥΜΕΤΕΡΑΣ ΠΑΝΣΕΒΑΣΤΟΥ ΚΑΙ ΠΡΟΣΚΥΝΗΤΗΣ ΜΟΙ ΠΑΝΑΓΙΟΤΗΤΟΣ

τέκνον ἐν Κυρίῳ πειθήνιον, καὶ εἰς τὰς ἐπιταγὰς ὑποκλινέστατος δοῦλος,

Βαρθολομαῖος ἱερομόναχος
Κουτλουμουσιανός.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μούσειο Τυπάλδων Ιακωβάτων

## ΑΠΟΚΡΙΣΙΣ ΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΠΡΟΣ ΤΗΝ ΑΝΩΤΕΡΩ ΕΠΙΣΤΟΛΗΝ.

# ΚΩΝΣΤΑΝΤΙΟΣ

### ΕΛΕΩ ΘΕΟΥ

### ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΝΕΑΣ ΡΩΜΗΣ

### ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ.

✠ Ὁσιολογιώτατε ἐν ἱερομοναχοις κὺρ Βαρθολομαῖε Κουτλουμουσιανὲ, ὁ ἐν Βενετίᾳ διατρίβων, τέκνον ἐν Κυρίῳ ἀγαπητὸν τῆς ἡμῶν μετριότητος, χάρις εἴη σου τῇ ὁσιολογιότητι, καὶ εἰρήνη παρὰ Θεοῦ· παρ' ἡμῶν δὲ εὐχὴ, εὐλογία, καὶ συγχώρησις.

Ἐλάβομεν εὐμενῶς τὸ σταλὲν ἡμῖν υἱικὸν ἐλλόγιμον γράμμα σου, σεσημειωμένον τῇ κς'. τοῦ παρελθόντος Δεκεμβρίου μηνός· καὶ ἐπεξελθόντες, εἴδομεν τοὺς δισταγμούς σου καὶ τὰς ἐρωτήσεις σου εἰς τὰς ἐν τῷ Μεγάλῳ Ὡρολογίῳ περὶ τὰ τέλη νομικὰς περιλήψεις, ἔτι δὲ καὶ περὶ τῶν ἐν τῇ Δ'. Εὐχῇ τῆς ἱερᾶς Μεταλήψεως εἰδικῶς ἀναφερομένων ἁμαρτημάτων, ἐὰν ἐξ ἀνάγκης πρέπῃ νὰ τεθῶσι καὶ ἐν τῷ ἤδη μετατυπουμένῳ, οὗτινος τὴν τυπογραφικὴν διόρθωσιν ἀνέλαβες ἡ ὁσιολογιότης σου.

Ἐπαινέσαντες λοιπὸν τὸ υἱικὸν σέβας σου πρὸς τὴν κοινὴν ταύτην τῶν εὐσεβῶν Μητέρα, εἰς τῆς ὁποίας τὴν ἐπίκρισιν ἔγνως πρῶτον νὰ καθυποβάλῃς τὰς ἐνστάσεις σου ταύτας, ἐπεστήσαμεν τὸν νοῦν εἰς τὰ ἐρωτώμενα· κἀντεῦθεν ἐλάβομεν ἀφορμὴν καὶ εἰς ἄλλας παρατηρήσεις ἀναγκαίας, διὰ συγκρίσεως καὶ ἑνὸς ἀρχαίου χειρογράφου Ὡρολογίου, σωζομένου ἐνταῦθα. Καὶ δὴ ἐκθέμενοι ἐν τῷ ἐπίτηδες περικλειομένῳ φυλλαδίῳ, ὅσαστε οἰκοθεν ἐκρίναμεν προσφόρους διορθώσεις, καὶ ὅσας ἀπεσπάσαμεν ἐκ τοῦ χειρογράφου, ἀδιαπταίστου λογιζομένου, καὶ μᾶλλον ἀξιοπίστου, ἀποστέλλομεν αὐτὰς τῇ ὁσιολογιότητί σου· καὶ συγχρόνως διὰ τῆς παρούσης Πατριαρχικῆς ἡμῶν ἐπιστολῆς παραγγέλομέν σοι, ὅπως ποιήσῃς τὴν διόρθωσιν τοῦ ἐκδοθησομένου Ὡρολογίου, κατὰ τὸ ἀποστελλόμενον αὐτὸ φυλλάδιον, ἐν ᾧ εὑρίσκεις καὶ τῶν ἐρωτήσεών σου τὴν διασάφησιν, περὶ τῶν Εὐχῶν τῆς ἱερᾶς Μεταλήψεως, καὶ τῶν Κανόνων, ὅσα πρέπει νὰ ἀνατυπωθῶσι, καὶ ὅσα νὰ ἀφαι-

ΔΗΜΟΣΙΕΥΣΙΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

ρεθῶσι τέλεον. Ἠδύνατο νὰ κριθῇ οὐσιωδεστέρα μία γενικωτέρα διάταξις τῶν τοῦ Ὡρολογίου, ἐὰν δὲν ἐπρόκειντο οἱ λόγοι τῆς ἐνδεχομένης κοινῆς παρατηρήσεως εἰς βίβλον οὕτω πάγκοινον οὖσαν· διὰ τοῦτο ἐβαδίσαμεν τὴν μέσην καὶ βασιλικὴν ὁδὸν, ἥτις εἶναι ἡ ἀσφαλεστέρα, καὶ τῇ Ἐκκλησίᾳ συνήθης, ἵνα μὴ ἄλλως δόξωμεν κατατολμᾶν εἰς τῶν πατρῴων ὁρίων τὴν μετακίνησιν.

Πρόσχες λοιπὸν νὰ ἐξακολουθήσῃς ἀπαραλλάκτως καὶ ἡ ὁσιολογιότης σου, συμφρονῶν τῇ Ἐκκλησίᾳ. Ἡ δὲ τοῦ Θεοῦ χάρις εἴη μετὰ τῆς ὁσιολογιότητός σου.

Ἐν Κωνσταντινουπόλει, τῇ ιδ'. Μαρτίου, ,ᾳωλβ'.

Ὁ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ καὶ ἐν Χριστῷ εὐχέτης.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΩΡΟΛΟΓΙΟΥ

## ΤΟΥ ΜΕΓΑΛΟΥ

### ΜΕΡΟΣ Α'.

ΠΕΡΙΕΧΟΝ

Τὴν εἰς τοὺς ἑπτὰ καιροὺς τοῦ ἡμερονυκτίου διατεταγμένην Ἀκολουθίαν τῆς προσευχῆς· τουτέστι,

Α'. Τὸ Μεσονυκτικὸν, οὗ τινος προηγεῖται ἡ Προοιμιακὴ προσευχή.

Β'. Τὸν Ὄρθρον, μεθ' οὗ συνάπτεται ἡ Πρώτη Ὥρα καὶ τὸ Μεσώριον αὐτῆς.

Γ'. Τὴν Τρίτην Ὥραν, μετὰ τοῦ Μεσωρίου αὐτῆς.

Δ'. Τὴν Ἕκτην Ὥραν, μετὰ τοῦ Μεσωρίου αὐτῆς, μεθ' ἣν ἕπονται τὰ Τυπικὰ, καὶ ἡ ἐπὶ τῆς τραπέζης ἐν τῷ Ἀρίστῳ εὐχὴ κα' εὐχαριστία.

Ε'. Τὴν Ἐννάτην Ὥραν, μετὰ τοῦ Μεσωρίου αὐτῆς.

Ϛ'. Τὸν Ἑσπερινὸν, μεθ' ὃν κεῖται ἡ ἐν τῷ Δείπνῳ εὐχὴ κα' εὐχαριστία.

Ζ'. Τὸ Ἀπόδειπνον, τὸ Μέγα καὶ τὸ Μικρόν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΩΡΟΛΟΓΙΟΝ

## ΜΕΓΑ

## ΠΡΟΣΕΥΧΗ

### ΤΗΣ ΟΛΗΣ ΗΜΕΡΟΝΥΚΤΙΟΥ ΑΚΟΛΟΥΘΙΑΣ

### ΠΡΟΟΙΜΙΑΚΗ

Ἀπὸ τοῦ ὕπνου ἐξεγερθείς, καὶ ἐξαναστὰς τῆς κλίνης, στῆθι μετ' εὐλαβείας καὶ φόβου Θεοῦ, καὶ εἰπέ:

Εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Ἀμήν.

Ἅγιος ὁ Θεὸς, Ἅγιος Ἰσχυρὸς, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. Ἐκ τρίτου.

Δόξα Πατρὶ, καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριὰς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῶν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου. Κύριε ἐλέησον, Κύριε ἐλέησον, Κύριε ἐλέησον.

Καὶ πάλιν, Δόξα Πατρὶ, ἕως τέλους. Εἶτα:

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν,



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Καὶ τὰ παρόντα Τριαδικὰ Τροπάρια, Ἦχος α΄.**

Ἐξεγερθέντες τοῦ ὕπνου, προσπίπτομέν σοι, ἀγαθὲ, καὶ τῶν Ἀγγέλων τὸν ὕμνον βοῶμέν σοι, δυνατέ: Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός. Διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

**Δόξα, Ἦχος β΄.**

Τῆς κλίνης καὶ τοῦ ὕπνου ἐξεγείρας με, Κύριε, τὸν νοῦν μου φώτισον, καὶ τὴν καρδίαν καὶ τὰ χείλη μου ἄνοιξον, εἰς τὸ ὑμνεῖν σε ἁγία Τριάς: Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός. Διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

**Καὶ νῦν, Ἦχος γ΄.**

Ἀθρόον ὁ Κριτὴς ἐπελεύσεται, καὶ ἑκάστου αἱ πράξεις γυμνωθήσονται· ἀλλὰ φόβῳ κράξωμεν ἐν τῷ μέσῳ τῆς νυκτός: Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός. Διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

**Τὸ Κύριε ἐλέησον ιβ΄. καὶ τὴν Εὐχὴν ταύτην.**

## ΕΥΧΗ ΕΥΧΑΡΙΣΤΗΡΙΟΣ ΜΕΘ ΙΚΕΣΙΑΣ.

Ἐκ τοῦ ὕπνου ἐξανιστάμενος εὐχαριστῶ σοι, ἁγία Τριάς· ὅτι διὰ τὴν πολλήν σου ἀγαθότητα καὶ μακροθυμίαν, οὐκ ὠργίσθης ἐμοὶ τῷ ῥαθύμῳ καὶ ἁμαρτωλῷ, οὐδὲ συναπώλεσάς με ταῖς ἀνομίαις μου, ἀλλ' ἐφιλανθρωπεύσω συνήθως, καὶ πρὸς ἀπόγνωσιν κείμενον ἤγειράς με, εἰς τὸ ὀρθρίσαι καὶ δοξολογῆσαι τὸ κράτος σου. Καὶ νῦν φώτισόν μου τὰ ὄμματα τῆς διανοίας, ἄνοιξόν μου τὸ στόμα, τοῦ μελετᾶν τὰ λόγιά σου, καὶ συνιέναι τὰς ἐντολάς σου, καὶ ποιεῖν τὸ θέλημά σου, καὶ ψάλλειν σοι ἐν ἐξομολογήσει καρδίας, καὶ ἀνυμνεῖν τὸ πανάγιον ὄνομά σου, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΔΗΜΟΣΙΕΥΣΙΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

## ΕΥΧΗ ΕΤΕΡΑ.

Δόξα σοι, Βασιλεῦ, Θεὲ Παντοκράτορ· ὅτι, τῇ θείᾳ σου καὶ φιλανθρώπῳ προνοίᾳ, ἠξίωσάς με τὸν ἁμαρτωλὸν καὶ ἀνάξιον ἐξ ὕπνου ἀναστῆναι, καὶ τυχεῖν τῆς εἰσόδου τοῦ ἁγίου σου οἴκου. Δέξαι, Κύριε, καὶ τὴν φωνὴν τῆς δεήσεώς μου, ὡς τῶν ἁγίων καὶ νοερῶν σε Δυνάμεων· καὶ εὐδόκησον ἐν καρδίᾳ καθαρᾷ, καὶ πνεύματι ταπεινώσεως, προσενεχθῆναί σοι τὴν ἐκ τῶν ῥυπαρῶν χειλέων μου αἴνεσιν· ὅπως κἀγὼ κοινωνὸς γένωμαι τῶν φρονίμων Παρθένων, ἐν φαιδρᾷ λαμπηδόνι τῆς ψυχῆς μου, καὶ δοξάζω σὲ τὸν ἐν Πατρὶ καὶ Πνεύματι δοξαζόμενον Θεὸν Λόγον. Ἀμήν.

## ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΚΑΘ ΗΜΕΡΑΝ ΜΕΣΟΝΥΚΤΙΚΟΥ.

Εἰ μέν ἐστιν Ἱερεὺς, λέγει: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν· εἰ δὲ μὴ ὑπάρχει Ἱερεὺς, λέγε:

Διὰ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν, καὶ ζωῆς χορηγὸς, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον, ἀγαθὲ, τὰς ψυχὰς ἡμῶν.

Τρισάγιον. Μετανοίας τρεῖς. (*) Δόξα, καὶ νῦν. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. Κύριε ἐλέησον ιβ'. Δόξα, καὶ νῦν.

---

(*) Ἡ λέξις Μετάνοια ἐνταῦθα, ὁμοίως καὶ ἐν τοῖς ἑρεξῆς, ὁσάκις εὑρίσκεται μόνη, δηλοῖ τὰ διὰ τῆς κεφαλῆς μόνον, χωρὶς κλίσεως γονάτων, γινόμενα προσκυνήματα, ἅτινα καὶ Μετάνοιαι μικραὶ καλοῦνται. Ὅπου δὲ κεῖται μετὰ τοῦ ἐπιθέτου, Μετάνοιαι μεγάλαι, ἐκεῖ σημαίνει τὰς καθ' ἑαυτὰς παρ' ἡμῖν λεγομένας Μετανοίας, ἃς καὶ ποιοῦμεν κλίνοντες τὰ γόνατα, καὶ προσπίπτοντες ἕως ἐδάφους τῆς γῆς.

Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν τῷ Βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν Χριστῷ τῷ Βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν αὐτῷ Χριστῷ τῷ Βασιλεῖ καὶ Θεῷ ἡμῶν.

Μετανοίας τρεῖς, καὶ εὐθὺς τὸν ν'. Ψαλμόν.

## ΨΑΛΜΟΣ ν'.

Ἐλέησόν με, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα, καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεὸς, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Δράμας - Μουσείο Τυπογλύφων Τυκοβρύσης

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Εἶτα λέγομεν τὸν Ἀμωμον.

## ΨΑΛΜΟΣ ριή.

## ΣΤΑΣΙΣ ΠΡΩΤΗ.

Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου.

Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ, ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν.

Οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν.

Σὺ ἐνετείλω τὰς ἐντολάς σου, τοῦ φυλάξασθαι σφόδρα.

Ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου, τοῦ φυλάξασθαι τὰ δικαιώματά σου.

Τότε οὐ μὴ αἰσχυνθῶ, ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου.

Ἐξομολογήσομαί σοι ἐν εὐθύτητι καρδίας, ἐν τῷ μεμαθηκέναι με τὰ κρίματα τῆς δικαιοσύνης σου.

Τὰ δικαιώματά σου φυλάξω, μή με ἐγκαταλίπῃς ἕως σφόδρα.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ; ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου.

Ἐν ὅλῃ καρδίᾳ μου ἐξεζήτησάσε, μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου.

Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοι.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σε.

Ἐν τοῖς χείλεσί μου ἐξήγγειλα πάντα τὰ κρίματα τοῦ στόματός σου.

Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην, ὡς ἐπὶ παντὶ πλούτῳ.

Ἐν ταῖς ἐντολαῖς σου ἀδολεσχήσω, καὶ κατανοήσω τὰς ὁδούς σου.

Ἐν τοῖς δικαιώμασί σου μελετήσω, οὐκ ἐπιλήσομαι τῶν λόγων σου.

Ἀνταπόδος τῷ δούλῳ σου, ζῆσόν με, καὶ φυλάξω τοὺς λόγους σου.

Ἀποκάλυψον τοὺς ὀφθαλμούς σου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου.

Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ, μὴ ἀποκρύψῃς ἀπ' ἐμοῦ τὰς ἐντολάς σου.

Ἐπεπόθησεν ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιρῷ.

Ἐπετίμησας ὑπερηφάνοις· ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου.

Περίελε ἀπ' ἐμοῦ ὄνειδος καὶ ἐξουδένωσιν, ὅτι τὰ μαρτύριά σου ἐξεζήτησα.

Καὶ γὰρ ἐκάθισαν ἄρχοντες, καὶ κατ' ἐμοῦ κατελάλουν· ὁ δὲ δοῦλός σου ἠδολέσχει ἐν τοῖς δικαιώμασί σου.

Καὶ γὰρ τὰ μαρτύριά σου μελέτη μου ἐστὶ, καὶ αἱ συμβουλίαι μου τὰ δικαιώματά σου.

Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου, ζῆσόν με κατὰ τὸν λόγον σου.

Τὰς ὁδούς μου ἐξήγγειλα, καὶ ἐπήκουσάς μου· δίδαξόν με τὰ δικαιώματά σου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ψηφιοποίηση: Κεντρική Βιβλιοθήκη Λήξουριου + Μουσείο Τύπου Ελληνικών Βιβλίων

Ὁδὸν δικαιωμάτων σου συνέτισόν με, καὶ ἀδολεσχήσω ἐν τοῖς θαυμασίοις σου.

Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας, βεβαίωσόν με ἐν τοῖς λόγοις σου.

Ὁδὸν ἀδικίας ἀπόστησον ἀπ' ἐμοῦ, καὶ τῷ νόμῳ σου ἐλέησόν με.

Ὁδὸν ἀληθείας ἡρετισάμην, καὶ τὰ κρίματά σου οὐκ ἐπελαθόμην.

Ἐκολλήθην τοῖς μαρτυρίοις σου, Κύριε, μή με καταισχύνῃς.

Ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅταν ἐπλάτυνας τὴν καρδίαν μου.

Νομοθέτησόν με, Κύριε, τὴν ὁδὸν τῶν δικαιωμάτων σου, καὶ ἐκζητήσω αὐτὴν διαπαντός.

Συνέτισόν με, καὶ ἐξερευνήσω τὸν νόμον σου, καὶ φυλάξω αὐτὸν ἐν ὅλῃ καρδίᾳ μου.

Ὁδήγησόν με ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου, ὅτι αὐτὴν ἠθέλησα.

Κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου, καὶ μὴ εἰς πλεονεξίαν.

Ἀπόστρεψον τοὺς ὀφθαλμούς μου τοῦ μὴ ἰδεῖν ματαιότητα, ἐν τῇ ὁδῷ σου ζῆσόν με.

Στῆσον τῷ δούλῳ σου τὸ λόγιόν σου εἰς τὸν φόβον σε.

Περίελε τὸν ὀνειδισμόν μου, ὃν ὑπώπτευσα, ὅτι τὰ κρίματά σου χρηστά.

Ἰδοὺ ἐπεθύμησα τὰς ἐντολάς σου, ἐν τῇ δικαιοσύνῃ σου ζῆσόν με.

Καὶ ἐλθοι ἐπ' ἐμὲ τὸ ἔλεός σου, Κύριε, τὸ σωτήριόν σου κατὰ τὸν λόγον σου.

Καὶ ἀποκριθήσομαι τοῖς ὀνειδίζουσί μοι λόγον, ὅτι ἤλπισα ἐπὶ τοῖς λόγοις σου.

Καὶ μὴ περιέλῃς ἐκ τοῦ στόματός μου λόγον ἀληθείας ἕως σφόδρα, ὅτι ἐπὶ τοῖς κρίμασί σε ἐπήλπισα.

Καὶ φυλάξω τὸν νόμον σου διαπαντὸς, εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ

Καὶ ἐπορευόμην ἐν πλατυσμῷ, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα.

Καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων, καὶ οὐκ ᾐσχυνόμην.

Καὶ ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου, ἃς ἠγάπησα σφόδρα.

Καὶ ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου, ἃς ἠγάπησα, καὶ ἠδολέσχουν ἐν τοῖς δικαιώμασί σου.

Μνήσθητι τῶν λόγων σε τῷ δούλῳ σου, ὧν ἐπήλπισάς με.

Αὕτη με παρεκάλεσεν ἐν τῇ ταπεινώσει μου, ὅτι τὸ λόγιόν σου ἔζησέ με.

Ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα, ἀπὸ δὲ τοῦ νόμου σου οὐκ ἐξέκλινα.

Ἐμνήσθην τῶν κριμάτων σου ἀπ' αἰῶνος, Κύριε, καὶ παρεκλήθην.

Ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν, τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου.

Ψαλτὰ ἦσάν μοι τὰ δικαιώματά σου, ἐν τόπῳ παροικίας μου.

Ἐμνήσθην ἐν νυκτὶ τοῦ ὀνόματός σου, Κύριε, καὶ ἐφύλαξα τὸν νόμον σου.

Αὕτη ἐγενήθη μοι, ὅτι τὰ δικαιώματά σε ἐξεζήτησα.

Μερίς μου εἶ, Κύριε, εἶπα τοῦ φυλάξασθαι τὸν νόμον σου.

Ἐδεήθην τοῦ προσώπου σου ἐν ὅλῃ καρδίᾳ μου, ἐλέησόν με κατὰ τὸ λόγιόν σου.

Διελογισάμην τὰς ὁδούς σου, καὶ ἐπέστρεψα τοὺς πόδας μου εἰς τὰ μαρτύριά σου.

Ἡτοιμάσθην καὶ οὐκ ἐταράχθην, τοῦ φυλάξασθαι τὰς ἐντολάς σου.

Σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

Μεσονύκτιον ἐξηγειρόμην, τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κοινή Βιβλιοθήκη Ληξουρίου
Μουσείο Τυπογραφίας Κεφαλονιάς

Μέτοχος ἐγώ εἰμι πάντων τῶν φοβουμένων σε, καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου.

Τοῦ ἐλέους σου, Κύριε, πλήρης ἡ γῆ· τὰ δικαιώματά σου δίδαξόν με.

Χρηστότητα ἐποίησας μετὰ τοῦ δούλου σου, Κύριε, κατὰ τὸν λόγον σου.

Χρηστότητα καὶ παιδείαν καὶ γνῶσιν δίδαξόν με, ὅτι ταῖς ἐντολαῖς σου ἐπίστευσα.

Πρὸ τοῦ με ταπεινωθῆναι, ἐγὼ ἐπλημμέλησα, διὰ τοῦτο τὸ λόγιόν σου ἐφύλαξα.

Χρηστὸς εἶ σὺ Κύριε, καὶ ἐν τῇ χρηστότητί σου δίδαξόν με τὰ δικαιώματά σου.

Ἐπληθύνθη ἐπ' ἐμὲ ἀδικία ὑπερηφάνων, ἐγὼ δὲ ἐν ὅλῃ καρδίᾳ μου ἐξερευνήσω τὰς ἐντολάς σου.

Ἐτυρώθη ὡς γάλα ἡ καρδία αὐτῶν, ἐγὼ δὲ τὸν νόμον σου ἐμελέτησα.

Ἀγαθόν μοι, ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου.

Ἀγαθός μοι ὁ νόμος τοῦ στόματός σου ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἐκ τρίτου. Μετανοίας τρεῖς.

## ΣΤΑΣΙΣ ΔΕΥΤΕΡΑ.

Αἱ χεῖρές σου ἐποίησάν με, καὶ ἔπλασάν με· σύνετισόν με, καὶ μαθήσομαι τὰς ἐντολάς σου.

Οἱ φοβούμενοί σε ὄψονταί με καὶ εὐφρανθήσονται, ὅτι εἰς τοὺς λόγους σου ἐπήλπισα.

Ἔγνων, Κύριε, ὅτι δικαιοσύνη τὰ κρίματά σου, καὶ ἀληθείᾳ ἐταπείνωσάς με.

Γενηθήτω δὴ τὸ ἔλεός σου τοῦ παρακαλέσαι με, κατὰ τὸ λόγιόν σου τῷ δούλῳ σου.

Ἐλθέτωσάν μοι οἱ οἰκτιρμοί σου, καὶ ζήσομαι, ὅτι ὁ νόμος σου μελέτη μου ἐστίν.

Αἰσχυνθήτωσαν ὑπερήφανοι, ὅτι ἀδίκως ἐνόμησαν εἰς ἐμέ, ἐγὼ δὲ ἀδολεσχήσω ἐν ταῖς ἐντολαῖς σου.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Λήξουρίου

Ἐπιστρεψάτωσάν με οἱ φοβούμενοί σε, καὶ οἱ γινώσκοντες τὰ μαρτύριά σου.

Γενηθήτω ἡ καρδία μου ἄμωμος ἐν τοῖς δικαιώμασί σου, ὅπως ἂν μὴ αἰσχυνθῶ.

Ἐκλείπει εἰς τὸ σωτήριόν σου ἡ ψυχή μου, εἰς τοὺς λόγους σου ἐπήλπισα.

Ἐξέλιπον οἱ ὀφθαλμοί μου εἰς τὸ λόγιόν σου, λέγοντες: Πότε παρακαλέσεις με;

Ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην.

Πόσαι εἰσὶν αἱ ἡμέραι τοῦ δούλου σου; πότε ποιήσεις μοι ἐκ τῶν καταδιωκόντων με κρίσιν;

Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ' οὐχ ὡς ὁ νόμος σου, Κύριε.

Πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια· ἀδίκως κατεδίωξάν με, βοήθησόν μοι.

Παρὰ βραχὺ συνετέλεσάν με ἐν τῇ γῇ, ἐγὼ δὲ οὐκ ἐγκατέλιπον τὰς ἐντολάς σου.

Κατὰ τὸ ἔλεός σου ζῆσόν με, καὶ φυλάξω τὰ μαρτύρια τοῦ στόματός σου.

Εἰς τὸν αἰῶνα, Κύριε, ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ.

Εἰς γενεὰν καὶ γενεὰν ἡ ἀλήθειά σου· ἐθεμελίωσας τὴν γῆν, καὶ διαμένει.

Τῇ διατάξει σου διαμένει ἡμέρα, ὅτι τὰ σύμπαντα δοῦλά σά.

Εἰ μὴ ὅτι ὁ νόμος σου μελέτη μου ἐστί, τότε ἂν ἀπωλόμην ἐν τῇ ταπεινώσει μου.

Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου, ὅτι ἐν αὐτοῖς ἔζησάς με.

## ΜΕΣΗ.

Σός εἰμι ἐγώ, σῶσόν με, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα.

Ἐμὲ ὑπέμειναν ἁμαρτωλοὶ τοῦ ἀπολέσαί με· τὰ μαρτύριά σου συνῆκα.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπογραφίας Ιονίου

Πάσης συντελείας εἶδον πέρας, πλατεῖα ἡ ἐντολή σου σφόδρα.

Ὡς ἠγάπησα τὸν νόμον σου, Κύριε· ὅλην τὴν ἡμέραν μελέτη μου ἐστίν.

Ὑπὲρ τοὺς ἐχθρούς μου ἐσόφισάς με τὴν ἐντολήν σου, ὅτι εἰς τὸν αἰῶνα ἐμή ἐστιν.

Ὑπὲρ πάντας τοὺς διδάσκοντάς με συνῆκα, ὅτι τὰ μαρτύριά σου μελέτη μου ἐστίν.

Ὑπὲρ πρεσβυτέρους συνῆκα, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα.

Ἐκ πάσης ὁδοῦ πονηρᾶς ἐκώλυσα τοὺς πόδας μου, ὅπως ἂν φυλάξω τοὺς λόγους σου.

Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα, ὅτι σὺ ἐνομοθέτησάς με.

Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου.

Ἀπὸ τῶν ἐντολῶν σου συνῆκα, διὰ τοῦτο ἐμίσησα πᾶσαν ὁδὸν ἀδικίας.

Λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου.

Ὤμοσα, καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου.

Ἐταπεινώθην ἕως σφόδρα, Κύριε, ζῆσόν με κατὰ τὸν λόγον σου.

Τὰ ἑκούσια τοῦ στόματός μου εὐδόκησον δή, Κύριε, καὶ τὰ κρίματά σου δίδαξόν με.

Ἡ ψυχή μου ἐν ταῖς χερσί σου διαπαντὸς, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

Ἔθεντο ἁμαρτωλοὶ παγίδα μοι, καὶ ἐκ τῶν ἐντολῶν σου οὐκ ἐπλανήθην.

Ἐκληρονόμησα τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα, ὅτι ἀγαλλίαμα τῆς καρδίας μου εἰσίν.

Ἔκλινα τὴν καρδίαν μου, τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα δι' ἀνταμοιβήν.

Παρανόμους ἐμίσησα, τὸν δὲ νόμον σου ἠγάπησα.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Βοηθός μου, καὶ ἀντιλήπτωρ μου εἶ σύ, εἰς τοὺς λόγους σου ἐπήλπισα.

Ἐκκλίνατε ἀπ' ἐμοῦ πονηρευόμενοι, καὶ ἐξερευνήσω τὰς ἐντολὰς τοῦ Θεοῦ μου.

Ἀντιλαβοῦ μου κατὰ τὸ λόγιόν σου, καὶ ζῆσόν με, καὶ μὴ καταισχύνῃς με ἀπὸ τῆς προσδοκίας μου.

Βοήθησόν μοι, καὶ σωθήσομαι, καὶ μελετήσω ἐν τοῖς δικαιώμασί σου διαπαντὸς.

Ἐξουδένωσας πάντας τοὺς ἀποστατοῦντας ἀπὸ τῶν δικαιωμάτων σου, ὅτι ἄδικον τὸ ἐνθύμημα αὐτῶν.

Παραβαίνοντας ἐλογισάμην πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, διὰ τοῦτο ἠγάπησα τὰ μαρτύριά σου.

Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου, ἀπὸ γὰρ τῶν κριμάτων σου ἐφοβήθην.

Ἐποίησα κρίμα καὶ δικαιοσύνην, μὴ παραδῷς με τοῖς ἀδικοῦσί με.

Ἔκδεξαι τὸν δοῦλόν σου εἰς ἀγαθὸν, μὴ συκοφαντησάτωσάν με ὑπερήφανοι.

Οἱ ὀφθαλμοί μου ἐξέλιπον εἰς τὸ σωτήριόν σου, καὶ εἰς τὸ λόγιον τῆς δικαιοσύνης σου.

Ποίησον μετὰ τοῦ δούλου σου κατὰ τὸ ἔλεός σου, καὶ τὰ δικαιώματά σου δίδαξόν με.

Δοῦλός σου εἰμὶ ἐγώ· συνέτισόν με, καὶ γνώσομαι τὰ μαρτύριά σου.

Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ, διεσκέδασαν τὸν νόμον σου.

Διὰ τοῦτο ἠγάπησα τὰς ἐντολάς σου ὑπὲρ χρυσίον καὶ τοπάζιον.

Διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην, πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα.

Θαυμαστὰ τὰ μαρτύριά σου, διὰ τοῦτο ἐξηρεύνησεν αὐτὰ ἡ ψυχή μου.

Ἡ δήλωσις τῶν λόγων σου φωτιεῖ, καὶ συνετιεῖ νηπίους.

Τὸ στόμα μου ἤνοιξα, καὶ εἵλκυσα πνεῦμα, ὅτι τὰς ἐντολάς σου ἐπεπόθουν.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἐκ τρίτου. Μετανοίας τρεῖς

ΔΗΜΟΣΙΕΥΣΗ ΒΙΒΛΙΟΘΗΚΗ
Ιερά Κοινοβιακή Βιβλιοθήκη Αγίου Ιακώβου
Μοναστηρίου Τιμίου Προδρόμου Ιακωβάτων

## ΣΤΑΣΙΣ ΤΡΙΤΗ.

Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με, κατὰ τὸ κρίμα τῶν ἀγαπώντων τὸ ὄνομά σου.

Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία.

Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου.

Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου, καὶ δίδαξόν με τὰ δικαιώματά σου.

Διεξόδους ὑδάτων κατέδυσαν οἱ ὀφθαλμοί μου, ἐπεὶ οὐκ ἐφύλαξα τὸν νόμον σου.

Δίκαιος εἶ, Κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου.

Ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σου, καὶ ἀλήθειαν σφόδρα.

Ἐξέτηξέ με ὁ ζῆλός σου, ὅτι ἐπελάθοντο τῶν λόγων σου οἱ ἐχθροί μου.

Πεπυρωμένον τὸ λόγιόν σου σφόδρα, καὶ ὁ δοῦλός σου ἠγάπησεν αὐτό.

Νεώτερος ἐγώ εἰμι, καὶ ἐξουδενωμένος, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην.

Ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ νόμος σου ἀλήθεια.

Θλίψεις καὶ ἀνάγκαι εὗρόσάν με, αἱ ἐντολαί σου μελέτημά.

Δικαιοσύνη τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα, συνέτισόν με, καὶ ζήσομαι.

Ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μου· ἐπάκουσόν μου, Κύριε, τὰ δικαιώματά σου ἐκζητήσω.

Ἐκέκραξά σοι, σῶσόν με, καὶ φυλάξω τὰ μαρτύριά σου.

Προέφθασα ἐν ὠρίᾳ καὶ ἐκέκραξα, εἰς τοὺς λόγους σου ἐπήλπισα.

Προέφθασαν οἱ ὀφθαλμοί μου πρὸς ὄρθρον, τοῦ μελετᾶν τὰ λόγιά σου.

Τῆς φωνῆς μου ἄκουσον, Κύριε, κατὰ τὸ ἔλεός σου, κατὰ τὸ κρίμα σου ζῆσόν με.

ΑΝΙΚΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Κεντρική Βιβλιοθήκη Λήξουρίου

Προσήγγισαν οἱ καταδιώκοντές με ἀνομίᾳ, ἀπὸ δὲ τοῦ νόμου σου ἐμακρύνθησαν.

Ἐγγὺς εἶ σὺ, Κύριε, καὶ πᾶσαι αἱ ὁδοί σε ἀλήθεια.

Κατ' ἀρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σου, ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐτά.

Ἴδε τὴν ταπείνωσίν μου, καὶ ἐξελοῦ με, ὅτι τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

Κρῖνον τὴν κρίσιν μου, καὶ λύτρωσαί με, διὰ τὸν λόγον σου ζῆσόν με.

Μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία, ὅτι τὰ δικαιώματά σου οὐκ ἐξεζήτησαν.

Οἱ οἰκτιρμοί σου πολλοὶ, Κύριε, κατὰ τὸ κρίμασου ζῆσόν με.

Πολλοὶ οἱ ἐκδιώκοντές με καὶ θλίβοντές με, ἐκ τῶν μαρτυρίων σου οὐκ ἐξέκλινα.

Εἶδον ἀσυνετοῦντας, καὶ ἐξετηκόμην, ὅτι τὰ λόγιά σου οὐκ ἐφυλάξαντο.

Ἴδε, ὅτι τὰς ἐντολάς σου ἠγάπησα· Κύριε, ἐν τῷ ἐλέει σου ζῆσόν με.

Ἀρχὴ τῶν λόγων σου ἀλήθεια, καὶ εἰς τὸν αἰῶνα πάντα τὰ κρίματα τῆς δικαιοσύνης σου.

Ἄρχοντες κατεδίωξάν με δωρεὰν, καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου.

Ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ λόγιά σου, ὡς ὁ εὑρίσκων σκῦλα πολλά.

Ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην, τὸν δὲ νόμον σου ἠγάπησα.

Ἑπτάκις τῆς ἡμέρας ἤνεσά σε, ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου.

Εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον σου, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον.

Προσεδόκων τὸ σωτήριόν σου, Κύριε, καὶ τὰς ἐντολάς σου ἠγάπησα.

Ἐφύλαξεν ἡ ψυχή μου τὰ μαρτύριά σου, καὶ ἠγάπησεν αὐτὰ σφόδρα.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσιο Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπογραφίας Ιακωβάτων

Ἐφύλαξα τὰς ἐντολάς σου καὶ τὰ μαρτύριά σου, ὅτι πᾶσαι αἱ ὁδοί μου ἐναντίον σου, Κύριε.

Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου, Κύριε, κατὰ τὸ λόγιόν σου συνέτισόν με.

Εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου, Κύριε, κατὰ τὸ λόγιόν σου ῥῦσαί με.

Ἐξερεύξονται (*) τὰ χείλη μου ὕμνον, ὅταν διδάξῃς με τὰ δικαιώματά σου.

Φθέγξεται ἡ γλῶσσά μου τὰ λόγιά σου, ὅτι πᾶσαι αἱ ἐντολαί σου δικαιοσύνη.

Γενέσθω ἡ χείρ σου τοῦ σῶσαί με, ὅτι τὰς ἐντολάς σου ἡρετισάμην.

Ἐπεπόθησα τὸ σωτήριόν σου, Κύριε, καὶ ὁ νόμος σου μελέτη μου ἐστί.

Ζήσεται ἡ ψυχή μου, καὶ αἰνέσει σε, καὶ τὰ κρίματά σου βοηθήσει μοι.

Ἐπλανήθην ὡς πρόβατον ἀπολωλός, ζήτησον τὸν δοῦλόν σου, ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην.

## Δόξα, καὶ νῦν.

Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων. Φῶς ἐκ Φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο. Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, κατελθόντα ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθέντα ἐν Πνεύματος ἁγίου, καὶ Μαρίας τῆς Παρθένου, καὶ ἐνανθρωπήσαντα. Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα, καὶ ταφέντα. Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς Οὐρανούς, καὶ

(*) Τὸ ῥῆμα τοῦτο, καὶ τὸ εἰς τὸ ἑξῆς θέλουσι φθέγξεται, ἡ ἐν Λόγῳ ἔκδοσις τῆς Γραφῆς ἔχει εἰς μέλλοντα χρόνον: ἐξερεύξονται, καὶ ῥθέγξεται.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Δημοτική Επιλεκτική Βιβλιοθήκη

καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης, κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσαι τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ Κύριον, τὸ Ζωοποιὸν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον, καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν Προφητῶν. Εἰς μίαν, Ἁγίαν, Καθολικὴν, καὶ Ἀποστολικὴν Ἐκκλησίαν. Ὁμολογῶ ἓν Βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ Ἀνάστασιν νεκρῶν. Καὶ Ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

Τρισάγιον. Μετανοίας τρεῖς. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. Εἶτα τὰ Τροπάρια ταῦτα.

Ἦχος πλ. δ'.

Ἰδοὺ ὁ Νυμφίος ἔρχεται ἐν τῷ μέσῳ τῆς νυκτός· καὶ μακάριος ὁ δοῦλος, ὃν εὑρήσει γρηγοροῦντα, ἀνάξιος δὲ πάλιν, ὃν εὑρήσει ῥᾳθυμοῦντα. Βλέπε οὖν ψυχή μου, μὴ τῷ ὕπνῳ κατενεχθῇς, ἵνα μὴ τῷ θανάτῳ παραδοθῇς, καὶ τῆς Βασιλείας ἔξω κλεισθῇς· ἀλλὰ ἀνάνηψον κράζουσα: Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός. Διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Δόξα Πατρί.

Τὴν ἡμέραν ἐκείνην τὴν φοβερὰν ἐννοοῦσα ψυχή μου γρηγόρησον, ἀνάπτουσα λαμπάδα σου, ἐν ἐλαίῳ φαιδρύνασα· οὐ γὰρ οἶδας πότε πρὸς σὲ ἐπελεύσεται ἡ φωνὴ ἡ λέγουσα: Ἰδοὺ ὁ Νυμφίος. Βλέπε ἄν ψυχή μου, μὴ νυστάξῃς, καὶ μείνῃς ἔξωθεν κρούουσα, ὡς αἱ πέντε Παρθένοι· ἀλλ' ἀγρύπνως καρτέρησον, ἵνα ὑπαντήσῃς Χριστῷ τῷ Θεῷ ἐν ἐλαίῳ πίονι, καὶ δῴη σοι τὸν νυμφῶνα τὸν θεῖον τῆς δόξης αὐτοῦ.

Καὶ νῦν, Θεοτοκίον.

Σὲ τὸ ἀπόρθητον τεῖχος, τὸ τῆς σωτηρίας ὀχύρωμα, Θεοτόκε Παρθένε, ἱκετεύομεν. Τὰς τῶν ἐναντίων βαλὰς διασκέδασον· τοῦ λαοῦ σου τὴν λύπην εἰς χαρὰν μετάβαλε· τὸν κόσμον σου ἀνακάλεσον· τοὺς εὐσεβεῖς κραταίωσον· ὑπὲρ εἰρήνης τοῦ κόσμου πρέσβευε, ὅτι σὺ εἰ Θεοτόκε ἡ ἐλπὶς ἡμῶν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Εἶτα τὸ, Κύριε ἐλέησον μ'. καὶ τὴν Εὐχὴν ταύτην.

Ὁ ἐν παντὶ καιρῷ καὶ πάσῃ ὥρᾳ, ἐν οὐρανῷ καὶ ἐπὶ γῆς προσκυνούμενος καὶ δοξαζόμενος, Χριστὸς ὁ Θεὸς, ὁ μακρόθυμος, ὁ πολυέλεος, ὁ πολυεύσπλαγχνος, ὁ τοὺς δικαίους ἀγαπῶν, καὶ τοὺς ἁμαρτωλοὺς ἐλεῶν, ὁ πάντας καλῶν πρὸς σωτηρίαν, διὰ τῆς ἐπαγγελίας τῶν μελλόντων ἀγαθῶν. Αὐτὸς Κύριε, πρόσδεξαι καὶ ἡμῶν ἐν τῇ ὥρᾳ ταύτῃ τὰς ἐντεύξεις, καὶ ἴθυνον τὴν ζωὴν ἡμῶν πρὸς τὰς ἐντολάς σου. Τὰς ψυχὰς ἡμῶν ἁγίασον, τὰ σώματα ἅγνισον, τοὺς λογισμοὺς διόρθωσον, τὰς ἐννοίας κάθαρον, καὶ ῥῦσαι ἡμᾶς ἀπὸ πάσης θλίψεως, κακῶν, καὶ ὀδύνης. Τείχισον ἡμᾶς ἁγίοις σου Ἀγγέλοις, ἵνα τῇ παρεμβολῇ αὐτῶν φρουρούμενοι καὶ ὁδηγούμενοι, καταντήσωμεν εἰς τὴν ἑνότητα τῆς πίστεως, καὶ εἰς τὴν ἐπίγνωσιν τῆς ἀπροσίτου σου δόξης· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τὸ, Κύριε ἐλέησον γ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, Πάτερ.

Ὁ Ἱερεύς: Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς.

Καὶ εἰ μέν ἐστιν Ἀλληλούϊα (*), ποιοῦμεν μετανοίας γ'.

---

(*) Ἡ λέξις Ἀλληλούϊα, Ἑβραϊκὴ οὖσα, μεθερμηνεύεται Ἑλληνιστὶ: Αἰνεῖτε τὸν Κύριον. Μετεχειρίζοντο δὲ αὐτὴν ὡς σημεῖον χαρᾶς, καὶ εὐφροσύνης ἐπιφώνημα, εἰς χαρμοσύνους περιστάσεις, αἰνοῦντες τὸν Θεὸν καὶ εὐχαριστοῦντες διὰ τὰ θαυμάσια αὐτοῦ, ὡς γίνεται ὅῆλον ἐκ τῆς ὑποθέσεως πολλῶν Ψαλμῶν, εἰς οὓς ἡ λέξις αὕτη ἐπιγράφεται. Ἔτι δὲ καὶ ἐξ ὧν ὁ Τωβὶτ λέγει περὶ τῆς μετὰ τὴν ἅλωσιν οἰκοδομηθησομένης πάλιν Ἱερουσαλὴμ, ὅτι τότε πᾶσαι αἱ ῥῦμαι αὐτῆς ἐροῦσιν· Ἀλληλούϊα (ιγ'. 18.). Πρὸς τούτοις καὶ ἐκ τῆς Ἀποκαλύψεως Ἰωάννου, ὃς τις, μετὰ τὴν πτῶσιν καὶ τὸν ἀφανισμὸν τῆς μυστικῆς Βαβυλῶνος, ἤκουσε φωνὴν μεγάλην ἐν τῷ οὐρανῷ λέγουσαν συνεχῶς: Ἀλληλούϊα (ιή. 2, 20-21. ιθ', 1-6). Ἡ καθ' ἡμᾶς ὅμως τοῦ Χριστοῦ Ἐκκλησία μεταχειρίζεται αὐτὴν, οὐ μόνον εἰς λαμπρὰς καὶ χαρμοσύνους ἡμέρας, ὡς εἰς τὰ Ἀντίφωνα, φέρ' εἰπεῖν, τῶν Δεσποτικῶν ἑορτῶν [illegible] ἡμᾶς... ψάλλοντάς σοι, Ἀλληλούϊα· ἀλλὰ καὶ πολλαχοῦ τῆς καθ' ἑκάστην [illegible] μερονυκτίου Ἀκολουθίας. Πλεοναζει δὲ μάλιστα ἡ λέξις αὕτη εἰς τὰς νεκρωσίμους πομπὰς καὶ τὰς πενθίμους τῶν νηστειῶν ἡμέρας, ὅτε καὶ ὁ τῷ Ἑστηκὼς Ληξουρίου νήθους Προκειμένου, καὶ ἐν τῷ Ὀρθρῳ αὐτοῦ τοῦ: Θεὸς Κύριος [illegible] λούϊα. Περὶ τούτου οὖν τοῦ Ἀλληλούϊα λέγει ἐνταῦθα καὶ ἐν [illegible] τικὴ διάταξις ὅτι, Εἰ μέν ἐστιν Ἀλληλούϊα, τουτέστιν, ἐὰν [illegible]

μεγάλας, λέγοντες μυστικῶς, ἐν ἑκάστῃ μετανοίᾳ, ἀνὰ στίχον τῆς ἑπομένης Εὐχῆς τοῦ ἁγίου Ἐφραίμ.

Κύριε καὶ Δέσποτα τῆς ζωῆς μου, πνεῦμα ἀργίας, περιεργίας, φιλαρχίας, καὶ ἀργολογίας μή μοι δῷς. Πνεῦμα δὲ σωφροσύνης, ταπεινοφροσύνης, ὑπομονῆς, καὶ ἀγάπης χάρισαί μοι τῷ σῷ δούλῳ.

Ναί, Κύριε Βασιλεῦ, δώρησαί μοι τοῦ ὁρᾶν τὰ ἐμὰ πταίσματα, καὶ μὴ κατακρίνειν τὸν ἀδελφόν μου· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετὰ δὲ ταύτας, ἑτέρας μικρὰς ιβ'. εἶτ' αὖθις μετάνοιαν μεγάλην μίαν, λέγοντες πάλιν τὸν τελευταῖον στίχον τῆς ἀνωτέρω Εὐχῆς. Εἶτα τὴν Εὐχὴν ταύτην

Τοῦ ἁγίου Μαρδαρίου.

Δέσποτα Θεὲ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενὲς, Ἰησοῦ Χριστὲ, καὶ ἅγιον Πνεῦμα, μία Θεότης, μία δύναμις, ἐλέησόν με τὸν ἁμαρτωλόν· καὶ οἷς ἐπίστασαι κρίμασι, σῶσόν με τὸν ἀνάξιον δούλόν σου· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰδ' οὐκ ἔστιν Ἀλληλούϊα, καταλιμπάνεται τὸ Κύριε καὶ Δέσποτα τῆς ζωῆς μου, καὶ αἱ μετάνοιαι, ἃς λέγομεν μόνον τὸ Δέσποτα Θεὲ, Πάτερ· καὶ τὰς Εὐχὰς ταύτας. Ἑστέον δὲ ὅτι ἡ Εὐχὴ αὕτη λέγεται ἀπὸ τῆς κβ'. τοῦ Σεπτεμβρίου Μηνὸς, μέχρι τῆς Κυριακῆς τῶν Βαΐων.

Εὐχὴ Βασιλείου τοῦ Μεγάλου.

Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν δυνάμεων, καὶ πάσης σαρκὸς, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν· καρδίας τε καὶ νεφροὺς ὁ ἐτάζων, καὶ τὰ κρυπτὰ τῶν ἀνθρώπων σαφῶς ἐπισάμενος· τὸ

---

μὴ ψάλληται Θεὸς Κύριος, ποιοῦμεν τὰς μεγάλας Μετανοίας· εἰ δὲ μή, κ. τ. λ. Σημείωσον δὲ, ὅτι ἡ Δυτικὴ Ἐκκλησία, ἀπ' ἐναντίας τῶν ἐθίμων τῆς καθ' ἡμᾶς, πρὸ πολλοῦ ἀπηγόρευσε τὴν χρῆσιν τοῦ Ἀλληλούϊα, εἰς τὰς νηστίμους ἡμέρας, καὶ τὰς πενθίμους τελετὰς, καὶ περιώρισεν αὐτὸ εἰς μόνας τὰς χαρμοσύνους, ἐξαιρέτως δὲ εἰς τὴν ἡμέραν τοῦ Πάσχα, ὅτε καὶ πολλάκις ψάλλει αὐτό, ὡς ἡμεῖς τὸ Χριστὸς ἀνέστη. Ἀλλὰ καὶ ἐπισκεπτόμενοι ἀλλήλους πολλοὶ τῶν Δυτικῶν, τὰς ἡμέρας τοῦ Πάσχα, ἡ συναπαντῶμενοι καθ' ὁδὸν, ἀσπάζονται διὰ τοῦ προορήματος: Καλὸν Ἀλληλούϊα· ὥσπερ ἡμεῖς διὰ τοῦ: Χριστὸς ἀνέστη.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Μουσείο Τύπων και Χαρτών

ἄναρχον καὶ ἀΐδιον φῶς, παρ᾽ ᾧ οὐκ ἔστι παραλλαγὴ, ἢ τροπῆς ἀποσκίασμα· Αὐτὸς ἀθάνατε Βασιλεῦ, πρόσδεξαι τὰς ἱκεσίας ἡμῶν, ἃς κατὰ τὸν παρόντα καιρὸν τῆς νυκτὸς, τῷ πλήθει τῶν σῶν οἰκτιρμῶν θαῤῥοῦντες, ἐκ ῥυπαρῶν πρὸς σὲ χειλέων ποιούμεθα. Καὶ ἄφες ἡμῖν τὰ πλημμελήματα ἡμῶν, τὰ ἐν ἔργῳ, καὶ λόγῳ, καὶ διανοίᾳ, ἐκ γνώσεως, ἢ ἀγνωσίας πλημμεληθέντα ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ναοὺς ἡμᾶς ποιῶν τοῦ ἁγίου Πνεύματος. Καὶ δώρησαι ἡμῖν ἐν ἀγρύπνῳ καρδίᾳ, καὶ νηφούσῃ διανοίᾳ, πᾶσαν τοῦ παρόντος βίου τὴν νύκτα ἡμᾶς διελθεῖν, ἀπεκδεχομένους τὴν παρουσίαν τῆς λαμπρᾶς καὶ ἐπιφανοῦς ἡμέρας τοῦ μονογενοῦς σου Υἱοῦ, τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐν ᾗ μετὰ δόξης ἐπὶ γῆς κριτὴς τῶν ἁπάντων ἐλεύσεται, ἑκάστῳ ἀποδοῦναι κατὰ τὰ ἔργα αὐτοῦ· ἵνα μὴ ἀναπεπτωκότες καὶ ὑπνοῦντες, ἀλλ᾽ ἐγρηγοροῦντες καὶ διεγηγερμένοι ἐν τῇ ἐργασίᾳ τῶν ἐντολῶν αὐτοῦ εὑρεθῶμεν, καὶ ἕτοιμοι εἰς τὴν χαρὰν, καὶ εἰς τὸν θεῖον νυμφῶνα τῆς δόξης αὐτοῦ συνεισέλθωμεν, ἔνθα ὁ τῶν ἑορταζόντων ἦχος ὁ ἀκατάπαυστος, καὶ ἡ ἀνέκφραστος ἡδονὴ τῶν καθορώντων τοῦ σοῦ προσώπου τὸ κάλλος τὸ ἄῤῥητον. Σὺ γὰρ εἶ τὸ ἀληθινὸν φῶς, τὸ φωτίζον, καὶ ἁγιάζον τὰ σύμπαντα, καὶ σὲ ὑμνεῖ πᾶσα ἡ κτίσις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ὑψοῖ ὁ Ἱερεὺς τὰς χεῖρας, λέγων:

Εὐχὴ τοῦ αὐτοῦ.

Σὲ εὐλογοῦμεν, ὕψιστε Θεὲ, καὶ Κύριε τοῦ ἐλέους, τὸν ποιοῦντα ἀεὶ μεθ᾽ ἡμῶν μεγάλα τε καὶ ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός· τὸν παρασχόντα ἡμῖν τὸν ὕπνον εἰς ἀνάπαυσιν τῆς ἀσθενείας ἡμῶν, καὶ ἄνεσιν τῶν κόπων τῆς πολυμόχθου σαρκός. Εὐχαριστοῦμέν σοι, ὅτι οὐ συναπώλεσας ἡμᾶς ταῖς ἀνομίαις ἡμῶν, ἀλλ᾽ ἐφιλανθρωπεύσω συνήθως, καὶ πρὸς ἀπόγνωσιν

κειμένους ἡμᾶς ἤγειρας, εἰς τὸ δοξολογῆσαι τὸ κράτος σου. Διὸ δυσωποῦμεν τὴν ἀνείκαστόν σου ἀγαθότητα, φώτισον ἡμῶν τοὺς τῆς διανοίας ὀφθαλμούς, καὶ τὸν νοῦν ἡμῶν ἐκ τοῦ βαρέος ὕπνου τῆς ῥᾳθυμίας ἀνάστησον. Ἄνοιξον ἡμῶν τὸ στόμα, καὶ πλήρωσον αὐτὸ τῆς σῆς αἰνέσεως, ὅπως ἂν δυνηθῶμεν ἀπερισπάστως ᾄδειν τε, καὶ ψάλλειν, καὶ ἐξομολογεῖσθαί σοι τῷ ἐν πᾶσι καὶ ὑπὸ πάντων δοξαζομένῳ Θεῷ, τῷ ἀνάρχῳ Πατρὶ, σὺν τῷ μονογενεῖ σου Υἱῷ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα: Δεῦτε προσκυνήσωμεν, ἐκ τρίτου.

Μετανοίας γ'. καὶ τοὺς Ψαλμούς.

## ΨΑΛΜΟΣ ρκ'. 120.

Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.

Ἡ βοήθειά μου παρὰ Κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

Μὴ δῴης εἰς σάλον τὸν πόδα σου, μηδὲ νυστάξῃ ὁ φυλάσσων σε.

Ἰδὲ οὐ νυστάξει, οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ.

Κύριος φυλάξει σε, Κύριος σκέπη σοι ἐπὶ χεῖρα δεξιάν σου.

Ἡμέρας ὁ Ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ Σελήνη τὴν νύκτα.

Κύριος φυλάξει σε ἀπὸ παντὸς κακοῦ, φυλάξει τὴν ψυχήν σου ὁ Κύριος.

Κύριος φυλάξει τὴν εἴσοδόν σου, καὶ τὴν ἔξοδόν σου, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

## ΨΑΛΜΟΣ ρλγ'. 133.

Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ δοῦλοι Κυρίου

Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ξάνθης
Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐν ταῖς νυξὶν ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια, καὶ εὐλογεῖτε τὸν Κύριον.

Εὐλογήσαι σε Κύριος ἐκ Σιὼν, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα. Τρισάγιον. Μετανοίας γ'. Παναγία Τριάς. Πάτερ ἡμῶν. Καὶ τὰ Τροπάρια ταῦτα:

Ἦχος πλ. δ'.

Μνήσθητι, Κύριε, ὡς ἀγαθὸς τῶν δούλων σου, καὶ ὅσα ἐν βίῳ ἥμαρτον, συγχώρησον· οὐδεὶς γὰρ ἀναμάρτητος, εἰμὴ σὺ ὁ δυνάμενος καὶ τοῖς μεταξᾶσι δοῦναι τὴν ἀνάπαυσιν.

Ὁ βάθει σοφίας φιλανθρώπως πάντα οἰκονομῶν, καὶ τὸ συμφέρον πᾶσιν ἀπονέμων, μονε Δημιουργὲ, ἀνάπαυσον Κύριε τὰς ψυχὰς τῶν δούλων σου· ἐν σοὶ γὰρ τὴν ἐλπίδα ἀνέθεντο, τῷ ποιητῇ, καὶ πλάστῃ, καὶ Θεῷ ἡμῶν.

Δόξα Πατρί.

Μετὰ τῶν Ἁγίων ἀνάπαυσον, Χριστὲ, τὰς ψυχὰς τῶν δούλων σου, ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη, οὐ στεναγμὸς, ἀλλὰ ζωὴ ἀτελεύτητος.

Καὶ νῦν, Θεοτοκίον.

Μακαρίζομέν σε πᾶσαι αἱ γενεαὶ, Θεοτόκε Παρθένε· ἐν σοὶ γὰρ ὁ ἀχώρητος Χριστὸς ὁ Θεὸς ἡμῶν χωρηθῆναι ηὐδόκησε. Μακάριοι ἐσμὲν καὶ ἡμεῖς, προσασίαν σε ἔχοντες· ἡμέρας γὰρ καὶ νυκτὸς πρεσβεύεις ὑπὲρ ἡμῶν, καὶ τὰ σκῆπτρα τῆς βασιλείας ταῖς σαῖς ἱκεσίαις κρατύνονται. Διὸ ἀνυμνοῦντες βοῶμέν σοι: Χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

Κύριε ἐλέησον ιβ'. καὶ τὴν ἑπομένην Εὐχήν.

## ΕΥΧΗ

Μνήσθητι, Κύριε, τῶν ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου κεκοιμημένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, καὶ πάντων τῶν ἐν εὐσεβείᾳ καὶ πίστει τελειωθέντων, καὶ συγχώρησον αὐτοῖς πᾶν πλημμέλημα, ἑκούσιον,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λημνίου
Μουσείο Τυπωμένων Ιακωβαίων

καὶ ἀκούσιον, ἐν λόγῳ, ἢ ἔργῳ, ἢ κατὰ διάνοιαν πλημμεληθὲν ὑπ' αὐτῶν. Καὶ κατασκήνωσον αὐτοὺς ἐν τόποις φωτεινοῖς, ἐν τόποις χλοεροῖς, ἐν τόποις ἀναψύξεως, ἔνθα ἀπέδρα πᾶσα ὀδύνη, λύπη καὶ στεναγμός, ὅπου ἡ ἐπισκοπὴ τοῦ προσώπου σου εὐφραίνει πάντας τοὺς ἀπ' αἰῶνος Ἁγίους σου. Χάρισαι αὐτοῖς τὴν Βασιλείαν σου, καὶ τὴν μέθεξιν τῶν ἀφράτων καὶ αἰωνίων σου ἀγαθῶν, καὶ τῆς σῆς ἀπεράντου καὶ μακαρίας ζωῆς τὴν ἀπόλαυσιν. Σὺ γὰρ εἶ ἡ ζωὴ, ἡ ἀνάπαυσις καὶ ἡ ἀνάπαυσις τῶν κεκοιμημένων δούλων σου, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὑπερένδοξε, ἀειπάρθενε, εὐλογημένη Θεοτόκε, προσάγαγε τὴν ἡμετέραν προσευχὴν τῷ Υἱῷ σου καὶ Θεῷ ἡμῶν, καὶ αἴτησαι, ἵνα σώσῃ διὰ σοῦ τὰς ψυχὰς ἡμῶν.

## Εὐχὴ τοῦ ἁγίου Ἰωαννικίου.

Ἡ ἐλπίς μου ὁ Πατὴρ, καταφυγή μου ὁ Υἱὸς, σκέπη μου τὸ Πνεῦμα τὸ ἅγιον. Τριὰς ἁγία, δόξα σοι. Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μήτηρ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δόξα, καὶ νῦν. Κύριε ἐλέησον γ'. Εὐλόγησον.

Ὁ Ἱερεὺς ποιεῖ τὴν Ἀπόλυσιν, λέγων: Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, κ. τ. λ. Μετὰ δὲ τὸ λαβεῖν τὴν συχήθη συγχώρησιν, λέγει:

Εὐξώμεθα ὑπὲρ εἰρήνης τοῦ κόσμου.

(Καὶ ἡμεῖς τὸ Κύριε ἐλέησον, συνεχῶς.)

Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν.

Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ Θεοφυλάκτων Βασιλέων ἡμῶν.

Ὑπὲρ εὐοδώσεως καὶ ἐνισχύσεως τοῦ φιλοχρίστου Στρατοῦ.

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (Δεῖνος), καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν Ἀδελφότητος.

ΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ιερά Κεντρική Βιβλιοθήκη Ιεροσολύμων
Ιδρύθηκε το 1534 από τον Πατριάρχη Ιεροσολύμων

Ὑπὲρ τῶν ἀπολειφθέντων πατέρων, καὶ ἀδελφῶν ἡμῶν.
Ὑπὲρ τῶν μισούντων, καὶ ἀγαπώντων ἡμᾶς.
Ὑπὲρ τῶν ἐλεούντων, καὶ διακονούντων ἡμῖν.
Ὑπὲρ τῶν ἐντελαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν.
Ὑπὲρ ἀναῤῥύσεως τῶν αἰχμαλώτων.
Ὑπὲρ τῶν ἐν θαλάσσῃ καλῶς πλεόντων.
Ὑπὲρ τῶν ἐν ἀσθενείαις κατακειμένων.
Εὐξώμεθα καὶ ὑπὲρ εὐφορίας τῶν καρπῶν τῆς γῆς.
Καὶ ὑπὲρ πάσης ψυχῆς Χριστιανῶν ὀρθοδόξων.
Μακαρίσωμεν τοὺς εὐσεβεῖς Βασιλεῖς.
Τοὺς ὀρθοδόξους Ἀρχιερεῖς.
Τοὺς Κτίτορας τῆς ἁγίας Μονῆς ταύτης.
Τοὺς γονεῖς ἡμῶν, καὶ διδασκάλους, καὶ πάντας τοὺς προαπελθόντας πατέρας, καὶ ἀδελφοὺς ἡμῶν, τοὺς ἐνθάδε κειμένους, καὶ ἁπανταχοῦ ὀρθοδόξους.
Εἴπωμεν καὶ ὑπὲρ ἑαυτῶν τὸ Κύριε ἐλέησον γ'.

Ο Προεστώς.

Διὰ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

Πρόσχες, ὅτι οὕτως ὀφείλει ψάλλεσθαι ἐν ὅλῃ τῇ Ἑβδομάδι τὸ Μεσονυκτικόν.

## ΜΕΣΟΝΥΚΤΙΚΟΝ ΤΟΥ ΣΑΒΒΑΤΟΥ.

Μετὰ τὸν Εὐλογητὸν: Βασιλεῦ Οὐράνιε. Τρισάγιον. Παναγία Τριας. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστι. Κύριε ἐλέησον ιβ'. Δεῦτε προσκυνήσωμεν γ'. εἶτα τὸ, Ἐλέησόν με ὁ Θεός. Ὅρα σελ. 4. καὶ τὸς ἑφεξῆς Ψαλμούς.

## ΨΑΛΜΟΣ ξδ'. 64.

Σοὶ πρέπει ὕμνος, ὁ Θεὸς, ἐν Σιὼν, καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν Ἱερουσαλήμ.
Εἰσάκουσον προσευχῆς μου, πρὸς σὲ πᾶσα σὰρξ ἥξει.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημοτική Βιβλιοθήκη Λήξουρίου - Μουσείο Τυπόλοων Κεφαλληνίας

Λέγοι ἀνόμων ὑπερεδυνάμωσαν ἡμᾶς, καὶ ταῖς ἀσεβείαις ἡμῶν σὺ ἱλάσει.

Μακάριος, ὃν ἐξελέξω καὶ προσελάβου, κατασκηνώσει ἐν ταῖς αὐλαῖς σου.

Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου· ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ.

Ἐπάκουσον ἡμῶν, ὁ Θεὸς, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακράν.

Ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύϊ αὐτοῦ, περιεζωσμένος ἐν δυναστείᾳ· ὁ συνταράσσων τὸ κῦτος τῆς θαλάσσης· ἤχους κυμάτων αὐτῆς τίς ὑποστήσεται;

Ταραχθήσονται τὰ ἔθνη, καὶ φοβηθήσονται οἱ κατοικοῦντες τὰ πέρατα ἀπὸ τῶν σημείων σου· ἐξόδους πρωΐας καὶ ἑσπέρας τέρψεις.

Ἐπεσκέψω τὴν γῆν, καὶ ἐμέθυσας αὐτὴν, ἐπλήθυνας τοῦ πλουτίσαι αὐτήν.

Ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων· ἡτοίμασας τὴν τροφὴν αὐτῶν, ὅτι οὕτως ἡ ἑτοιμασία.

Τὰς αὔλακας αὐτῆς μέθυσον, πλήθυνον τὰ γεννήματα αὐτῆς· ἐν ταῖς σταγόσιν αὐτῆς εὐφρανθήσεται ἀνατέλλουσα.

Εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου, καὶ τὰ πεδία σα πλησθήσονται ποιότητος.

Πιανθήσονται τὰ ὡραῖα τῆς ἐρήμου, καὶ ἀγαλλίασιν οἱ βουνοὶ περιζώσονται.

Ἐνεδύσαντο οἱ κριοὶ τῶν προβάτων, καὶ αἱ κοιλάδες πλήθυνοῦσι σῖτον· κεκράξονται, καὶ γὰρ ὑμνήσουσιν.

## ΨΑΛΜΟΣ ξέ. 65.

Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ· ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ· δότε δόξαν ἐν αἰνέσει αὐτοῦ.

Εἴπατε τῷ Θεῷ· Ὡς φοβερὰ τὰ ἔργα σου· ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σα.

Πᾶσα ἡ γῆ προσκυνησάτωσαν σοι, καὶ ψαλατωσάν σοι· ψαλατωσαν δὴ τῷ ὀνόματι σου, Ὕψιστε.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λαρίσης - Μουσείο Τυπάλδων Ιακώβατων

Δεῦτε, καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ, ὡς φοβερὸς ἐν βουλαῖς ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων.

Ὁ μεταστρέφων τὴν θάλασσαν εἰς ξηράν, ἐν ποταμῷ διελεύσονται ποδί.

Ἐκεῖ εὐφρανθησόμεθα ἐπ' αὐτῷ, τῷ δεσπόζοντι ἐν τῇ δυναστείᾳ αὐτοῦ τοῦ αἰῶνος· οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τὰ ἔθνη ἐπιβλέπουσιν· οἱ παραπικραίνοντες μὴ ὑψούσθωσαν ἐν ἑαυτοῖς.

Εὐλογεῖτε, ἔθνη, τὸν Θεὸν ἡμῶν, καὶ ἀκουτίσατε τὴν φωνὴν τῆς αἰνέσεως αὐτοῦ.

Τοῦ θεμένου τὴν ψυχήν μου εἰς ζωήν, καὶ μὴ δόντος εἰς σάλον τοὺς πόδας μου.

Ὅτι ἐδοκίμασας ἡμᾶς, ὁ Θεός· ἐπύρωσας ἡμᾶς, ὡς πυροῦται τὸ ἀργύριον.

Εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα· ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν· ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν.

Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν.

Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου ἐν ὁλοκαυτώμασιν· ἀποδώσω σοι τὰς εὐχάς μου, ἃς διέστειλε τὰ χείλη μου, καὶ ἐλάλησε τὸ στόμα μου ἐν τῇ θλίψει μου.

Ὁλοκαυτώματα μεμυελωμένα ἀνοίσω σοι, μετὰ θυμιάματος καὶ κριῶν· ἀνοίσω σοι βόας μετὰ χιμάρων.

Δεῦτε ἀκούσατε, καὶ διηγήσομαι ὑμῖν, πάντες οἱ φοβούμενοι τὸν Θεὸν, ὅσα ἐποίησε τῇ ψυχῇ μου.

Πρὸς αὐτὸν τῷ στόματί μου ἐκέκραξα, καὶ ὕψωσα ὑπὸ τὴν γλῶσσάν μου.

Ἀδικίαν εἰ ἐθεώρουν ἐν καρδίᾳ μου, μὴ εἰσακούσατω μου Κύριος.

Διὰ τοῦτο εἰσήκουσέ μου ὁ Θεὸς, προσέσχε τῇ φωνῇ τῆς δεήσεώς μου.

Εὐλογητὸς ὁ Θεὸς, ὃς οὐκ ἀπέστησε τὴν προσευχὴν μου, καὶ τὸ ἔλεος αὐτοῦ ἀπ' ἐμοῦ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λήξουρίου - Μουσείο Υπαλλοντικών Χωρών

## ΨΑΛΜΟΣ ξ'. 66.

Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς· ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς.

Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου.

Ἐξομολογησάσθωσάν σοι λαοί, ὁ Θεὸς, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες.

Εὐφρανθήτωσαν, καὶ ἀγαλλιάσθωσαν ἔθνη, ὅτι κρινεῖς λαοὺς ἐν εὐθύτητι, καὶ ἔθνη ἐν τῇ γῇ ὁδηγήσεις.

Ἐξομολογησάσθωσάν σοι λαοί, ὁ Θεὸς, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες· γῆ ἔδωκε τὸν καρπὸν αὐτῆς.

Εὐλογήσαι ἡμᾶς ὁ Θεὸς, ὁ Θεὸς ἡμῶν· εὐλογήσαι ἡμᾶς ὁ Θεὸς, καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἐκ τρίτου.

## ΨΑΛΜΟΣ ξζ'. 67.

Ἀναστήτω ὁ Θεὸς, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.

Ὡς ἐκλείπει καπνὸς, ἐκλειπέτωσαν· ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρὸς, οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ.

Καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν, ἀγαλλιάσθωσαν ἐνώπιον τοῦ Θεοῦ, τερφθήτωσαν ἐν εὐφροσύνῃ.

Ἄσατε τῷ Θεῷ, ψάλατε τῷ ὀνόματι αὐτοῦ, ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν, Κύριος ὄνομα αὐτῷ.

Καὶ ἀγαλλιᾶσθε ἐνώπιον αὐτοῦ. Ταραχθήτωσαν ἀπὸ προσώπου αὐτοῦ, τοῦ πατρὸς τῶν ὀρφανῶν, καὶ κριτοῦ τῶν χηρῶν.

Ὁ Θεὸς ἐν τόπῳ ἁγίῳ αὐτοῦ. Ὁ Θεὸς κατοικίζει μονοτρόπους ἐν οἴκῳ.

Ἐξάγων πεπεδημένους ἐν ἀνδρείᾳ, ὁμοίως τοὺς παραπικραίνοντας, τοὺς κατοικοῦντας ἐν τάφοις.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Δημοσίου - Μουσείο Τυπωμένων Ιαπωνικών

Ὁ Θεὸς, ἐν τῷ ἐκπορεύεσθαί σε ἐνώπιον τοῦ λαοῦ σου, ἐν τῷ διαβαίνειν σε ἐν τῇ ἐρήμῳ,

Γῆ ἐσείσθη, καὶ γὰρ οἱ οὐρανοὶ ἔσταξαν ἀπὸ προσώπου τοῦ Θεοῦ τοῦ Σινᾶ, ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰσραήλ.

Βροχὴν ἑκούσιον ἀφορίεις, ὁ Θεὸς, τῇ κληρονομίᾳ σου· καὶ ἠσθένησε, σὺ δὲ κατηρτίσω αὐτήν.

Τὰ ζῶά σου κατοικοῦσιν ἐν αὐτῇ· ἡτοίμασας ἐν τῇ χρηστότητί σου τῷ πτωχῷ, ὁ Θεός.

Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ.

Ὁ βασιλεὺς τῶν δυνάμεων τοῦ ἀγαπητοῦ, τῇ ὡραιότητι τοῦ οἴκου διελέσθαι σκῦλα.

Ἐὰν κοιμηθῆτε ἀναμέσον τῶν κλήρων, πτέρυγες περιστερᾶς περιηργυρωμέναι, καὶ τὰ μεπάφρενα αὐτῆς ἐν χλωρότητι χρυσίου.

Ἐν τῷ διαστέλλειν τὸν Ἐπουράνιον βασιλεῖς ἐπ' αὐτῆς, χιονωθήσονται ἐν Σελμών.

Ὄρος τοῦ Θεοῦ, ὄρος πῖον, ὄρος τετυρωμένον, ὄρος πῖον.

Ἵνα τί ὑπολαμβάνετε ὄρη τετυρωμένα; τὸ ὄρος, ὃ εὐδόκησεν ὁ Θεὸς κατοικεῖν ἐν αὐτῷ· καὶ γὰρ ὁ Κύριος κατασκηνώσει εἰς τέλος.

Τὸ ἅρμα τοῦ Θεοῦ μυριοπλάσιον, χιλιάδες εὐθυνούντων, Κύριος ἐν αὐτοῖς ἐν Σινᾷ ἦν, ἐν τῷ ἁγίῳ.

Ἀνέβης εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν, ἔλαβες δόματα ἐν ἀνθρώποις, καὶ γὰρ ἀπειθοῦντας τοῦ κατασκηνῶσαι.

Κύριος ὁ Θεὸς εὐλογητὸς, εὐλογητὸς Κύριος ἡμέραν καθ' ἡμέραν· καπυοδώσαι ἡμῖν ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν.

Ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ σώζειν· καὶ τοῦ Κυρίου Κυρίου αἱ διέξοδοι τοῦ θανάτου.

Πλὴν ὁ Θεὸς συνθλάσει κεφαλὰς ἐχθρῶν αὐτοῦ, κορυφὴν τριχὸς διαπορευομένων ἐν πλημμελείαις αὐτῶν.

Εἶπε Κύριος: Ἐκ Βασαὰ ἐπιστρέψω, ἐπιστρέψω ἐν βυθοῖς θαλάσσης.

Ὅπως ἂν βαφῇ ὁ πους σου ἐν αἵματι ἡ γλῶσσα τῶν κυνῶν σου ἐξ ἐχθρῶν παρ αὐτου.

Δημόσια Κεντρική Βιβλιοθήκη Λεβαδείας - Μουσείο Γιαλούρη Ιδιωμάτων

Ἐθεωρήθησαν αἱ πορεῖαί σε, ὁ Θεὸς, αἱ πορεῖαι τοῦ Θεοῦ μου τοῦ Βασιλέως τοῦ ἐν τῷ ἁγίῳ.

Προέφθασαν ἄρχοντες ἐχόμενοι ψαλλόντων, ἐν μέσῳ νεανίδων τυμπανιστριῶν.

Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεὸν, Κύριον ἐκ πηγῶν Ἰσραήλ.

Ἐκεῖ Βενιαμὶν νεώτερος ἐν ἐκστάσει, ἄρχοντες Ἰούδα ἡγεμόνες αὐτῶν, ἄρχοντες Ζαβουλὼν, ἄρχοντες Νεφθαλείμ.

Ἔντειλαι ὁ Θεὸς τῇ δυνάμει σου· δυνάμωσον ὁ Θεὸς τοῦτο, ὃ κατειργάσω ἐν ἡμῖν.

Ἀπὸ τοῦ ναοῦ σου ἐπὶ Ἱερουσαλὴμ, σοὶ οἴσουσι βασιλεῖς δῶρα.

Ἐπιτίμησον τοῖς θηρίοις τοῦ καλάμου· ἡ συναγωγὴ τῶν ταύρων ἐν ταῖς δαμάλεσι τῶν λαῶν, τοῦ ἐγκλεισθῆναι τοὺς δεδοκιμασμένους τῷ ἀργυρίῳ.

Διασκόρπισον ἔθνη τὰ τοὺς πολέμους θέλοντα· ἥξουσι πρέσβεις ἐξ Αἰγύπτου, Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ Θεῷ.

Αἱ βασιλεῖαι τῆς γῆς, ᾄσατε τῷ Θεῷ, ψάλατε τῷ Κυρίῳ τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολάς· ἰδοὺ δώσει τῇ φωνῇ αὐτοῦ φωνὴν δυνάμεως.

Δότε δόξαν τῷ Θεῷ· ἐπὶ τὸν Ἰσραὴλ ἡ μεγαλοπρέπεια αὐτοῦ, καὶ ἡ δύναμις αὐτοῦ ἐν ταῖς νεφέλαις.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ. Ὁ Θεὸς Ἰσραὴλ, αὐτὸς δώσει δύναμιν, καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ. Εὐλογητὸς ὁ Θεός.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἐκ τρίτου.

## ΨΑΛΜΟΣ ξή. 68.

Σῶσόν με ὁ Θεὸς, ὅτι εἰσῆλθοσαν ὕδατα ἕως ψυχῆς μου.

Ἐνεπάγην εἰς ἰλὺν βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις.

Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ καταιγὶς κατεπόντισέ με.

Ἐκοπίασα κράζων, ἐβραγχίασεν ὁ λάρυγξ μου, ἐξ

ἔλιπον οἱ ὀφθαλμοί μου ἀπὸ τοῦ ἐλπίζειν με ἐπὶ τὸν Θεόν μου.

Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου οἱ μισοῦντές με δωρεάν.

Ἐκραταιώθησαν οἱ ἐχθροί μου, οἱ ἐκδιώκοντές με ἀδίκως, ἃ οὐχ ἥρπαζον, τότε ἀπετίννυον.

Ὁ Θεὸς, σὺ ἔγνως τὴν ἀφροσύνην μου· καὶ αἱ πλημμέλειαί μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβησαν.

Μὴ αἰσχυνθείησαν ἐπ' ἐμὲ οἱ ὑπομένοντές σε, Κύριε, Κύριε τῶν δυνάμεων.

Μηδὲ ἐντραπείησαν ἐπ' ἐμὲ οἱ ζητοῦντές σε, ὁ Θεὸς τοῦ Ἰσραήλ.

Ὅτι ἕνεκά σου ὑπήνεγκα ὀνειδισμόν, ἐκάλυψεν ἐντροπὴ τὸ πρόσωπόν μου.

Ἀπηλλοτριωμένος ἐγενήθην τοῖς ἀδελφοῖς μου, καὶ ξένος τοῖ υἱοῖς τῆς μητρός μου.

Ὅτι ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με, καὶ οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ.

Καὶ συνεκάλυψα ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἐγενήθη εἰς ὀνειδισμοὺς ἐμοί.

Καὶ ἐθέμην τὸ ἔνδυμά μου σάκκον, καὶ ἐγενόμην αὐτοῖς εἰς παραβολήν.

Κατ' ἐμοῦ ἠδολέσχουν οἱ καθήμενοι ἐν πύλαις, καὶ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες οἶνον.

Ἐγὼ δὲ τῇ προσευχῇ μου πρὸς σὲ, Κύριε, καιρὸς εὐδοκίας.

Ὁ Θεὸς, ἐν τῷ πλήθει τοῦ ἐλέους σου ἐπάκουσόν μου, ἐν ἀληθείᾳ τῆς σωτηρίας σου.

Σῶσόν με ἀπὸ πηλοῦ, ἵνα μὴ ἐμπαγῶ· ῥυσθείην ἐκ τῶν μισούντων με, καὶ ἐκ τῶν βαθέων τῶν ὑδάτων.

Μή με καταποντισάτω καταιγὶς ὕδατος, μηδὲ καταπιέτω με βυθὸς, μηδὲ συσχέτω ἐπ' ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ.

Εἰσάκουσόν μου, Κύριε, ὅτι χρηστὸν τὸ ἔλεός σου κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐπίβλεψον ἐπ' ἐμέ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Λιξουρίου - Μουσείο Τυπογραφίου Ιακωβατων

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου, ὅτι θλίβομαι, ταχὺ ἐπάκουσόν μου.

Πρόσχες τῇ ψυχῇ μου, καὶ λύτρωσαι αὐτήν· ἕνεκα τῶν ἐχθρῶν μου ῥῦσαί με.

Σὺ γὰρ γινώσκεις τὸν ὀνειδισμόν μου, καὶ τὴν αἰσχύνην μου, καὶ τὴν ἐντροπήν μου.

Ἐναντίον σου πάντες οἱ θλίβοντές με· ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή μου, καὶ ταλαιπωρίαν.

Καὶ ὑπέμεινα συλλυπούμενον, καὶ οὐχ ὑπῆρξε· καὶ παρακαλοῦντας, καὶ οὐχ εὗρον.

Καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος.

Γενηθήτω ἡ τράπεζα αὐτῶν ἐνώπιον αὐτῶν εἰς παγίδα, καὶ εἰς ἀνταπόδοσιν, καὶ εἰς σκάνδαλον.

Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον.

Ἔχχεον ἐπ' αὐτοὺς τὴν ὀργήν σου, καὶ ὁ θυμὸς τῆς ὀργῆς σου καταλάβοι αὐτούς.

Γενηθήτω ἡ ἔπαυλις αὐτῶν ἠρημωμένη, καὶ ἐν τοῖς σκηνώμασιν αὐτῶν μὴ ἔστω ὁ κατοικῶν.

Ὅτι ὃν σὺ ἐπάταξας, αὐτοὶ κατεδίωξαν, καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προσέθηκαν.

Πρόσθες ἀνομίαν ἐπὶ τῇ ἀνομίᾳ αὐτῶν, καὶ μὴ εἰσελθέτωσαν ἐν δικαιοσύνῃ σου.

Ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων, καὶ μετὰ δικαίων μὴ γραφήτωσαν.

Πτωχὸς, καὶ ἀλγῶν εἰμι ἐγώ· ἡ σωτηρία σου, ὁ Θεὸς, ἀντιλάβοιτό μου.

Αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μετ' ᾠδῆς, μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει.

Καὶ ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον νέον, κέρατα ἐκφέροντα καὶ ὁπλάς.

Ἰδέτωσαν πτωχοὶ, καὶ εὐφρανθήτωσαν· ἐκζητήσατε τὸν Θεὸν, καὶ ζήσεται ἡ ψυχὴ ὑμῶν.

ΗΜΟΣΙΕΥΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Ψηφιακή Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Γυμνασίου Ληξουρίου

Ὅτι εἰσήκουσε τῶν πενήτων ὁ Κύριος, καὶ τοὺς πεπεδημένους αὐτοῦ οὐκ ἐξουδένωσεν.

Αἰνεσάτωσαν αὐτὸν οἱ οὐρανοὶ, καὶ ἡ γῆ, θάλασσα, καὶ πάντα τὰ ἕρποντα ἐν αὐτῇ.

Ὅτι ὁ Θεὸς σώσει τὴν Σιὼν, καὶ οἰκοδομηθήσονται αἱ πόλεις τῆς Ἰουδαίας.

Καὶ κατοικήσουσιν ἐκεῖ, καὶ κληρονομήσουσιν αὐτήν.

Καὶ τὸ σπέρμα τῶν δούλων σε καθέξουσιν αὐτὴν, καὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σου κατασκηνώσουσιν ἐν αὐτῇ.

## ΨΑΛΜΟΣ ξθ΄. 69.

Ὁ Θεὸς, εἰς τὴν βοήθειάν μου πρόσχες· Κύριε, εἰς τὸ βοηθῆσαί μοι σπεῦσον.

Αἰσχυνθήτωσαν, καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου.

Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθήτωσαν οἱ βουλόμενοί μοι κακά.

Ἀποστραφήτωσαν παραυτίκα αἰσχυνόμενοι οἱ λέγοντές μοι: Εὖγε, εὖγε.

Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε, ὁ Θεὸς, καὶ λεγέτωσαν διαπαντός: Μεγαλυνθήτω ὁ Κύριος, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου.

Ἐγὼ δὲ πτωχὸς εἰμι καὶ πένης· ὁ Θεὸς, βοήθησόν μοι.

Βοηθός μου καὶ ῥύστης μου εἶ σὺ, Κύριε· μὴ χρονίσῃς.

Δόξα, καὶ νῦν. Καὶ εὐθὺς τὸ Πιστεύω εἰς ἕνα Θεόν. Εἶτα: Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστι. Καὶ τὰ Τροπάρια ταῦτα:

### Ἦχος β΄.

Ἄκτιστε φύσις, ἡ τῶν ὅλων δημιουργὸς, τὰ χείλη ἡμῶν ἄνοιξον, ὅπως ἀναγγέλλωμεν τὴν αἴνεσίν σου βοῶντες: Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός. Διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς. Δόξα Πατρί.

Τὰς ἄνω Δυνάμεις μιμούμενοι οἱ ἐπὶ γῆς, ἐπινίκιον ὕμνον προσφερομεν σοι, ἀγαθὲ· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός. Διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Πάτρας - Μουσείο Ιστορικών Συλλογών

Καὶ νῦν.

Τῆς κλίνης καὶ τοῦ ὕπνου ἐξεγείρας με, Κύριε, τὸν νοῦν μου φώτισον, καὶ τὴν καρδίαν καὶ τὰ χείλη μου ἄνοιξον, εἰς τὸ ὑμνεῖν σε, ἁγία Τριάς: Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός. Διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς. Τό, Κύριε ἐλέησον μ'. Ὁ ἐν παντὶ καιρῷ. Ὅρα σελ. 17. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, Πάτερ.

Ὁ Ἱερεύς: Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς. Δέσποτα Θεέ, Πάτερ παντοκράτορ. Ὅρα σελ. 18. Εἶτα τὴν παροῦσαν Εὐχὴν τοῦ ἁγίου Εὐστρατίου.

Μεγαλύνων μεγαλύνωσε, Κύριε, ὅτι ἐπεῖδες ἐπὶ τὴν ταπείνωσίν μου, καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθρῶν, ἀλλ' ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου. Καὶ νῦν, Δέσποτα, σκέπασάτω με ἡ χείρ σου, καὶ ἐλθοι ἐπ' ἐμὲ τὸ ἔλεός σου, ὅτι τετάρακται ἡ ψυχή μου, καὶ κατώδυνός ἐστιν, ἐν τῷ ἐκπορεύεσθαι αὐτὴν ἐκ τοῦ ἀθλίου μου καὶ ῥυπαροῦ σώματος τούτου· μήποτε ἡ πονηρὰ τοῦ ἀντικειμένου βουλὴ συναντήσῃ καὶ παρεμποδίσῃ αὐτὴν, διὰ τὰς ἐν ἀγνοίᾳ καὶ γνώσει ἐν τῷ βίῳ τούτῳ γενομένας μοι ἁμαρτίας. Ἵλεως γενοῦ μοι, Δέσποτα, καὶ μὴ ἰδέτω ἡ ψυχή μου τὴν ζοφερὰν καὶ σκοτεινὴν ὄψιν τῶν πονηρῶν δαιμόνων· ἀλλὰ παραλαβέτωσαν αὐτὴν Ἄγγελοί σου φαιδροὶ καὶ φωτεινοί. Δὸς δόξαν τῷ ὀνόματί σου τῷ ἁγίῳ, καὶ τῇ σῇ δυνάμει ἀνάγαγέ με εἰς τὸ θεῖόν σου βῆμα. Ἐν τῷ κρίνεσθαί με, μὴ καταλάβοι με ἡ χεὶρ τοῦ ἄρχοντος τοῦ κόσμου τούτου, εἰς τὸ κατασπάσαι με τὸν ἁμαρτωλὸν εἰς βυθὸν Ἅδου, ἀλλὰ παράστηθί μοι, καὶ γενοῦ μοι σωτὴρ καὶ ἀντιλήπτωρ. Ἐλέησον, Κύριε, τὴν ῥυπωθεῖσαν τοῖς πάθεσι τοῦ βίου ψυχήν μου, καὶ καθαρὰν αὐτὴν διὰ μετανοίας καὶ ἐξομολογήσεως πρόσδεξαι· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα: Δεῦτε προσκυνήσωμεν γ'. καὶ τοὺς Ψαλμούς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Δημοσίου Μουσείου Τυπικών Ιακωβάτων

Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη. Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον.

Δόξα, καὶ νῦν. Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστι· καὶ τὰ Τροπάρια: Μνήσθητι, Κύριε, ὡς ἀγαθός. Ὁ βάθει σοφίας φιλανθρώπως. Δόξα. Μετὰ τῶν Ἁγίων ἀνάπαυσον, Χριστέ. Καὶ νῦν. Μακαρίζομέν σε πᾶσαι αἱ γενεαί. Κύριε ἐλέησον ιβ'. Εἶτα τὴν Εὐχήν: Μνήσθητι, Κύριε, τῶν ἐπ' ἐλπίδι, κ. τ. λ. Ταῦτα πάντα προεγράφησαν εἰς τὸ ἕτερον Μεσονυκτικόν. (Ὅρα σελ. 21.)

Ἀπόλυσις παρὰ τοῦ Ἱερέως, καὶ ἡ συγχώρησις.

## ΜΕΣΟΝΥΚΤΙΚΟΝ ΤΗΣ ΚΥΡΙΑΚΗΣ.

Μετὰ τὸν Εὐλογητὸν, τὸ Βασιλεῦ Οὐράνιε. Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστι. Κύριε ἐλέησον ιβ'. Δόξα, καὶ νῦν. Δεῦτε προσκυνήσωμεν γ'. Ὁ Ν'. Καὶ εὐθὺς λέγομεν τὸν Τριαδικὸν Κανόνα τοῦ ἐνδιατάκτου Ἤχου. Καὶ μετὰ τὸν Κανόνα, ψάλλομεν τὰ Τριαδικὰ ταῦτα:

Ἄξιόν ἐστιν ὡς ἀληθῶς τὴν ὑπέρθεον ὑμνεῖν Τριάδα, ἄναρχον Πατέρα καὶ παντουργὸν, συνάναρχον Λόγον πρὸ αἰώνων ἐκ τοῦ Πατρὸς ἀῤῥεύστως τεχθέντα, καὶ τὸ ἅγιον Πνεῦμα, τὸ ἐκ Πατρὸς ἀχρόνως ἐκπορευόμενον.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, τοῦ δοξάζειν σὲ τὸν Θεὸν Λόγον, ὃν φρίττει καὶ τρέμει τὰ Χερουβὶμ, ᾧ δοξολογοῦσιν αἱ Δυνάμεις τῶν οὐρανῶν, τὸν ἐξαναστάντα τριήμερον ἐκ τάφου. Χριστὸν τὸν ζωοδότην φόβῳ δοξάσωμεν.

Ὑμνήσωμεν πάντες θεοπρεπῶς, ἄσμασιν ἐνθέοις, τὸν Πατέρα καὶ τὸν Υἱὸν, καὶ Πνεῦμα τὸ θεῖον, τρισυπόστατον κράτος, τὴν μίαν βασιλείαν καὶ κυριότητα.

Ἐκ νεκρῶν ἰδοῦσα τὸν σὸν Υἱὸν, ἄχραντε Παρθένε, ἀναστάντα θεοπρεπῶς, χαρᾷ ἀνεκφράστῳ ἡ κτίσις ἐπληροῦτο, αὐτὸν δοξολογοῦσα, καὶ σὲ γεραίρουσα.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λάρισας - Ψηφιακή Συλλογή

Τρισάγιον, καὶ τὰ λοιπά. Τὴν Ὑπακοὴν τοῦ Ἤχου, τὸ, Κύριε ἐλέησον μ'. Δόξα, καὶ νῦν. Τὴν Τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, Πάτερ. Ὁ Ἱερεύς: Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς. Δόξα, καὶ νῦν. Κύριε ἐλέησον γ'. καὶ ἀπόλυσις. Εἶτα: Εὐξώμεθα ὑπὲρ εἰρήνης τοῦ κόσμου, κ τ. λ. Ὅρα σελ. 21-22.

## ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΟΡΘΡΟΥ.

Εἰ μέν ἐστι μεγάλη Τεσσαρακοστή, λέγομεν πρῶτον, Τρισάγιον, Κύριε ἐλέησον ιβ'. Δεῦτε προσκυνήσωμεν γ'. καὶ τὰς ἑφεξῆς δύω Ψαλμούς. Εἰ δ' ὄ, μετὰ τὸν Εὐλογητόν, Δεῦτε προσκυνήσωμεν γ'. καὶ εὐθὺς τοὺς Ψαλμούς.

### ΨΑΛΜΟΣ ιθ'. 19.

Ἐπακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως, ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ.

Ἐξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου, καὶ ἐκ Σιὼν ἀντιλάβοιτό σου.

Μνησθείη πάσης θυσίας σου, καὶ τὸ ὁλοκαύτωμά σου πιανάτω.

Δώη σοι Κύριος κατὰ τὴν καρδίαν σου, καὶ πᾶσαν τὴν βουλήν σου πληρώσαι.

Ἀγαλλιασόμεθα ἐπὶ τῷ σωτηρίῳ σου, καὶ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν μεγαλυνθησόμεθα.

Πληρώσαι Κύριος πάντα τὰ αἰτήματά σου. Νῦν ἔγνων, ὅτι ἔσωσε Κύριος τὸν χριστὸν αὐτοῦ.

Ἐπακούσεται αὐτοῦ ἐξ οὐρανοῦ ἁγίου αὐτοῦ, ἐν δυναστείαις ἡ σωτηρία τῆς δεξιᾶς αὐτοῦ.

Οὗτοι ἐν ἅρμασι, καὶ οὗτοι ἐν ἵπποις, ἡμεῖς δὲ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν ἐπικαλεσόμεθα.

Αὐτοὶ συνεποδίσθησαν καὶ ἔπεσον, ἡμεῖς δὲ ἀνέστημεν, καὶ ἀνορθώθημεν.

Κύριε, σῶσον τὸν Βασιλέα, καὶ ἐπάκουσον ἡμῶν, ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε.

ΔΗΜΟΣΙΕ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Λιξουρίου - Μουσείο Τυπογραφίας Τσικοβίτου

## ΨΑΛΜΟΣ κ'. 20.

Κύριε, ἐν τῇ δυνάμει σε εὐφρανθήσεται ὁ Βασιλεύς, καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα.

Τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας αὐτῷ, καὶ τὴν θέλησιν τῶν χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν.

Ὅτι προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος, ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου.

Ζωὴν ἠτήσατό σε, καὶ ἔδωκας αὐτῷ μακρότητα ἡμερῶν εἰς αἰῶνα αἰῶνος.

Μεγάλη ἡ δόξα αὐτοῦ ἐν τῷ σωτηρίῳ σου· δόξαν, καὶ μεγαλοπρέπειαν ἐπιθήσεις ἐπ' αὐτόν.

Ὅτι δώσεις αὐτῷ εὐλογίαν εἰς αἰῶνα αἰῶνος· εὐφρανεῖς αὐτὸν ἐν χαρᾷ μετὰ τοῦ προσώπου σου.

Ὅτι ὁ Βασιλεὺς ἐλπίζει ἐπὶ Κύριον, καὶ ἐν τῷ ἐλέει τοῦ Ὑψίστου οὐ μὴ σαλευθῇ.

Εὑρεθείη ἡ χείρ σου πᾶσι τοῖς ἐχθροῖς σου, ἡ δεξιά σου εὕροι πάντας τοὺς μισοῦντάς σε.

Ὅτι θήσεις αὐτοὺς ὡς κλίβανον πυρὸς, εἰς καιρὸν τοῦ προσώπου σου.

Κύριος ἐν ὀργῇ αὐτοῦ συνταράξει αὐτοὺς, καὶ καταφάγεται αὐτοὺς πῦρ.

Τὸν καρπὸν αὐτῶν ἀπὸ τῆς γῆς ἀπολεῖς, καὶ τὸ σπέρμα αὐτῶν ἀπὸ υἱῶν ἀνθρώπων.

Ὅτι ἔκλιναν εἰς σὲ κακὰ, διελογίσαντο βουλὰς, αἷς οὐ μὴ δύνωνται στῆναι.

Ὅτι θήσεις αὐτοὺς νῶτον· ἐν τοῖς περιλοίποις σου ἑτοιμάσεις τὸ πρόσωπον αὐτῶν.

Ὑψώθητι, Κύριε, ἐν τῇ δυνάμει σου· ᾄσομεν, καὶ ψαλοῦμεν τὰς δυναστείας σου.

Δόξα, καὶ νῦν. Εἶτα: Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστι. Καὶ τὰ ἑξῆς. Τροπάριον.

Σῶσον Κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς Βασιλεῦσι κατὰ βαρ

Δημόσια Κεντρική Βιβλιοθήκη Ελληνικής Λογοτεχνίας
ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

βάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

Δόξα Πατρί.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ ὁ Θεός· εὔφρανον ἐν τῇ δυνάμει σου τοὺς πιστοὺς Βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς κατὰ τῶν πολεμίων. Τὴν συμμαχίαν ἔχοιεν τὴν σὴν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

Καὶ νῦν, Θεοτοκίον.

Προστασία φοβερὰ καὶ ἀκαταίσχυντε, μὴ παρίδῃς ἀγαθὴ τὰς ἱκεσίας ἡμῶν, πανύμνητε Θεοτόκε· στήριξον ὀρθοδόξων πολιτείαν· σῶζε οὓς ἐκέλευσας βασιλεύειν, καὶ χορήγει αὐτοῖς οὐρανόθεν τὴν νίκην· διότι ἔτεκες τὸν Θεὸν, μόνη εὐλογημένη.

Ὁ Ἱερεύς: Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου· δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἐκφώνησις: Ὅτι ἐλεήμων, καὶ φιλάνθρωπος Θεός.

Ὁ Λαός: Ἐν ὀνόματι Κυρίου εὐλόγησον, Πάτερ.

Ὁ Ἱερεύς: Δόξα τῇ ἁγίᾳ, καὶ ὁμοουσίῳ, καὶ ζωοποιῷ, καὶ ἀδιαιρέτῳ Τριάδι, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ἀρχόμεθα τοῦ Ἑξαψάλμου, πάσῃ σιωπῇ καὶ κατανύξει ἀκροώμενοι· ὁ δὲ ταχθεὶς Ἀδελφὸς, ἢ ὁ Πρωτοστὼς, μετ' εὐλαβείας καὶ φόβου Θεοῦ λέγει:

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. Ἐκ τρίτου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ἐκ δευτέρου.

## ΨΑΛΜΟΣ γ'. 3.

Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; πολλοὶ ἐπανίστανται ἐπ' ἐμέ.

Πολλοὶ λέγουσι τῇ ψυχῇ μου· Οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

Σὺ δὲ, Κύριε, ἀντιλήπτωρ μου εἶ, δόξα μου, καὶ ὑψῶν τὴν κεφαλήν μου.

Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ.

Ἐγὼ δὲ ἐκοιμήθην, καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.

Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ, τῶν κύκλῳ συνεπιτιθεμένων μοι. Ἀνάστα, Κύριε, σῶσόν με ὁ Θεός μου.

Ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως· ὀδόντας ἁμαρτωλῶν συνέτριψας.

Τοῦ Κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου. Καὶ πάλιν.

Ἐγὼ ἐκοιμήθην, καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.

## ΨΑΛΜΟΣ λζ' 37.

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι, καὶ ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου.

Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου, ἀπὸ προσώπου τῆς ὀργῆς σου· οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου, ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου.

Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ.

Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου.

Ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους, ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην.

Ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων, καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου.

Ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα, ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου.

Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου, καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη.

ΔΗΜΟΣΙΕ-ΒΙΒΛΙΟΘΗΚΗΣ
Δημοσία Κεντρική Βιβλιοθήκη Ληξουρίου - Δημοτική Βιβλιοθήκη Ληξουρίου

Ἡ καρδία μου ἐταράχθη, ἐγκατέλιπέ με ἡ ἰσχύς μου, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου, καὶ αὐτὸ οὐκ ἔστι μετ' ἐμοῦ.

Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν, καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν.

Καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου· καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας, καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν.

Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ.

Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων, καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς.

Ὅτι ἐπί σοι, Κύριε, ἤλπισα· σὺ εἰσακούσῃ, Κύριε ὁ Θεός μου.

Ὅτι εἶπον: Μήποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου· ἢ ἐν τῷ σαλευθῆναι πόδας μου, ἐπ' ἐμὲ ἐμεγαλορρημόνησαν.

Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος, καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μου ἐστὶ διαπαντός.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ, καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου.

Οἱ δὲ ἐχθροί μου ζῶσι, καὶ κεκραταίωνται ὑπὲρ ἐμέ, καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως.

Οἱ ἀνταποδιδόντες μοι κακὰ ἀντὶ ἀγαθῶν ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον ἀγαθωσύνην.

Μὴ ἐγκαταλίπῃς με, Κύριε ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ.

Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.

Καὶ πάλιν.

Μὴ ἐγκαταλίπῃς με, Κύριε ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ.

Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

## ΨΑΛΜΟΣ ξβ'. 62.

Ὁ Θεός, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω.
Ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου, ἐν γῇ ἐρήμῳ, καὶ ἀβάτῳ, καὶ ἀνύδρῳ.
Οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι, τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου.
Ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς, τά χείλη μου ἐπαινέσουσί σε.
Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου, καὶ ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου.
Ὡς ἐκ στέατος καὶ ποιότητος ἐμπλησθείη ἡ ψυχή μου, καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου.
Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ.
Ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.
Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.
Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου, εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς, παραδοθήσονται εἰς χεῖρας ῥομφαίας, μερίδες ἀλωπέκων ἔσονται.
Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ, ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ· ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα. Καὶ πάλιν.
Ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ, ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.
Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.
Δόξα, καὶ νῦν. Ἀλληλούϊα γ'. ἄνευ Μετανοιῶν. Καὶ ἐξέρχεται ὁ Ἱερεὺς ἐκ τοῦ Βήματος, καὶ λέγει τὰς ἑωθινὰς Εὐχάς· ἔμπροσθεν τῆς Εἰκόνος τοῦ Δεσπότου Χριστοῦ μυστικῶς.

ΔΙΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Αλεξανδρείου - Μουσείο Παλδών Ιακωβάτων

## ΨΑΛΜΟΣ πζ'. 87.

Κύριε, ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου.

Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.

Ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου, καὶ ἡ ζωή μου τῷ Ἅιδῃ ἤγγισε.

Προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον, ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος, ἐν νεκροῖς ἐλεύθερος.

Ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι, καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώσθησαν.

Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου.

Ἐπ' ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου, καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ' ἐμέ.

Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ' ἐμοῦ, ἔθεντό με βδέλυγμα ἑαυτοῖς.

Παρεδόθην, καὶ οὐκ ἐξεπορευόμην· οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας.

Ἐκέκραξα πρὸς σέ, Κύριε, ὅλην τὴν ἡμέραν, διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου.

Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια; ἢ ἰατροὶ ἀναστήσουσι, καὶ ἐξομολογήσονταί σοι;

Μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ;

Μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου, καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ;

Κἀγὼ πρὸς σέ, Κύριε, ἐκέκραξα, καὶ τὸ πρωῒ ἡ προσευχή μου προφθάσει σε.

Ἵνα τί, Κύριε, ἀπωθῇ τὴν ψυχήν μου, ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ;

Πτωχός εἰμι ἐγὼ, καὶ ἐν κόποις ἐκ νεότητός μου ὑψωθεὶς δὲ, ἐταπεινώθην, καὶ ἐξηπορήθην.

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΛΗΞΟΥΡΙΟΥ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Ιστορίας Ιονίων Νήσων

Ἐπ' ἐμὲ διῆλθον αἱ ὀργαί σου, οἱ φοβερισμοί σου ἐξετάραξάν με.

Ἐκύκλωσάν με ὡσεὶ ὕδωρ, ὅλην τὴν ἡμέραν περιέσχον με ἅμα.

Ἐμάκρυνας ἀπ' ἐμοῦ φίλον καὶ πλησίον, καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας. Καὶ πάλιν.

Κύριε, ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου.

Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.

## ΨΑΛΜΟΣ ρβ'. 102.

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Τὸν εὐϊλατεύοντα πάσας τὰς ἀνομίας σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου.

Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς.

Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου· ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.

Ποιῶν ἐλεημοσύνας ὁ Κύριος, καὶ κρίμα πᾶσι τοῖς ἀδικουμένοις.

Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσῇ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ.

Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος· οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ.

Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν.

Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς, ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν.

Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν.

ΑΝΘΟΛΟΓΙΟΝ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ξάνθης - Πομακικών Σπουδών

Καθὼς οἰκτείρει πατὴρ υἱοὺς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν· ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, ἐμνήσθη ὅτι χοῦς ἐσμεν.

Ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει.

Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ.

Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν.

Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν, τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ, καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς.

Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Εὐλογεῖτε τὸν Κύριον πάντες οἱ Ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ.

Εὐλογεῖτε τὸν Κύριον πᾶσαι αἱ Δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ, οἱ ποιοῦντες τὸ θέλημα αὐτοῦ.

Εὐλογεῖτε τὸν Κύριον πάντα τὰ ἔργα αὐτοῦ. Ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν.

Ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

## ΨΑΛΜΟΣ ρμβ'. 142.

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου.

Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκροὺς αἰῶνος, καὶ

ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἔξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου, καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμί.

Καὶ πάλιν.

Εἰσάκουσόν μου, Κύριε, ἐν τῇ δικαιοσύνῃ σου, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου. Δίς.

Εἶτα.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. Δόξα, καὶ νῦν. Ἀλληλούϊα γ'. Μετανοίας γ'. Εἶτα Συναπτὴ ὑπὸ τοῦ Ἱερέως, καὶ μετ' αὐτὴν τὸ, Θεὸς Κύριος (κατὰ τὸν Ἦχον τοῦ τῆς ἡμέρας Τροπαρίου) μετὰ τῶν Στίχων αὐτοῦ.

Στίχος α'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Στίχος β'. Πάντα τὰ ἔθνη ἐκύκλωσαν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Κοσμητορείο Γυμνασίου Ληξουρίου

Στίχος γ'. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Εἶτα λέγομεν τὸ Τροπάριον τῆς τυχούσης Ἑορτῆς, ἢ τοῦ Ἁγίου, ἢ τὸ Ἀναστάσιμον τοῦ τυχόντος Ἤχου. Τῇ δὲ ἁγίᾳ καὶ μεγάλῃ Τεσσαρακοστῇ, μετὰ τὴν Συναπτὴν, ψάλλομεν τὸ, Ἀλληλούϊα ἐκ γ'. κατ' Ἦχον, λέγοντες πρότερον ἕνα ἐκ τῶν ἑφεξῆς Στίχων.

Στίχος α'. Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σὲ, ὁ Θεὸς, διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς.

Στίχος β'. Δικαιοσύνην μάθετε οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς.

Στίχος γ'. Ζῆλος λήψεται λαὸν ἀπαίδευτον, καὶ νῦν πῦρ τοὺς ὑπεναντίους ἔδεται.

Στίχος δ'. Πρόσθες αὐτοῖς κακὰ, Κύριε, πρόσθες αὐτοῖς κακὰ τοῖς ἐνδόξοις τῆς γῆς.

Καὶ μετὰ τὸ, Ἀλληλούϊα, ψάλλομεν τοὺς Τριαδικοὺς Ὕμνους τοῦ τυχόντος Ἤχου.

## ΥΜΝΟΙ ΤΡΙΑΔΙΚΟΙ.

### Ἦχος α'.

Σωματικαῖς μορφώσεσι τῶν ἀσωμάτων Δυνάμεων, πρὸς νοερὰν καὶ ἄϋλον ἀναγόμενοι ἔννοιαν, καὶ τρισαγίῳ μελῳδήματι τρισυποστάτε Θεότητος, ἐκδεχόμενοι ἔλλαμψιν, χερουβικῶς βοήσωμεν: Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός.

### Δόξα Πατρί.

Μετὰ πασῶν τῶν οὐρανίων Δυνάμεων, χερουβικῶς τῷ ἐν ὑψίστοις βοήσωμεν, τὸν τρισάγιον ἀναμέλποντες αἶνον: Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός.

### Καὶ νῦν.

Ἐξεγερθέντες τοῦ ὕπνου, προσπίπτομέν σοι, ἀγαθὲ, καὶ τῶν Ἀγγέλων τὸν ὕμνον βοῶμέν σοι, δυνατέ: Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός. Διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

ΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Κομοτηνής
Μουσείο Σύγχρονης Ελληνικής Ιστορίας

Ἦχος β΄.

Ἄκτιστε φύσις, ἡ τῶν ὅλων δημιουργὸς, τὰ χείλη ἡμῶν ἄνοιξον, ὅπως ἀναγγέλωμεν τὴν αἴνεσίν σε βοῶντες: Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός.

Δόξα Πατρί.

Τὰς ἄνω Δυνάμεις μιμούμενοι οἱ ἐπὶ γῆς, ἐπινίκιον ὕμνον προσφέρομέν σοι, ἀγαθέ: Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός.

Καὶ νῦν.

Τῆς κλίνης καὶ τοῦ ὕπνου ἐξεγείρας με, Κύριε, τὸν νοῦν μου φώτισον, καὶ τὴν καρδίαν καὶ τὰ χείλη μου ἄνοιξον, εἰς τὸ ὑμνεῖν σε, ἁγία Τριάς: Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός. Διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Ἦχος γ΄.

Πατέρα ἄναρχον, Υἱὸν συνάναρχον, Πνεῦμα συναΐδιον, Θεότητα μίαν χερουβικῶς δοξάσωμεν: Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός.

Δόξα Πατρί.

Τριὰς ὁμοούσιε καὶ ἀδιαίρετε, Μονὰς τρισυπόστατε καὶ συναΐδιε, σοὶ ὡς Θεῷ τῶν Ἀγγέλων τὸν ὕμνον κραυγάζομεν: Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός.

Καὶ νῦν.

Ἀθρόον ὁ Κριτὴς ἐπελεύσεται, καὶ ἑκάστου αἱ πράξεις γυμνωθήσονται· ἀλλὰ φόβῳ κράξωμεν ἐν τῷ μέσῳ τῆς νυκτός: Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός. Διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Ἦχος δ΄.

Τὸν ἄναρχόν σου Πατέρα, καὶ σέ, Χριστὲ ὁ Θεός, καὶ τὸ παναγιόν σου Πνεῦμα, χερουβικῶς δοξολογεῖν τολμῶντες λέγομεν: Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός.

Δόξα Πατρί.

Ὡς αἱ τάξεις νῦν τῶν Ἀγγέλων ἐν οὐρανῷ, καὶ στάσεις φόβῳ ἀνθρώπων ἐπὶ τῆς γῆς, ἐπινίκιον ὕμνον προσφέρομέν σοι, ἀγαθέ: Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λήξουρίου - Μουσείο Τυπογραφίας Ιονίων Νήσων

Καὶ νῦν.

Τῶν νοερῶν σου λειτουργῶν προσφέρειν οἱ θνητοὶ τὸν ὕμνον τολμῶντες, λέγομεν· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός. Διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Ἦχος πλ. ά.

Γ᾽μνῳδίας ὁ καιρὸς, καὶ δεήσεως ὥρα· ἐκτενῶς βοῶμέν σοι τῷ μόνῳ Θεῷ· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός.

Δόξα Πατρί.

Εἰκονίζειν τολμῶντες τὰ νοερά σε στρατεύματα, Τριὰς ἄναρχε, στόμασιν ἀναξίοις βοῶμέν σοι· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός.

Καὶ νῦν.

Ὁ ἐν μήτρᾳ παρθενικῇ χωρηθεὶς, καὶ τῶν κόλπων τοῦ Πατρὸς μὴ χωρισθεὶς, σὺν Ἀγγέλοις καὶ ἡμᾶς πρόσδεξαι, Χριστὲ ὁ Θεὸς, βοῶντάς σοι· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός. Διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Ἦχος πλ. β΄.

Ἀσωμάτοις στόμασιν, ἀσιγήτοις δοξολογίαις, τὰ Ἑξαπτέρυγα ᾄδουσί σοι τὸν τρισάγιον ὕμνον, ὁ Θεὸς ἡμῶν· καὶ ἡμεῖς οἱ ἐπὶ γῆς ἀναξίοις χείλεσιν αἰνόν σοι ἀναπέμπομεν· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός.

Δόξα Πατρί.

Παριστάμενα φόβῳ τὰ Χερουβὶμ, ἐξιστάμενα τρόμῳ τὰ Σεραφὶμ, τὸν τρισάγιον ὕμνον προσφέρει ἀσιγήτῳ φωνῇ· μεθ᾽ ὧν καὶ ἡμεῖς βοῶμεν οἱ ἁμαρτωλοί· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός.

Καὶ νῦν.

Τριαδικῆς Μονάδος Θεότητα ἀσυγχύτῳ ἑνώσει δοξάσωμεν, καὶ τῶν Ἀγγέλων τὸν ὕμνον βοήσωμεν· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός. Διὰ τῆς Θεοτόκου, κτλ.

Ἦχος βαρύς.

Ὁ ὑψίστῳ δυνάμει χερουβικῶς ἀνυμνούμενος, καὶ θεϊκῇ δόξῃ ἀγγελικῶς προσκυνούμενος, πρόσδεξαι καὶ ἡμᾶς τοὺς ἁμαρτωλοὺς, ἀναξίως πολυμῶντας κραυγάζειν σοι· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δόξα Πατρί.

Τῇ ἀπροσίτῳ Θεότητι, τῇ ἐν Μονάδι Τριάδι, τῶν Σεραφὶμ τὸν τρισάγιον ἀναπέμποντες αἶνον, μετὰ φόβου βοήσωμεν: Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός.

Καὶ νῦν.

Ὡς ὕπνον τὸν ὄκνον ἀποθεμένη ψυχὴ, διόρθωσιν πρὸς ἔγερσιν δεῖξον τῷ Κριτῇ, καὶ ἐν φόβῳ βόησον: Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός. Διὰ τῆς Θεοτόκου, κτλ.

Ἦχος πλ. δ'.

Ὁρᾶν σε μὴ τολμῶντα τὰ Χερουβὶμ, ἱπτάμενα κραυγάζει ἀλαλαγμῷ τὸ ἔνθεον μέλος τῆς τρισαγίας φωνῆς· μεθ' ὧν καὶ ἡμεῖς βοῶμεν οἱ ἁμαρτωλοί: Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός.

Δόξα Πατρί.

Εἰς οὐρανὸν τὰς καρδίας ἔχοντες, ἀγγελικὴν μιμησώμεθα τάξιν· καὶ ἐν φόβῳ τῷ ἀδεκάστῳ προσπέσωμεν, ἐπινίκιον ἀνακράζοντες αἶνον: Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός.

Καὶ νῦν.

Κατακαμπτόμενοι τῷ πλήθει τῶν πταισμάτων ἡμῶν, καὶ μὴ τολμῶντες ἀτενίσαι τῷ ὕψει σου, τὴν ψυχὴν σὺν τῷ σώματι κλίναντες, μετὰ Ἀγγέλων τὸν ὕμνον βοῶμέν σοι: Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεὸς. Διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Εἶτα ἡ Στιχολογία τοῦ Ψαλτηρίου, καὶ τὰ Καθίσματα εἰς τὴν τάξιν αὐτῶν. Μετὰ ταῦτα λέγομεν τὸν πεντηκοστὸν Ψαλμὸν, καὶ ἀρχόμεθα τῶν Κανόνων, ἀναγινώσκοντες καὶ τὰς ἐννέα Ὠδὰς (Ὅρα αὐτὰς ἔμπροσθεν σελ. 50.), ἢ ψάλλοντες Στίχους μόνον τινὰς ἐξ αὐτῶν, κατὰ τὴν ἡμέραν, καὶ τὴν ποσότητα τῶν Τροπαρίων τοῦ Κανόνος. Ἐν δὲ ταῖς Κυριακαῖς καὶ τοῖς Σάββασιν, ἀμέσως μετὰ τὴν τοῦ Ἀμώμου Στιχολογίαν, ψάλλομεν τὰ ἑφεξῆς Εὐλογητάρια.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

## ΕΥΛΟΓΗΤΑΡΙΑ ΑΝΑΣΤΑΣΙΜΑ

ΨΑΛΛΟΜΕΝΑ ΕΝ ΤΑΙΣ ΚΥΡΙΑΚΑΙΣ ΤΟΥ ΟΛΟΥ ΕΝΙΑΥΤΟΥ

### εἰς Ἦχον πλ. ά.

Ἐν ἑκάστῳ δὲ Τροπαρίῳ λέγομεν τὸ:

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν Ἀγγέλων ὁ δῆμος, κατεπλάγη ὁρῶν σε, ἐν νεκροῖς λογισθέντα, τοῦ θανάτου δὲ Σωτὴρ, τὴν ἰσχὺν καθελόντα, καὶ σὺν ἑαυτῷ τὸν Ἀδὰμ ἐγείραντα, καὶ ἐξ Ἅιδου πάντας ἐλευθερώσαντα.

Εὐλογητὸς εἶ, Κύριε.

Τί τὰ μύρα, συμπαθῶς τοῖς δάκρυσιν, ὦ Μαθήτριαι κιρνᾶτε; ὁ ἀστράπτων ἐν τῷ τάφῳ Ἄγγελος, προσεφθέγγετο ταῖς Μυροφόροις. Ἴδετε ὑμεῖς τὸν τάφον καὶ ἴσθητε· ὁ Σωτὴρ γὰρ ἐξανέστη τοῦ μνήματος.

Εὐλογητὸς εἶ, Κύριε.

Λίαν πρωΐ, Μυροφόροι ἔδραμον, πρὸς τὸ μνῆμά σου θρηνολογοῦσαι· ἀλλ' ἐπέστη πρὸς αὐτὰς ὁ Ἄγγελος, καὶ εἶπε: Θρήνου ὁ καιρὸς πέπαυται· μὴ κλαίετε, τὴν Ἀνάστασιν δὲ Ἀποστόλοις εἴπατε.

Εὐλογητὸς εἶ, Κύριε.

Μυροφόροι γυναῖκες, μετὰ μύρων ἐλθοῦσαι, πρὸς τὸ μνῆμά σου Σῶτερ ἐνηχοῦντο, Ἀγγέλου τρανῶς, πρὸς αὐτὰς φθεγγομένου: Τί μετὰ νεκρῶν τὸν ζῶντα λογίζεσθε; ὡς Θεὸς γὰρ ἐξανέστη τοῦ μνήματος.

### Δόξα, Τριαδικόν.

Προσκυνοῦμεν Πατέρα, καὶ τὸν τούτου Υἱόν τε, καὶ τὸ ἅγιον Πνεῦμα· τὴν ἁγίαν Τριάδα, ἐν μιᾷ τῇ οὐσίᾳ, σὺν τοῖς Σεραφὶμ, κράζοντες τό: Ἅγιος, Ἅγιος, Ἅγιος εἶ Κύριε.

### Καὶ νῦν, Θεοτοκίον.

Ζωοδότην τεκοῦσα, ἐλυτρώσω Παρθένε, τὸν Ἀδὰμ ἁμαρτίας· χαρμονὴν δὲ τῇ Εὔᾳ, ἀντὶ λύπης πα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Δήξουρίου - Μουσείο Τυπολογίων Κάκοβου

ρέσχες· ῥεύσαντα ζωῆς, ἴθυνε πρὸς ταύτην δὲ, ὁ ἐκ σοῦ σαρκωθεὶς Θεὸς καὶ ἄνθρωπος.

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξασοι ὁ Θεός. γ'.

## ΕΥΛΟΓΗΤΑΡΙΑ ΝΕΚΡΩΣΙΜΑ

ΨΑΛΛΟΜΕΝΑ ΕΝ ΤΟΙΣ ΣΑΒΒΑΣΙ

### εἰς Ἦχον πλ. ά.

Ἐν ἑκάστῳ δὲ Τροπαρίῳ λέγομεν τό:

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν Ἁγίων ὁ χορὸς, εὗρε πηγὴν τῆς ζωῆς, καὶ θύραν Παραδείσου· εὕρω κἀγὼ, τὴν ὁδὸν διὰ τῆς μετανοίας· τὸ ἀπολωλὸς πρόβατον ἐγώ εἰμι· ἀνακάλεσαί με Σωτὴρ καὶ σῶσόν με.

Εὐλογητὸς εἶ, Κύριε.

Οἱ τὸν ἀμνὸν τοῦ Θεοῦ κηρύξαντες, καὶ σφαγιασθέντες ὥσπερ ἄρνες, καὶ πρὸς ζωὴν τὴν ἀγήρω ἅγιοι, καὶ ἀΐδιον μετατεθέντες, τοῦτον ἐκτενῶς, Μάρτυρες αἰτήσασθε, ὀφλημάτων λύσιν ἡμῖν δωρήσασθαι.

Εὐλογητὸς εἶ, Κύριε.

Οἱ τὴν ὁδὸν τὴν στενὴν βαδίσαντες, τεθλιμμένην πάντες οἱ ἐν βίῳ· οἱ τὸν σταυρὸν ὡς ζυγὸν ἀράμενοι, καὶ ἐμοὶ ἀκολουθήσαντες ἐν πίστει, δεῦτε ἀπολαύετε, ἃ ἡτοίμασα ὑμῖν βραβεῖα, καὶ σέφη τὰ οὐράνια.

Εὐλογητὸς εἶ, Κύριε.

Εἰκὼν εἰμι τῆς ἀῤῥήτου δόξης σου, εἰ καὶ σίγματι φέρω πταισμάτων· οἰκτείρησον, τὸ σὸν πλάσμα Δέσποτα, καὶ καθάρισον σῇ εὐσπλαγχνίᾳ, καὶ τὴν πεθεινὴν πατρίδα παράσχου μοι, Παραδείσου πάλιν ποιῶν πολίτην με.

Εὐλογητὸς εἶ, Κύριε.

Ὁ παλάμῃ ἐκ μὴ ὄντων πλάσας με, καὶ εἰκόνι σου θείᾳ τιμήσας, παραβάσει ἐντολῆς δὲ πάλιν με, ἐπισρέψας εἰς γῆν ἐξ ἧς ἐλήφθην, εἰς τὸ καθ' ὁμοίωσιν ἐπανάγαγε, τὸ ἀρχαῖον κάλλος ἀναμορφώσασθαι.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημοσία Κεντρική Βιβλιοθήκη Λεβούνου - Μουσείο Τυπαλδών Ιακωβατών

Εὐλογητὸς εἶ, Κύριε.

Ἀνάπαυσον, ὁ Θεὸς, τοὺς δούλους σου, καὶ κατάπαυσον αὐτοὺς ἐν Παραδείσῳ, ὅπου χοροὶ τῶν Ἁγίων Κύριε, καὶ οἱ δίκαιοι ἐκλάμψουσιν ὡς φωστῆρες· τοὺς κεκοιμημένους δούλους σου ἀνάπαυσον, παρορῶν αὐτῶν πάντα τὰ ἐγκλήματα.

Δόξα, Τριαδικόν.

Τὸ τριλαμπὲς τῆς μιᾶς Θεότητος, εὐσεβῶς ὑμνήσωμεν βοῶντες: Ἅγιος εἶ, ὁ Πατὴρ ὁ ἄναρχος, ὁ συνάναρχος Υἱὸς καὶ Θεῖον Πνεῦμα. Φώτισον ἡμᾶς, πίστει σοι λατρεύοντας, καὶ τοῦ αἰωνίου πυρὸς ἐξάρπασον.

Καὶ νῦν, Θεοτοκίον.

Χαῖρε σεμνὴ, ἡ Θεὸν σαρκὶ τεκοῦσα, εἰς πάντων σωτηρίαν, δι' ἧς γένος τῶν ἀνθρώπων εὕρατο τὴν σωτηρίαν. Διὰ σὲ εὕροιμεν Παράδεισον, Θεοτόκε ἁγνὴ εὐλογημένη. Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός.

Ἐκ τρίτου.

## ΑΙ ΕΝΝΕΑ ΩΔΑΙ.

### ΩΔΗ ΠΡΩΤΗ.

Ὠδὴ Μωσέως ἐν τῇ ἐξόδῳ. Κεφ. ιε'.

Ἄρδην βυθίσας Φαραὼ Μωσῆς λέγει:
Τῷ Κυρίῳ ᾄσωμεν, ἐνδόξως γὰρ δεδόξασται.

Ἄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται. Ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν.

Βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν· οὗτός μου Θεὸς, καὶ δοξάσω αὐτόν· Θεὸς τοῦ πατρός μου, καὶ ὑψώσω αὐτόν.

Κύριος συντρίβων πολέμους, Κύριος ὄνομα αὐτῷ.

Ἅρματα Φαραὼ, καὶ τὴν δύναμιν αὐτοῦ ἔρριψεν εἰς θάλασσαν· ἐπίλεκτους ἀναβάτας τριστάτας κατεπόντισεν ἐν ἐρυθρᾷ θαλάσσῃ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Απουρίου-Μουσείο Γιαννούλειων Ιακωβατών

Πόντῳ ἐκάλυψεν αὐτούς· κατέδυσαν εἰς βυθὸν ὡσεὶ λίθος.

Ἡ δεξιά σου, Κύριε, δεδόξασται ἐν ἰσχύϊ· ἡ δεξιά σου χεὶρ, Κύριε, ἔθραυσεν ἐχθρούς· καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους.

Ἀπέστειλας τὴν ὀργήν σου, κατέφαγεν αὐτοὺς ὡσεὶ καλάμην.

Καὶ διὰ πνεύματος τοῦ θυμοῦ σου διέστη τὸ ὕδωρ· ἐπάγη ὡσεὶ τεῖχος τὰ ὕδατα, ἐπάγη καὶ τὰ κύματα ἐν μέσῳ τῆς θαλάσσης.

Εἶπεν ὁ ἐχθρός: Διώξας καταλήψομαι, μεριῶ σκῦλα, ἐμπλήσω ψυχήν μου, ἀνελῶ τῇ μαχαίρᾳ μου, κυριεύσει ἡ χείρ μου.

Ἀπέστειλας τὸ πνεῦμά σου, ἐκάλυψεν αὐτοὺς θάλασσα, ἔδυσαν ὡσεὶ μόλιβδος ἐν ὕδατι σφοδρῷ.

Τίς ὅμοιός σοι ἐν θεοῖς, Κύριε; τίς ὅμοιός σοι; δεδοξασμένος ἐν ἁγίοις, θαυμαστὸς ἐν δόξαις, ποιῶν τέρατα.

Ἐξέτεινας τὴν δεξιάν σου, κατέπιεν αὐτοὺς γῆ.

Ὡδήγησας τῇ δικαιοσύνῃ σου τὸν λαόν σου τοῦτον, ὃν ἐλυτρώσω· παρεκάλεσας τῇ ἰσχύϊ σου εἰς κατάλυμα ἅγιόν σου.

Ἤκουσαν ἔθνη, καὶ ὠργίσθησαν· ὠδῖνες ἔλαβον κατοικοῦντας Φυλιστιείμ.

## Εἰς Στίχους ἡ.

Τότε ἔσπευσαν ἡγεμόνες Ἐδὼμ, καὶ ἄρχοντες Μωαβιτῶν· ἔλαβεν αὐτοὺς τρόμος, ἐτάκησαν πάντες οἱ κατοικοῦντες Χαναάν.

Ἐπιπέσοι ἐπ' αὐτοὺς φόβος καὶ τρόμος, μεγέθει βραχίονός σου ἀπολιθωθήτωσαν.

## Εἰς Στίχους ς'.

Ἕως ἂν παρέλθῃ ὁ λαός σου, Κύριε· ἕως ἂν παρέλθῃ ὁ λαός σου οὗτος, ὃν ἐκτήσω.

Εἰσαγαγὼν κατφύτευσον αὐτοὺς εἰς ὄρος κληρονομίας σου, εἰς ἕτοιμον κατοικητήριόν σου, ὃ κατειργάσω, Κύριε, ἁγίασμα, ὃ ἡτοίμασαν αἱ χεῖρές σου.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Λεβαδειάς - Μουσείο Τυπαλδών Ιακωβάτων

Εἰς Στίχους δ'.

Κύριος βασιλεύων τῶν αἰώνων, καὶ ἐπ' αἰῶνα, καὶ ἔτι.

Ὅτι εἰσῆλθεν ἵππος Φαραὼ σὺν ἅρμασι καὶ ἀναβάταις εἰς θάλασσαν, καὶ ἐπήγαγεν ἐπ' αὐτοὺς Κύριος τὸ ὕδωρ τῆς θαλάσσης· οἱ δὲ υἱοὶ Ἰσραὴλ ἐπορεύθησαν διὰ ξηρᾶς ἐν μέσῳ τῆς θαλάσσης.

Δόξα, καὶ νῦν.

## ΩΔΗ ΔΕΥΤΕΡΑ.

Ἱστέον, ὅτι ἡ β'. Ὠδὴ οὐδέποτε ψιχολογεῖται, εἰμὴ ἐν μόνῃ τῇ μεγάλῃ Τεσσαρακοστῇ, μετὰ δὲ τὴν α', στιχολογοῦμεν αὐτὴν ἕως τέλους. Εἰς δὲ τὰ Τροπάρια λέγομεν, ἑνὶ ἑκάστῳ: Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὠδὴ Μωσέως ἐν τῷ Δευτερονομίῳ. Κεφ. λβ'. 1.

Νόμου γραφέντος, αὖθις Ὠδὴ Μωσέως.

Πρόσεχε οὐρανέ, καὶ λαλήσω· καὶ ἀκουέτω γῆ ῥήματα ἐκ στόματός μου.

Προσδοκάσθω ὡς ὑετὸς τὸ ἀπόφθεγμά μου, καὶ καταβήτω ὡς δρόσος τὰ ῥήματά μου, ὡς ὄμβρος ἐπ' ἄγρωστιν, καὶ ὡσεὶ νιφετὸς ἐπὶ χόρτον.

Ὅτι τὸ ὄνομα Κυρίου ἐκάλεσα. Δότε μεγαλωσύνην τῷ Θεῷ ἡμῶν.

Θεὸς, ἀληθιναὶ τὰ ἔργα αὐτοῦ, καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κρίσεις.

Θεὸς πιστὸς, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ· δίκαιος καὶ ὅσιος ὁ Κύριος.

Ἥμαρτοσαν οὐκ αὐτῷ τέκνα μωμητά· γενεὰ σκολιὰ καὶ διεστραμμένη, ταῦτα Κυρίῳ ἀνταποδίδοτε;

Οὗτος λαὸς μωρὸς, καὶ οὐχὶ σοφός· οὐκ αὐτὸς οὗτός σε Πατὴρ ἐκτήσατό σε, καὶ ἐποίησέ σε, καὶ ἔπλασέ σε;

Μνήσθητι ἡμέρας αἰῶνος, σύνετε δὴ ἔτη γενεᾶς γενεῶν.

Ἐπερώτησον τὸν πατέρα σε, καὶ ἀναγγελεῖ σοι· τοὺς πρεσβυτέρους σου, καὶ ἐροῦσί σοι.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ὅτε διεμέριζεν ὁ Ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς Ἀδάμ, ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν Ἀγγέλων Θεοῦ.

Καὶ ἐγενήθη μερὶς Κυρίου, λαὸς αὐτοῦ Ἰακώβ· σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ.

Αὐτάρκησεν αὐτὸν ἐν τῇ ἐρήμῳ, ἐν δίψει καύματος ἐν γῇ ἀνύδρῳ· ἐκύκλωσεν αὐτὸν, καὶ ἐπαίδευσεν αὐτὸν, καὶ διεφύλαξεν αὐτὸν, ὡς κόρην ὀφθαλμοῦ.

Ὡς ἀετὸς σκεπάσαι νοσσιὰν αὐτοῦ, καὶ ἐπὶ τοῖς νεοσσοῖς αὐτοῦ ἐπεπόθησε, διεὶς τὰς πτέρυγας αὐτοῦ, ἐδέξατο αὐτοὺς, καὶ ἀνέλαβεν αὐτοὺς ἐπὶ τῶν μεταφρένων αὐτοῦ.

Κύριος μόνος ἦγεν αὐτοὺς, καὶ οὐκ ἦν μετ' αὐτῶν θεὸς ἀλλότριος.

Ἀνεβίβασεν αὐτοὺς ἐπὶ τὴν ἰσχὺν τῆς γῆς· ἐψώμισεν αὐτοὺς γεννήματα ἀγρῶν.

Ἐθήλασαν μέλι ἐκ πέτρας, καὶ ἔλαιον ἐκ στερεᾶς πέτρας.

Βούτυρον βοῶν, καὶ γάλα προβάτων, μετὰ στέατος ἀρνῶν καὶ κριῶν, υἱῶν ταύρων καὶ τράγων, μετὰ στέατος νεφρῶν πυροῦ, καὶ αἷμα σταφυλῆς ἔπιον οἶνον.

Καὶ ἔφαγεν Ἰακὼβ καὶ ἐνεπλήσθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος· ἐλιπάνθη, ἐπαχύνθη, ἐπλατύνθη, καὶ ἐγκατέλιπε Θεὸν τὸν ποιήσαντα αὐτὸν, καὶ ἀπέστη ἀπὸ Θεοῦ σωτῆρος αὐτοῦ.

Παρώξυνάν με ἐπ' ἀλλοτρίοις, καὶ ἐν βδελύγμασιν αὐτῶν ἐξεπίκρανάν με.

Ἔθυσαν δαιμονίοις, καὶ οὐ Θεῷ· θεοῖς, οἷς οὐκ ᾔδεισαν· καινοὶ καὶ πρόσφατοι ἦκασιν, οἷς οὐκ ᾔδεισαν οἱ πατέρες αὐτῶν.

Θεὸν τὸν γεννήσαντά σε ἐγκατέλιπες, καὶ ἐπελάθου Θεοῦ τοῦ τρέφοντός σε.

Καὶ εἶδε Κύριος καὶ ἐζήλωσε, καὶ παρωξύνθη διὰ ὀργὴν υἱῶν αὐτοῦ καὶ θυγατέρων.

Καὶ εἶπεν· Ἀποστρέψω τὸ πρόσωπόν μου ἀπ' αὐτῶν, καὶ δείξω τί ἔσται αὐτοῖς ἐπ' ἐσχάτων· ὅτι γενεὰ ἐξεστραμμένη ἐστὶν· υἱοὶ, οἷς οὐκ ἔστι πίστις ἐν αὐτοῖς.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λήξουρίου - Μουσείο Παλαιοντολογικών Ειδών

Αὐτοὶ παρεζήλωσάν με ἐπ' οὐ θεῷ, παρώργισάν με ἐν τοῖς εἰδώλοις αὐτῶν· κἀγὼ παραζηλώσω αὐτοὺς ἐπ' οὐκ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτούς.

Ὅτι πῦρ ἐκκέκαυται ἐκ τοῦ θυμοῦ μου, καυθήσεται ἕως Ἅιδου κατωτάτου· καταφάγεται γῆν, καὶ τὰ γενήματα αὐτῆς· φλέξει θεμέλια ὀρέων.

Συνάξω εἰς αὐτοὺς κακά, καὶ τὰ βέλη μου συντελέσω εἰς αὐτούς.

Τηκόμενοι λιμῷ καὶ βρώσει ὀρνέων, καὶ ὀπισθότονος ἀνίατος· ὀδόντας θηρίων ἐξαποστελῶ εἰς αὐτοὺς, μετὰ θυμοῦ συρόντων ἐπὶ τῆς γῆς.

Ἔξωθεν ἀτεκνώσει αὐτοὺς μάχαιρα, καὶ ἐκ τῶν ταμιείων φόβος· νεανίσκος σὺν παρθένῳ, θηλάζων μετὰ καθεστηκότος πρεσβύτου.

Εἶπα: Διασπερῶ αὐτούς· παύσω δὲ ἐξ ἀνθρώπων τὸ μνημόσυνον αὐτῶν.

Εἰ μὴ δι' ὀργὴν ἐχθρῶν, ἵνα μὴ μακροχρονίσωσι, καὶ ἵνα μὴ συνεπιθῶνται οἱ ὑπεναντίοι· μὴ εἴπωσιν: Ἡ χεὶρ ἡμῶν ἡ ὑψηλὴ, καὶ οὐχὶ Κύριος ἐποίησε ταῦτα πάντα.

Ὅτι ἔθνος ἀπολωλεκὸς βουλήν ἐστι, καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ἐπιστήμη, οὐκ ἐφρόνησαν συνιέναι.

Ταῦτα πάντα καταδεξάσθωσαν εἰς τὸν ἐπιόντα χρόνον.

Πῶς διώξεται εἷς χιλίους, καὶ δύο μετακινήσουσι μυριάδας, εἰ μὴ ὁ Θεὸς ἀπέδοτο αὐτούς;

Οὐ γὰρ εἰσιν οἱ θεοὶ αὐτῶν, ὡς ὁ Θεὸς ἡμῶν· οἱ δὲ ἐχθροὶ ἡμῶν ἀνόητοι.

Ἐκ γὰρ ἀμπέλων Σοδόμων ἡ ἄμπελος αὐτῶν, καὶ ἡ κληματὶς αὐτῶν ἐκ Γομόρρας· ἡ σταφυλὴ αὐτῶν, σταφυλὴ χολῆς, βότρυς πικρίας αὐτῶν.

Θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν, καὶ θυμὸς ἀσπίδων ἀνίατος.

Οὐκ ἰδοὺ ταῦτα πάντα συνῆκται παρ' ἐμοὶ, καὶ ἐσφράγισται ἐν τοῖς θησαυροῖς μου;

Ἐν ἡμέρᾳ ἐκδικήσεως ἀνταποδώσω, ἐν καιρῷ, ὅταν σφαλῇ ὁ πούς αὐτῶν· ὅτι ἐγγὺς ἡμέρα ἀπωλείας αὐτῶν, καὶ πάρεστιν ἕτοιμα ὑμῖν.

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ Ζ

Ὅτι κρινεῖ Κύριος τὸν λαὸν αὐτοῦ, καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται.

Εἶδε γὰρ αὐτοὺς παραλελυμένους, καὶ ἐκλελοιπότας ἐν ἐπαγωγῇ, καὶ παρειμένους.

Καὶ εἶπε Κύριος: Ποῦ εἰσιν οἱ θεοὶ αὐτῶν, ἐφ' οἷς ἐπεποίθεισαν ἐπ' αὐτοῖς;

Ὧν τὸ στέαρ τῶν θυσιῶν αὐτῶν ἠσθίετε, καὶ ἐπίνετε τὸν οἶνον τῶν σπονδῶν αὐτῶν; Ἀναστήτωσαν καὶ βοηθησάτωσαν ὑμῖν, καὶ γενηθήτωσαν ὑμῶν σκεπασταί.

Ἴδετε ἴδετε, ὅτι ἐγώ εἰμι, καὶ οὐκ ἔστι Θεὸς πλὴν ἐμοῦ· ἐγὼ ἀποκτενῶ, καὶ ζῆν ποιήσω· πατάξω, κἀγὼ ἰάσομαι· καὶ οὐκ ἔστιν, ὃς ἐξελεῖται ἐκ τῶν χειρῶν μου.

Ὅτι ἀρῶ εἰς τὸν οὐρανὸν τὴν χεῖρά μου, καὶ ὀμοῦμαι τῇ δεξιᾷ μου, καὶ ἐρῶ: Ζῶ ἐγὼ εἰς τὸν αἰῶνα.

Ὅτι παροξυνῶ ὡς ἀστραπὴν τὴν μάχαιράν μου, καὶ ἀνθέξεται κρίματος ἡ χείρ μου, καὶ ἀνταποδώσω δίκην τοῖς ἐχθροῖς, καὶ τοῖς μισοῦσί με ἀνταποδώσω.

Μεθύσω τὰ βέλη μου ἀφ' αἵματος, καὶ ἡ μάχαιρά μου φάγεται κρέα, ἀφ' αἵματος τραυματιῶν καὶ αἰχμαλωσίας, ἀπὸ κεφαλῆς ἀρχόντων ἐθνῶν.

Εὐφράνθητε οὐρανοὶ ἅμα αὐτῷ, καὶ προσκυνησάτωσαν αὐτῷ πάντες Ἄγγελοι Θεοῦ.

Εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ, καὶ ἐνισχυσάτωσαν αὐτῷ πάντες υἱοὶ Θεοῦ· ὅτι τὸ αἷμα τῶν υἱῶν αὐτοῦ ἐκδικεῖται, καὶ ἐκδικήσει καὶ ἀνταποδώσει δίκην τοῖς ἐχθροῖς, καὶ τοῖς μισοῦσιν αὐτὸν ἀνταποδώσει, καὶ ἐκκαθαριεῖ Κύριος τὴν γῆν τοῦ λαοῦ αὐτοῦ.

Δόξα, καὶ νῦν.

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

## ΩΔΗ ΤΡΙΤΗ.

### Προσευχὴ Ἄννης τῆς μητρὸς Σαμουὴλ τοῦ Προφήτου.

### Α΄. Βασιλειῶν. Κεφ. β΄.

Θεὸν γεραίρει Στεῖρα τίκτουσα ξένως.
Ἅγιος εἶ, Κύριε, καὶ σὲ ὑμνεῖ τὸ πνεῦμά μου.

Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, ὑψώθη κέρας μου ἐν Θεῷ μου, ἐπλατύνθη ἐπ' ἐχθρούς μου τὸ στόμα μου, εὐφράνθην ἐν σωτηρίῳ σου.

Ὅτι οὐκ ἔστιν ἅγιος ὡς ὁ Κύριος, καὶ οὐκ ἔστι δίκαιος ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἅγιος πλήν σου.

Μὴ καυχᾶσθε, καὶ μὴ λαλεῖτε ὑψηλὰ εἰς ὑπεροχήν· μηδὲ ἐξελθέτω μεγαλορρημοσύνη ἐκ τοῦ στόματος ὑμῶν.

Ὅτι Θεὸς γνώσεων Κύριος, καὶ Θεὸς ἑτοιμάζων ἐπιτηδεύματα αὐτοῦ.

Τόξον δυνατῶν ἠσθένησε, καὶ οἱ ἀσθενοῦντες περιεζώσαντο δύναμιν.

Πλήρεις ἄρτων ἠλαττώθησαν, καὶ οἱ πεινῶντες παρῆκαν γῆν· ὅτι στεῖρα ἔτεκεν ἑπτά, καὶ ἡ πολλὴ ἐν τέκνοις ἠσθένησε.

Κύριος θανατοῖ καὶ ζωογονεῖ, κατάγει εἰς Ἅδου, καὶ ἀνάγει.

Κύριος πτωχίζει καὶ πλουτίζει, ταπεινοῖ καὶ ἀνυψοῖ.

Ἀνιστᾷ ἀπὸ γῆς πένητα, καὶ ἀπὸ κοπρίας ἐγείρει πτωχόν, τοῦ καθίσαι αὐτὸν μετὰ δυναστῶν λαοῦ, καὶ θρόνου δόξης κατακληρονομῶν αὐτόν.

### Εἰς Στίχους ἡ.

Δίδους εὐχὴν τῷ εὐχομένῳ, καὶ εὐλόγησεν ἔτη δικαίου.

Ὅτι οὐκ ἐνισχύει δυνατὸς ἀνὴρ ἐν τῇ ἰσχύϊ αὐτοῦ. Κύριος ἀσθενῆ ποιήσει τὸν ἀντίδικον αὐτοῦ, Κύριος ἅγιος.

### Εἰς Στίχους ς΄.

Μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ, καὶ μὴ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λησσουρίου - Μουσείο Τυρολογικών Προϊόντων

καυχάσθω ὁ δυνατὸς ἐν τῇ δυνάμει αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ.

Ἀλλ' ἢ ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος, ἐν τῷ συνιεῖν καὶ γινώσκειν τὸν Κύριον, καὶ ποιεῖν κρίμα καὶ δικαιοσύνην ἐν μέσῳ τῆς γῆς.

Εἰς Στίχους δ'.

Κύριος ἀνέβη εἰς οὐρανοὺς καὶ ἐβρόντησεν· αὐτὸς κρινεῖ ἄκρα γῆς, δίκαιος ὤν.

Καὶ δώσει ἰσχὺν τοῖς βασιλεῦσιν ἡμῶν, καὶ ὑψώσει κέρας χριστῶν αὐτοῦ.

Δόξα, καὶ νῦν.

## ΩΔΗ ΤΕΤΑΡΤΗ.

Προσευχὴ Ἀββακοὺμ τοῦ Προφήτου. Κεφ. γ'. 1.

Τὴν τοῦ Λόγου κένωσιν Ἀββακοὺμ φράσον.

Δόξα τῇ δυνάμει σου, Κύριε.

Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην· Κύριε, κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην.

Ἐν μέσῳ δύο ζώων γνωσθήσῃ, ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ, ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθείσῃ, ἐν τῷ ταραχθῆναι τὴν ψυχήν μου, ἐν ὀργῇ ἐλέους μνησθήσῃ.

Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει, καὶ ὁ Ἅγιος ἐξ ὄρους κατασκίου δασέος.

Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ τῆς αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ.

Καὶ φέγγος αὐτῷ ὡς φῶς ἔσται· κέρατα ἐν χερσὶν αὐτοῦ, καὶ ἔθετο ἀγάπησιν κραταιὰν ἰσχύος αὐτοῦ.

Πρὸ προσώπου αὐτοῦ πορεύσεται λόγος, καὶ ἐξελεύσεται εἰς παιδείαν κατὰ πόδας αὐτοῦ.

Ἔστη, καὶ ἐσαλεύθη ἡ γῆ· ἐπέβλεψε, καὶ ἐτάκη ἔθνη.

Διεθρύβη τὰ ὄρη βίᾳ, ἐτάκησαν βουνοὶ αἰώνιοι, πορείας αἰωνίους αὐτοῦ ἀντὶ κόπων εἶδον.

Σκηνώματα Αἰθιόπων πτοηθήσονται, καὶ σκηναὶ γῆς Μαδιάμ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λέσβου - Μουσείο Υπαλλοών Ιακωβιτών

Μὴ ἐν ποταμοῖς ὠργίσθης Κύριε; μὴ ἐν ποταμοῖς ὁ θυμός σου, ἢ ἐν θαλάσσῃ τὸ ὅρμημά σου; ὅτι ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους σου, καὶ ἡ ἱππασία σου σωτηρία.

Ἐντείνων ἐντενεῖς τὸ τόξον σου ἐπὶ σκῆπτρα, λέγει Κύριος· ποταμῶν ῥαγήσεται γῆ.

Ὄψονταί σε καὶ ὠδινήσουσι λαοὶ, σκορπίζων ὕδατα πορείας· ἔδωκεν ἡ ἄβυσσος φωνὴν αὐτῆς, ὕψος φαντασίας αὐτῆς.

Ἐπήρθη ὁ Ἥλιος, καὶ ἡ Σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς· εἰς φῶς βολίδες σου πορεύσονται, εἰς φέγγος ἀστραπῆς ὅπλων σου.

Ἐν ἀπειλῇ ὀλιγώσεις γῆν, καὶ ἐν θυμῷ κατάξεις ἔθνη.

Ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου, τοῦ σῶσαι τοὺς χριστούς σου ἐλήλυθας, ἔβαλες εἰς κεφαλὰς ἀνόμων θάνατον, ἐξήγειρας δεσμοὺς ἕως τραχήλου εἰς τέλος.

Διέκοψας ἐν ἐκστάσει κεφαλὰς δυναστῶν· σεισθήσονται ἐν αὐτοῖς, διανοίξουσι χαλινοὺς αὐτῶν, ὡς ὁ ἐσθίων πτωχὸς λάθρα.

Καὶ ἐπεβίβασας εἰς θάλασσαν τοὺς ἵππους σου, ταράσσοντας ὕδατα πολλά.

Ἐφυλαξάμην, καὶ ἐπτοήθη ἡ καρδία μου, ἀπὸ φωνῆς προσευχῆς χειλέων μου· καὶ εἰσῆλθε τρόμος εἰς τὰ ὀστᾶ μου, καὶ ἐν ἐμοὶ ἐταράχθη ἡ ἰσχύς μου.

Ἀναπαύσομαι ἐν ἡμέρᾳ θλίψεώς μου, τοῦ ἀναβῆναί με εἰς λαὸν παροικίας μου.

## Εἰς Στίχους ἡ.

Διότι συκῆ οὐ καρποφορήσει, καὶ οὐκ ἔσται γεννήματα ἐν ταῖς ἀμπέλοις.

Ψεύσεται ἔργον ἐλαίας, καὶ τὰ πεδία οὐ ποιήσει βρῶσιν.

## Εἰς Στίχους ε'.

Ἐξέλιπον ἀπὸ βρώσεως πρόβατα, καὶ οὐχ ὑπάρξουσι βόες ἐπὶ φάτναις.

Ἐγὼ δὲ ἐν τῷ Κυρίῳ ἀγαλλιάσομαι, χαρήσομαι ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Θυσέως Τυπάλδου Μακρή

Εἰς Στίχους δ'.

Κύριος ὁ Θεός μου, δύναμίς μου, καὶ τάξει τοὺς πόδας μου εἰς συντέλειαν.

Καὶ ἐπὶ τὰ ὑψηλά ἐπιβιβᾷ με, τοῦ νικῆσαί με ἐν τῇ ᾠδῇ αὐτοῦ. Δόξα, καὶ νῦν.

## ΩΔΗ ΠΕΜΠΤΗ.

Προσευχὴ Ἡσαΐου τοῦ Προφήτου. Κεφ. κς'. 9.

Ἡσαΐου πρόρρησις, εὐχὴ τὸ πλέον.

Κύριε ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν.

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σε, ὁ Θεός, διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς.

Δικαιοσύνην μάθετε οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς.

Πέπαυται γὰρ ὁ ἀσεβής· πᾶς, ὃς οὐ μὴ μάθῃ δικαιοσύνην ἐπὶ τῆς γῆς, ἀλήθειαν οὐ μὴ ποιήσει· ἀρθήτω ὁ ἀσεβὴς, ἵνα μὴ ἴδῃ τὴν δόξαν Κυρίου.

Κύριε, ὑψηλός σου ὁ βραχίων, καὶ οὐκ ᾔδεισαν· γνόντες δὲ, αἰσχυνθήτωσαν.

Ζῆλος λήψεται λαὸν ἀπαίδευτον, καὶ νῦν πῦρ τοὺς ὑπεναντίους ἔδεται.

Κύριε ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν· πάντα γὰρ ἀπέδωκας ἡμῖν.

Κύριε ὁ Θεὸς ἡμῶν, κτῆσαι ἡμᾶς· Κύριε, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν.

Οἱ δὲ νεκροὶ ζωὴν οὐ μὴ ἴδωσιν, οὐδὲ ἰατροὶ οὐ μὴ ἀναστήσουσι· διὰ τοῦτο ἐπήγαγες, καὶ ἀπώλεσας, καὶ ἦρας πᾶν ἄρσεν αὐτῶν.

Εἰς Στίχους ή.

Πρόσθες αὐτοῖς κακὰ, Κύριε, πρόσθες αὐτοῖς κακὰ τοῖς ἐνδόξοις τῆς γῆς.

Κύριε, ἐν θλίψει ἐμνήσθημέν σου· ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν. Εἰς Στίχους ς'.

Καὶ ὡς ἡ ὠδίνουσα ἐγγίζει τοῦ τεκεῖν, καὶ ἐπὶ τῇ ὠδῖνι αὐτῆς ἐκέκραγεν, ὅτως ἐγενήθημεν τῷ ἀγαπητῷ σου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λαογραφικού Μουσείου Υπατοδωναίων Ιακωβατών

Διὰ τὸν φόβον σου, Κύριε, ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν πνεῦμα σωτηρίας, ὃ ἐποιήσαμεν ἐπὶ τῆς γῆς.

Οὐ πεσούμεθα, ἀλλὰ πεσοῦνται οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς.

Εἰς Στίχους δ'.

Ἀναστήσονται οἱ νεκροὶ, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις, καὶ εὐφρανθήσονται οἱ ἐν τῇ γῇ.

Ἡ γὰρ δρόσος ἡ παρὰ σοῦ ἴαμα αὐτοῖς ἐστιν, ἡ δὲ γῆ τῶν ἀσεβῶν πεσεῖται.

Βάδιζε λαός μου, εἴσελθε εἰς τὸ ταμεῖόν σου, ἀπόκλεισον τὴν θύραν σου, ἀποκρύβηθι μικρὸν ὅσον ὅσον, ἕως ἂν παρέλθῃ ἡ ὀργὴ Κυρίου.

Δόξα, καὶ νῦν.

## ΩΔΗ ΕΚΤΗ.

Προσευχὴ Ἰωνᾶ τοῦ Προφήτου. Κεφ. β'. 2.

Ἐκ θηρὸς ἐκραύγαζεν Ἰωνᾶς, λέγων:

Ὡς τὸν Προφήτην Ἰωνᾶν, σῶσον ἡμᾶς, Κύριε.

Ἐβόησα ἐν θλίψει μου πρὸς Κύριον τὸν Θεόν μου, καὶ εἰσήκουσέ μου· ἐκ κοιλίας Ἅδου κραυγῆς μου, ἤκουσας φωνῆς μου.

Ἀπέρριψάς με εἰς βάθη καρδίας θαλάσσης, καὶ ποταμοὶ ἐκύκλωσάν με.

Πάντες οἱ μετεωρισμοί σου, καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον.

Κἀγὼ εἶπον: Ἀπῶσμαι ἐξ ὀφθαλμῶν σου· ἆρα προσθήσω τοῦ ἐπιβλέψαι με πρὸς ναὸν τὸν ἅγιόν σου;

Εἰς Στίχους ή.

Περιεχύθη μοι ὕδωρ ἕως ψυχῆς μου, ἄβυσσος ἐκύκλωσέ με ἐσχάτη· ἔδυ ἡ κεφαλή μου εἰς σχισμὰς ὀρέων, κατέβην εἰς γῆν, ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώνιοι.

Καὶ ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου πρὸς σε, Κύριε ὁ Θεός μου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Εἰς Στίχους ς'.

Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὴν ψυχήν μου, τοῦ Κυρίου ἐμνήσθην· καὶ ἔλθοι πρὸς σὲ ἡ προσευχή μου πρὸς ναὸν τὸν ἅγιόν σου.

Εἰς Στίχους δ'.

Φυλασσόμενοι μάταια καὶ ψευδῆ, ἔλεον αὐτοῖς ἐγκατέλιπον.

Ἐγὼ δὲ μετὰ φωνῆς αἰνέσεως καὶ ἐξομολογήσεως θύσω σοι· ὅσα ηὐξάμην ἀποδώσω σοι εἰς σωτηρίαν μετὰ τοῦ Κυρίου.

Δόξα, καὶ νῦν.

## ΩΔΗ ΕΒΔΟΜΗ.

Προσευχὴ τῶν ἁγίων Τριῶν Παίδων. Δαν. Κεφ. γ'.

Αἶνος φλόγα σβέννυσι τῶν τριῶν Νέων.
Τῶν Πατέρων καὶ ἡμῶν Θεὸς, εὐλογητὸς εἶ.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας.

Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν· καὶ πάντα τὰ ἔργα σου ἀληθινά, καὶ εὐθεῖαι αἱ ὁδοί σου, καὶ πᾶσαι αἱ κρίσεις σου ἀληθεῖς.

Καὶ κρίματα ἀληθείας ἐποίησας κατὰ πάντα, ἃ ἐπήγαγες ἡμῖν, καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν τὴν τῶν Πατέρων ἡμῶν Ἱερουσαλήμ· ὅτι ἐν ἀληθείᾳ καὶ κρίσει ἐπήγαγες ταῦτα πάντα ἐφ' ἡμᾶς, διὰ τὰς ἁμαρτίας ἡμῶν.

Ὅτι ἡμάρτομεν, καὶ ἠνομήσαμεν ἀποστῆναι ἀπὸ σοῦ, καὶ ἐξημάρτομεν ἐν πᾶσι, καὶ τῶν ἐντολῶν σου οὐκ ἠκούσαμεν, οὐδὲ συνετηρήσαμεν, οὐδὲ ἐποιήσαμεν, καθὼς ἐνετείλω ἡμῖν, ἵνα εὖ ἡμῖν γένηται.

Καὶ πάντα, ὅσα ἐποίησας ἡμῖν, καὶ πάντα, ὅσα ἐπήγαγες ἡμῖν, ἐν ἀληθινῇ κρίσει ἐποίησας· καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἀνόμων, ἐχθίστων ἀποστατῶν, καὶ Βασιλεῖ ἀδίκῳ, καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν.

Καὶ νῦν οὐκ ἔξεστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα ἡμῶν· αἰσχύνη καὶ ὄνειδος ἐγενήθημεν τοῖς δούλοις σου, καὶ τοῖς σεβομένοις σε.

ΨΗΦΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημοσία Κεντρική Βιβλιοθήκη Δικηγορικού Συλλόγου Θεσσαλονίκης

Μὴ δὴ παραδῷης ἡμᾶς εἰς τέλος, διὰ τὸ ὄνομά σου τὸ ἅγιον, καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου, καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σε ἀφ' ἡμῶν, διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ, καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου, καὶ Ἰσραὴλ τὸν ἅγιόν σου.

Οἷς ἐλάλησας πληθῦναι τὸ σπέρμα αὐτῶν, ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ, καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης.

Ὅτι, Δέσποτα, ἐσμικρύνθημεν παρὰ πάντα τὰ ἔθνη, καὶ ἐσμὲν ταπεινοὶ ἐν πάσῃ τῇ γῇ σήμερον, διὰ τὰς ἁμαρτίας ἡμῶν.

Καὶ οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων, καὶ προφήτης, καὶ ἡγούμενος· οὐδὲ ὁλοκαύτωσις, οὐδὲ θυσία, οὐδὲ προσφορὰ, οὐδὲ θυμίαμα· οὐ τόπος τοῦ καρπῶσαι ἐνώπιόν σου, καὶ εὑρεῖν ἔλεος.

Ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ, καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν.

Ὡς ἐν ὁλοκαυτώμασι κριῶν καὶ ταύρων, καὶ ὡς ἐν μυριάσιν ἀρνῶν πιόνων, οὕτω γενέσθω ἡ θυσία ἡμῶν εὐπρόσδεκτος ἐνώπιόν σε σήμερον, καὶ ἐκτελείσθω ὄπισθέν σε· ὅτι οὐκ ἔστιν αἰσχύνη τοῖς πεποιθόσιν ἐπὶ σέ.

Καὶ νῦν ἐξακολουθοῦμεν ἐν ὅλῃ καρδίᾳ, καὶ φοβούμεθά σε, καὶ ζητοῦμεν τὸ πρόσωπόν σου· μὴ καταισχύνῃς ἡμᾶς· Ἀλλὰ ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου, καὶ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου.

Ἐξελοῦ ἡμᾶς κατὰ τὰ θαυμάσιά σου, καὶ δὸς δόξαν τῷ ὀνόματί σου, Κύριε.

Καὶ ἐντραπείησαν πάντες οἱ ἐνδεικνύμενοι τοῖς δούλοις σου κακὰ, καὶ καταισχυνθείησαν ἀπὸ πάσης δυναστείας, καὶ ἡ ἰσχὺς αὐτῶν συντριβείη.

Καὶ γνώτωσαν, ὅτι σὺ εἶ Κύριος, Θεὸς μόνος, καὶ ἔνδοξος ἐφ' ὅλην τὴν οἰκουμένην.

Καὶ οὐ διέλιπον οἱ ἐμβαλόντες αὐτὸς ὑπηρέται τοῦ Βασιλέως, καίοντες τὴν κάμινον ναφθῇ, καὶ πίσσῃ, καὶ στυππίῳ, καὶ κληματίδι.

Καὶ διεχεῖτο ἡ φλὸξ ἐπάνω τῆς καμίνου ἐπὶ πήχεις τεσσαράκοντα ἐννέα· καὶ διώδευσε, καὶ ἐνεπύρισεν, οὓς εὗρε περὶ τὴν κάμινον τῶν Χαλδαίων.

Ὁ δὲ Ἄγγελος Κυρίου συγκατέβη ἅμα τοῖς περὶ τὸν Ἀζαρίαν εἰς τὴν κάμινον, καὶ ἐξετίναξε τὴν φλόγα τοῦ πυρὸς ἐκ τῆς καμίνου.

Καὶ ἐποίησε τὸ μέσον τῆς καμίνου, ὡς πνεῦμα δρόσου διασυρίζον· καὶ οὐχ ἥψατο αὐτῶν τοκαθόλου τὸ πῦρ, οὐδὲ ἐλύπησεν, οὐδὲ παρηνώχλησεν αὐτούς.

Τότε οἱ Τρεῖς, ὡς ἐξ ἑνὸς στόματος, ὕμνουν, καὶ εὐλόγουν, καὶ ἐδόξαζον τὸν Θεὸν ἐν τῇ καμίνῳ, λέγοντες.

## Ἡ τῶν Τριῶν ὕμνησις, ἣν ᾖδον Νέοι.

### Εἰς Στίχους ἡ.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης σου τὸ ἅγιον, τὸ ὑπερύμνητον καὶ ὑπερυψούμενον εἰς τοὺς αἰῶνας.

### Εἰς Στίχους ς'.

Εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς ἁγίας δόξης σου, ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Εὐλογημένος εἶ ὁ βλέπων ἀβύσσους, ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ, ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

### Εἰς Στίχους δ'.

Εὐλογημένος εἶ ὁ ἐπὶ θρόνου δόξης τῆς Βασιλείας σου, ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Εὐλογημένος εἶ ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Δόξα, καὶ νῦν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

## ΩΔΗ ΟΓΔΟΗ.

### Ὕμνος τῶν ἁγίων τριῶν Παίδων.

Τὸν Δεσπότην ὕμνησον ἡ κτιστῶν φύσις.
Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, Ἄγγελοι Κυρίου, οὐρανοὶ Κυρίου, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, ὕδατα πάντα τὰ ὑπεράνω τῶν οὐρανῶν, πᾶσαι αἱ Δυνάμεις Κυρίου, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, Ἥλιος καὶ Σελήνη, ἄστρα τοῦ οὐρανοῦ, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, πᾶς ὄμβρος καὶ δρόσος, πάντα τὰ πνεύματα, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, πῦρ καὶ καῦμα, ψύχος καὶ καύσων, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, δρόσοι καὶ νιφετοὶ, πάγοι καὶ ψύχος, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, πάχναι καὶ χιόνες, ἀστραπαὶ ἢ νεφέλαι, τὸν Κύριον· ὑμνεῖτε ἢ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, φῶς καὶ σκότος, νύκτες ἢ ἡμέραι, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, γῆ, ὄρη ἢ βουνοὶ, ἢ πάντα τὰ φυόμενα ἐν αὐτῇ, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, πηγαὶ, θάλασσα καὶ ποταμοὶ, κήτη καὶ πάντα τὰ κινούμενα ἐν τοῖς ὕδασι, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εἰς Στίχους ἡ.

Εὐλογεῖτε, πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, τὰ θηρία

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λήξουριου - Μουσείο Τυπάλδου Ιδιωτικών

καὶ πάντα τὰ κτήνη, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, υἱοὶ τῶν ἀνθρώπων, εὐλογείτω Ἰσραὴλ, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψῶτε αὐτὸν εἰς τὸς αἰῶνας.

## Εἰς Στίχους ε'.

Εὐλογεῖτε, ἱερεῖς Κυρίου, δοῦλοι Κυρίου, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, πνεύματα καὶ ψυχαὶ Δικαίων, ὅσιοι καὶ ταπεινοὶ τῇ καρδίᾳ, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

## Εἰς Στίχους δ'.

Εὐλογεῖτε, Ἀνανία, Ἀζαρία, καὶ Μισαὴλ, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, Ἀπόστολοι, Προφῆται, καὶ Μάρτυρες Κυρίου, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψῶτε αὐτὸν εἰς τὸς αἰῶνας.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν, καὶ Ἅγιον Πνεῦμα, τὸν Κύριον· ὑμνοῦμεν καὶ ὑπερυψῶμεν αὐτὸν εἰς τὸς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν, καὶ προσκυνοῦμεν τὸν Κύριον, ὑμνοῦντες καὶ ὑπερυψοῦντες αὐτὸν εἰς τοὺς αἰῶνας.

## Δόξα, καὶ νῦν.

# ΩΔΗ ΕΝΝΑΤΗ.

## Ὠδὴ τῆς Θεοτόκου. Ἐκ τοῦ κατὰ Λουκᾶν. Κεφ. α'. 46.

Τὸν Υἱὸν ὑμνεῖ, καὶ Θεὸν Μήτηρ Κόρη.
Τὴν Θεοτόκον ἐν ὕμνοις μεγαλύνωμεν.

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ· καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Κεντρική Βιβλιοθήκη Ληξουρίου - Κεφαλληνία

Καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς· πεινῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.

Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς Πατέρας ἡμῶν, τῷ Ἀβραὰμ, καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

## Προσευχὴ Ζαχαρίου, τοῦ πατρὸς τοῦ Προδρόμου. Λσκ. ά. 68.

Ὁ Ζαχαρίας εὐλογεῖ παιδὸς τόκον.

Εὐλογητὸς Κύριος, ὁ Θεὸς τοῦ Ἰσραὴλ, ὅτι ἐπεσκέψατο, καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ.

Καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν, ἐν τῷ οἴκῳ Δαυὶδ τοῦ παιδὸς αὐτοῦ.

Καθὼς ἐλάλησε διὰ στόματος τῶν ἁγίων, τῶν ἀπ' αἰῶνος Προφητῶν αὐτοῦ.

Σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν, καὶ ἐκ χειρὸς πάντων τῶν μισούντων ἡμᾶς.

Ποιῆσαι ἔλεος μετὰ τῶν Πατέρων ἡμῶν, καὶ μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ.

### Εἰς Στίχους ή.

Ὅρκον, ὃν ὤμοσε πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν, τοῦ δοῦναι ἡμῖν ἀφόβως ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυσθέντας.

Λατρεύειν αὐτῷ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ ἐνώπιον αὐτοῦ, πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν.

### Εἰς Στίχους ς'.

Καὶ σὺ Παιδίον, Προφήτης Ὑψίστου κληθήσῃ· προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ.

Τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ, ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν, διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν.

### Εἰς Στίχους ζ'.

Ἐν οἷς ἐπεσκέψατο ἡμᾶς Ἀνατολὴ ἐξ ὕψους, ἐπιφάναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις.

Τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ἀπόσπασμα Κατάστιχης Βιβλιοθήκης Λ. Ξανθοπούλου
Μουσείο Τυπλόφων Ιδιοκτήτων

Δόξα, καὶ νῦν.

Εἰ μὲν οὐκ ἔστι Κυριακὴ, μετὰ τὸν Εἱρμὸν, τὸ, Ἄξιόν ἐστιν· εἰ δὲ ἐστὶ Κυριακὴ, μετὰ τὴν Καταβασίαν, Συναπτὴ, τὸ Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν, καὶ τὸ Ἑωθινὸν Ἐξαποστειλάριον. Εἰ δέ ἐστι Τεσσαρακοστὴ, λέγομεν τὰ Φωταγωγικὰ, κατὰ τὸν τυχόντα Ἦχον· τὴν δὲ συμπλήρωσιν ἑκάστου Φωταγωγικοῦ ποιοῦμεν οὕτω.

Τῇ Δευτέρᾳ.

Προστασίαις Κύριε τῶν Ἀσωμάτων, καὶ σῶσόν με.

Τῇ Τρίτῃ.

Πρεσβείαις Κύριε τοῦ Προδρόμου, καὶ σῶσόν με.

Τῇ Τετάρτῃ, καὶ Παρασκευῇ.

Δυνάμει Κύριε τοῦ Σταυροῦ σου, καὶ σῶσόν με.

Τῇ Πέμπτῃ.

Πρεσβείαις Κύριε τῶν Ἀποστόλων, καὶ σῶσόν με.

Τῷ Σαββάτῳ, λέγομεν αὐτὸ δίς.

Ἐν μὲν τῷ πρώτῳ.

Πρεσβείαις Κύριε τῶν Ἁγίων σου, καὶ σῶσόν με.

Ἐν δὲ τῷ δευτέρῳ.

Πρεσβείαις Κύριε τῆς Θεοτόκου, καὶ σῶσόν με.

---

## ΦΩΤΑΓΩΓΙΚΑ ΚΑΤ ΗΧΟΝ

ἐκ τρίτου ψαλλόμενα.

Ἦχος α'.

Ὁ τὸ φῶς ἀνατέλλων, Κύριε, τὴν ψυχήν μου καθάρισον ἀπὸ πάσης ἁμαρτίας, προστασίαις τῶν Ἀσωμάτων, καὶ σῶσόν με.

Ἦχος β'.

Τὸ φῶς σου τὸ ἀΐδιον ἐξαπόστειλον, Κύριε, καὶ φώτισον τὰ ὄμματα τὰ κρυπτὰ τῆς καρδίας μου, προστασίαις τῶν Ἀσωμάτων, καὶ σῶσόν με.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ἦχος γ΄.

Ἐξαπόστειλον τὸ φῶς σου, Χριστὲ ὁ Θεός, καὶ φώτισον τὴν καρδίαν μου, προστασίαις τῶν Ἀσωμάτων, καὶ σῶσόν με.

Ἦχος δ΄.

Ὁ τὸ φῶς ἀνατέλλων τῷ κόσμῳ σου, τὴν ἐν σκότει ψυχήν μου ὑπάρχουσαν, ἀπὸ πάσης ἁμαρτίας καθάρισον, προστασίαις τῶν Ἀσωμάτων, καὶ σῶσόν με.

Ἦχος πλ. α΄.

Φωτοδότα Κύριε, ἐξαπόστειλον τὸ φῶς σου, καὶ φώτισον τὴν καρδίαν μου, προστασίαις τῶν Ἀσωμάτων, καὶ σῶσόν με.

Ἦχος πλ. β΄.

Προστασίαις Κύριε τῶν Ἀσωμάτων, κατάπεμψον ταῖς ψυχαῖς ἡμῶν, τὸ φῶς σου τὸ ἄϊδιον.

Ἦχος βαρύς.

Προστασίαις Κύριε τῶν Ἀσωμάτων, φῶς κατάπεμψον ταῖς ψυχαῖς ἡμῶν, διὰ τὸ μέγα σου ἔλεος.

Ἦχος πλ. δ΄.

Φῶς ὑπάρχων Χριστὲ, φώτισόν με ἐν σοὶ, προστασίαις τῶν Ἀσωμάτων, καὶ σῶσόν με.

---

## ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ

### ΤΗΣ ΟΛΗΣ ΕΒΔΟΜΑΔΟΣ.

Τῇ Δευτέρᾳ, Αὐτόμελον. Ἦχος γ΄.

Ὁ οὐρανὸν τοῖς ἄστροις, κατακοσμήσας ὡς Θεὸς, καὶ διὰ τῶν σῶν Ἀγγέλων, πᾶσαν τὴν γῆν φωταγωγῶν, Δημιουργὲ τῶν ἁπάντων, τοὺς ἀνυμνοῦντάς σε σῶζε.

Θεοτοκίον, ὅμοιον.

Ὁ γλυκασμὸς τῶν Ἀγγέλων, τῶν θλιβομένων ἡ χαρὰ, Χριστιανῶν ἡ προσάτις, Παρθένε Μήτηρ Κυρίου, ἀντιλαβοῦ μου καὶ ῥῦσαι, τῶν αἰωνίων βασάνων.

Τῇ Τρίτῃ. Ἦχος γ΄. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Τὸν Πρόδρομον Ἰωάννην, καὶ Βαπτιστὴν τοῦ Σωτῆρος, τὸν ἐν Προφήταις Προφήτην, καὶ τῆς ἐρήμου τὸ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Κεντρική Βιβλιοθήκη Δήμου Ιωαννίτων - Μουσείο Τυπωμένων Ιακωβατων

θρέμμα, τῆς Ἐλισάβετ τὸν γόνον, ἀνευφημήσωμεν πάντες.

Θεοτοκίον. Ὁ γλυκασμὸς τῶν Ἀγγέλων, ὡς ἄνω.

Τῇ Τετάρτῃ, καὶ Παρασκευῇ. Ἦχος β΄.

Σταυρὸς, ὁ φύλαξ πάσης τῆς οἰκουμένης· Σταυρὸς, ἡ ὡραιότης τῆς Ἐκκλησίας· Σταυρὸς, βασιλέων τὸ κραταίωμα· Σταυρὸς, πιστῶν τὸ στήριγμα· Σταυρὸς, Ἀγγέλων ἡ δόξα, καὶ τῶν δαιμόνων τὸ τραῦμα.

Σταυροθεοτοκίον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ἐν τῷ Σταυρῷ παρεστῶσα, ἡ σὲ ἀστόργως τεκοῦσα, καὶ θρηνῳδοῦσα ἐβόα: Οἴμοι γλυκύτατον τέκνον! πῶς ἔδυς ἐξ ὀφθαλμῶν μου; πῶς ἐν νεκροῖς ἐλογίσθης;

Τῇ Πέμπτῃ, Ἦχος β΄. Γυναῖκες ἀκουτίσθητε.

Εἰς πᾶσαν τὴν ὑφήλιον, δραμόντες ἐκηρύξατε, τὴν τοῦ Χριστοῦ ἐκ Παρθένου, ἁγίαν σάρκωσιν ὄντως, ἐκ πλάνης ἐπιστρέφοντες, τὰ ἔθνη καὶ φωτίζοντες, καὶ πάντας ἐκδιδάσκοντες, Τριάδα σέβειν ἁγίαν, Ἀπόστολοι τοῦ Σωτῆρος.

Ὅμοιον.

Τὸν μέγαν ἀρχιποίμενα, καὶ ἱεράρχην ἅπαντες, τὸν πρόεδρον τῶν Μυρέων, Νικόλαον εὐφημοῦμεν· πολλοὺς γὰρ ἄνδρας ἔσωσεν, ἀδίκως θνήσκειν μέλλοντας· καὶ Βασιλεῖ ὀπτάνεται, σὺν Ἀβλαβίῳ κατ' ὄναρ, λύων τὴν ἄδικον ψῆφον.

Θεοτοκίον, ὅμοιον.

Μαρία καθαρώτατον, χρυσοῦν θυμιατήριον, τῆς ἀχωρήτου Τριάδος, δοχεῖον γεγενημένη· ἐν ᾧ Πατὴρ ηὐδόκησεν, ὁ δὲ Υἱὸς ἐσκήνωσε, καὶ Πνεῦμα τὸ πανάγιον, ἐπεσκίασαν σοι Κόρη, ἀνέδειξε Θεοτόκον.

Τῷ Σαββάτῳ. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ὁ καὶ νεκρῶν καὶ ζώντων, ἐξουσιάζων ὡς Θεὸς, καὶ διὰ τῶν σῶν Ἁγίων, πᾶσαν τὴν γῆν φωταγωγῶν, Δημιουργὲ τῶν ἁπάντων, τοὺς ἀνυμνοῦντάς σε σῶζε.

Θεοτοκίον.

Ἡμεῖς ἐν σοὶ καυχώμεθα Θεοτόκε, καὶ πρὸς Θεὸν σε ἔχομεν πρεσβείαν· ἔκτεινόν σου τὴν χεῖρα τὴν

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Ιστορίας Ιονίων Νήσων

ἄμαχον, καὶ θραῦσον τοὺς ἐχθρούς ἡμῶν· σοῖς ἐξαπόστειλον δούλοις, βοήθειαν ἐξ Ἁγίου.

Καὶ εὐθὺς οἱ Αἶνοι. Εἰ μέν ἐστι Κυριακὴ, ἢ Δεσποτικὴ Ἑορτὴ ἢ Ἅγιος ἔχων μεγάλην Δοξολογίαν, ψάλλεται οὕτω τὸ Πᾶσα πνοὴ, εἰς τὸν τυχόντα Ἦχον.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ. Εἰδ' ἄλλη ἡμέρα, οὕτω.

## ΨΑΛΜΟΣ ρμή. 148.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτὸν, πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτὸν, πᾶσαι αἱ Δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτὸν, Ἥλιος καὶ Σελήνη· αἰνεῖτε αὐτὸν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς.

Αἰνεῖτε αὐτὸν, οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν· αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου.

Ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.

Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες, καὶ πᾶσαι ἄβυσσοι.

Πῦρ, χάλαζα, χιὼν, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.

Τὰ ὄρη καὶ πάντες οἱ βουνοὶ, ξύλα καρποφόρα, καὶ πᾶσαι κέδροι.

Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.

Βασιλεῖς τῆς γῆς, καὶ πάντες λαοὶ, ἄρχοντες καὶ πάντες κριταὶ γῆς.

Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων, αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.

ΔΗΜΟΣΙΕΥΣΗ ΒΙΒΛΙΟΘΗΚΗ
Απόφαση Κυντού Βιβλιοθήκη Απόκτηση Μουσείο Τυπογραφίας Ιστορίας

Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.

Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραὴλ, λαῷ ἐγγίζοντι αὐτῷ.

## ΨΑΛΜΟΣ ρμθ'. 149.

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν· ἡ αἴνεσις αὐτοῦ ἐν Ἐκκλησίᾳ ὁσίων.

Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτὸν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ Βασιλεῖ αὐτῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.

Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ, καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.

Καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.

Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς.

Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.

Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρίμα ἔγγραπτον. Δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

## ΨΑΛΜΟΣ ρν'. 150.

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς Ἁγίοις αὐτοῦ· αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Εἰ δὲ ἐσι Κυριακὴ, λέγε καὶ τοὺς ἑφεξῆς δύο Στίχους.

Στίχ. α'. Ἀνάστηθι, Κύριε, ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος.

Στίχ. β'. Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου.

Δόξα, τὸ Ἑωθινόν. Καὶ νῦν, τὸ παρὸν Θεοτοκίον.

Ὑπερευλογημένη ὑπάρχεις, Θεοτόκε Παρθένε· διὰ γὰρ τοῦ ἐκ σοῦ σαρκωθέντος ὁ Ἅδης ἠχμαλώτισται, ὁ Ἀδὰμ ἀνακέκληται, ἡ κατάρα νενέκρωται, ἡ Εὔα ἠλευθέρωται, ὁ θάνατος τεθανάτωται, καὶ ἡμεῖς ἐζωοποιήθημεν. Διὸ ἀνυμνοῦντες βοῶμεν: Εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας, δόξα σοι.

Δόξα σοι τῷ δείξαντι τὸ φῶς.

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνῶμέν σε, εὐλογῶμέν σε, προσκυνῶμέν σε, δοξολογῶμέν σε, εὐχαριστοῦμέν σοι διὰ τὴν μεγάλην σε δόξαν.

Κύριε Βασιλεῦ, ἐπουράνιε Θεὲ, Πάτερ παντοκράτορ Κύριε Υἱὲ μονογενὲς, Ἰησοῦ Χριστὲ, καὶ ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεὸς, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρὸς, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρὸς, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΔΗΜΟΣΙΕΥΣΙΣ ΒΙΒΛΙΟΘΗΚΗ

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Ἐκ τρίτου.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα: Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεὸς, Ἅγιος Ἰσχυρὸς, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἐκ τρίτου.

Δόξα, καὶ νῦν. Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Εἶτα ψάλλεται μεγαλωτέρᾳ φωνῇ.

Ἅγιος ὁ Θεὸς, Ἅγιος Ἰσχυρὸς, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Εἰ δὲ ἔστι Τεσσαρακοστὴ, ἢ ἄλλη ἡμέρα, μὴ ἔχουσα Δοξολογίαν μεγάλην, μετὰ τὸ, εἰς τοὺς Αἴνους, Δόξα, καὶ νῦν, λέγομεν οὕτω:

Σοὶ δόξα πρέπει, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δόξα σοι τῷ δείξαντι τὸ φῶς.

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε Βασιλεῦ, ἐπουράνιε Θεὲ, Πάτερ παντοκράτορ· Κύριε Υἱὲ μονογενὲς, Ἰησοῦ Χριστὲ, καὶ ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεὸς, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρὸς, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

ΔΙΜΟΣΙΕΣ ΒΙΒΛΟΘΗΚΕΣ

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρὸς, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα: Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου.

Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα· τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἱερεὺς τὸ: Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Εἶτα τὰ τῆς Ὀκτωήχου Στιχηρὰ, μετὰ τῶν Στίχων αὐτῶν.

Στίχος πρῶτος.

Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου, Κύριε, καὶ ἠγαλλιασάμεθα, καὶ εὐφράνθημεν ἐν πάσαις ταῖς

ΔΗΜΟΣΙΑΣ ΒΙΒΛΙΟΘΗΚΗΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου – Μελέτη Τυπικά Ιστορικά Κείμενα

ἡμέραις ἡμῶν. Εὐφράνθεί ἡμεν, ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν ὧν εἴδομεν κακά· καὶ ἴδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν.

Στίχος δεύτερος.

Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ' ἡμᾶς, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.

Δόξα, καὶ νῦν· τὸ Ἰδιόμελον, εἰ ἔστιν. Εἶτα τὸ:

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σε Ὕψιστε. Τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα.

Μεθ' ὅ, Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σὸ εἶ. Τὸ Ἀπολυτίκιον τῆς ἡμέρας. Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὁ Ἱερεύς: Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου, καὶ τὰ λοιπά· καὶ μετὰ τὴν Ἐκφώνησιν, Σοφία· καὶ ἡμεῖς γερεοῦμεν τοὺς Βασιλεῖς. Εἶτα τὸ, Δεῦτε προσκυνήσωμεν γ'. Μετανοίας γ'. καὶ τὴν Πρώτην Ὥραν. Εἰ δὲ ἔστι Τεσσαρακοστὴ, μετὰ τὸ Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ τὸ Τρισάγιον, λέγομεν τὸ παρὸν Ἀπολυτίκιον.

Ἐν τῷ Ναῷ ἑστῶτες τῆς δόξης σου, ἐν οὐρανῷ ἑστάναι νομίζομεν. Θεοτόκε, πύλη ἐπουράνιε, ἄνοιξον ἡμῖν τὴν θύραν τοῦ ἐλέους σου.

Εἶτα τὸ, Κύριε ἐλέησον μ'. Τὴν τιμιωτέραν τῶν Χερουβίμ. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, Πάτερ.

Ὁ Ἱερεύς: Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν, καὶ ἀεί. Καὶ ἡμεῖς λέγομεν τὸ:

Ἐπουράνιε Βασιλεῦ, τοὺς πιστοὺς Βασιλεῖς ἡμῶν στερέωσον· τὴν Πίστιν στήριξον· τὰ ἔθνη πράϋνον· τὸν κόσμον εἰρήνευσον· τὴν ἁγίαν Μονὴν ταύτην καλῶς διαφύλαξον· τοὺς προαπελθόντας πατέρας, καὶ ἀδελφοὺς ἡμῶν ἐν σκηναῖς Δικαίων τάξον· καὶ ἡμᾶς ἐν μετανοίᾳ καὶ ἐξομολογήσει παράλαβε, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Εἶθ' οὕτω, Μετανοίας μεγάλας γ'. λέγοντες καθ' ἑαυ-

ΨΗΦΙΟΠΟΙΗΣΕΙΣ ΒΙΒΛΙΟΘΗΚΗΣ
Ιερατικόν Κέντρον Βιβλιοθήκη Αγιορειτών
Το Τυπάλδων Ιακωβάτων

τοὺς καὶ τὴν προγραφεῖσαν Εὐχὴν τοῦ ἁγίου Ἐφραὶμ: Κύριε, καὶ Δέσποτα τῆς ζωῆς μου. Ὅρα σελ. 18. Μετὰ δὲ ταύτας, ἑτέρας μικρὰς ιβ'. καὶ πάλιν μετάνοιαν μεγάλην μίαν, ὡς δεδήλωται ἐκεῖ. Ἀναστάντες δὲ ἀρχόμεθα: Δεῦτε προσκυνήσωμεν γ'. Μετανοίας, γ'. καὶ ψάλλομεν τὴν Πρώτην Ὥραν. Εἰ δέ ἐστι Κυριακὴ, μετὰ τὸ τέλος τῆς Δοξολογίας, καὶ τοῦ Τρισαγίου, λέγομεν Τροπάρια Ἀναστάσιμα, εἰς μὲν τὸν ά, β'. γ'. καὶ δ'. Ἦχον, τὸ παρὸν

Τροπάριον, Ἦχος δ'.

Σήμερον σωτηρία τῷ κόσμῳ γέγονεν. Ἄσωμεν τῷ ἀναστάντι ἐκ τάφου, καὶ ἀρχηγῷ τῆς ζωῆς ἡμῶν· καθελὼν γὰρ τῷ θανάτῳ τὸν θάνατον, τὸ νῖκος ἔδωκεν ἡμῖν, καὶ τὸ μέγα ἔλεος.

Εἰς δὲ τὸν πλ. ά, πλ. β', βαρύν, ᾗ πλ. δ'. Ἦχον, λέγομεν

Τροπάριον, Ἦχος πλ. δ'.

Ἀναστὰς ἐκ τοῦ μνήματος, καὶ τὰ δεσμὰ διαρρήξας τοῦ Ἅδου, ἔλυσας τὸ κατάκριμα τοῦ θανάτου Κύριε, πάντας ἐκ τῶν παγίδων τοῦ ἐχθροῦ ῥυσάμενος· ἐμφανίσας σεαυτὸν τοῖς Ἀποστόλοις σου, ἐξαπέστειλας αὐτοὺς ἐπὶ τὸ κήρυγμα, καὶ δι' αὐτῶν τὴν εἰρήνην παρέσχες τῇ οἰκουμένῃ, μόνε πολυέλεε.

Ἐκτενὴς ὑπὸ τοῦ Ἱερέως· μεθ' ἣν ἡ Πρώτη Ὥρα, καὶ ἀπόλυσις.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΑΙ ΩΡΑΙ.

## ΩΡΑ ΠΡΩΤΗ. (*)

Δεῦτε προσκυνήσωμεν, ἐκ γ'. μετανοίας γ'. καὶ τοὺς Ψαλμούς.

## ΨΑΛΜΟΣ ε'. 5.

Τὰ ῥήματά μου ἐνώτισαι, Κύριε· σύνες τῆς κραυγῆς μου.

Πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ὁ Βασιλεύς μου, καὶ ὁ Θεός μου.

Ὅτι πρὸς σὲ προσεύξομαι, Κύριε· τὸ πρωῒ εἰσακούσῃ τῆς φωνῆς μου.

Τὸ πρωῒ παραστήσομαί σοι, καὶ ἐπόψει με· ὅτι οὐχὶ Θεὸς θέλων ἀνομίαν σὺ εἶ.

Οὐ παροικήσει σοι πονηρευόμενος, οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου.

Ἐμίσησας πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν· ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος.

Ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται Κύριος.

Ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου, εἰσελεύσομαι εἰς τὸν οἶκόν σου, προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου.

Κύριε, ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου· ἕνεκα τῶν ἐχθρῶν μου, κατεύθυνον ἐνώπιόν σου τὴν ὁδόν μου.

Ὅτι οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια, ἡ καρδία αὐτῶν ματαία.

Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν· κρῖνον αὐτούς, ὁ Θεός.

Ἀποπεσάτωσαν ἀπὸ τῶν διαβουλιῶν αὐτῶν· κατὰ

(*) Ἡ Ὥρα αὕτη, ὡς εἴρηται ἀνωτέρω, συνημμένως τῷ Ὀρθρῳ ψαλλομένη, ἄρχεται εὐθὺς ἀπὸ τοῦ: Δεῦτε προσκυνήσωμεν.

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπογραφίας Ιονίου Κράτους

τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν ἔξωσον αὐτούς, ὅτι παρεπίκρανάν σε, Κύριε.

Καὶ εὐφρανθείησαν πάντες οἱ ἐλπίζοντες ἐπὶ σέ· εἰς αἰῶνα ἀγαλλιάσονται, καὶ κατασκηνώσεις ἐν αὐτοῖς.

Καὶ καυχήσονται ἐν σοὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σου, ὅτι σὺ εὐλογήσεις δίκαιον.

Κύριε, ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς.

## ΨΑΛΜΟΣ πθ'. 89.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Πρὸ τοῦ ὄρη γενηθῆναι, καὶ πλασθῆναι τὴν γῆν καὶ τὴν οἰκουμένην, καὶ ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ.

Μὴ ἀποστρέψῃς ἄνθρωπον εἰς ταπείνωσιν, καὶ εἶπας: Ἐπιστρέψατε υἱοὶ τῶν ἀνθρώπων.

Ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου, Κύριε, ὡς ἡμέρα ἡ ἐχθές, ἥτις διῆλθε, καὶ φυλακὴ ἐν νυκτί.

Τὰ ἐξουδενώματα αὐτῶν ἔτη ἔσονται, τὸ πρωὶ ὡσεὶ χλόη παρέλθοι.

Τὸ πρωὶ ἀνθήσαι καὶ παρέλθοι, τὸ ἑσπέρας ἀποπέσοι, σκληρυνθείη καὶ ξηρανθείη.

Ὅτι ἐξελίπομεν ἐν τῇ ὀργῇ σου, καὶ ἐν τῷ θυμῷ σου ἐταράχθημεν.

Ἔθου τὰς ἀνομίας ἡμῶν ἐναντίον σου· ὁ αἰὼν ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου σου.

Ὅτι πᾶσαι αἱ ἡμέραι ἡμῶν ἐξέλιπον, καὶ ἐν τῇ ὀργῇ σου ἐξελίπομεν.

Τὰ ἔτη ἡμῶν ὡσεὶ ἀράχνη ἐμελέτων· αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη.

Ἐὰν δὲ ἐν δυναστείαις, ὀγδοήκοντα ἔτη, καὶ τὸ πλεῖον αὐτῶν κόπος καὶ πόνος.

Ὅτι ἐπῆλθε πραότης ἐφ' ἡμᾶς, καὶ παιδευθησόμεθα.

Τίς γινώσκει τὸ κράτος τῆς ὀργῆς σου; καὶ ἀπὸ τοῦ φόβου σου τὸν θυμόν σου ἐξαριθμήσασθαι;

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

Τὴν δεξιάν σου οὕτω γνώρισόν μοι, καὶ τοὺς πεπαιδευμένους τῇ καρδίᾳ ἐν σοφίᾳ.

Ἐπίστρεψον, Κύριε, ἕως πότε; καὶ παρακλήθητι ἐπὶ τοῖς δούλοις σου.

Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου, Κύριε, καὶ ἠγαλλιασάμεθα, καὶ εὐφράνθημεν ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν.

Εὐφρανθείημεν, ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν, ὧν εἴδομεν κακά.

Καὶ ἴδε ἐπὶ τοὺς δούλους σου, καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν.

Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ' ἡμᾶς, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.

## ΨΑΛΜΟΣ ρ'. 100.

Ἔλεος, καὶ κρίσιν ᾄσομαί σοι, Κύριε· ψαλῶ, καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ· πότε ἥξεις πρός με;

Διεπορευόμην ἐν ἀκακίᾳ καρδίας μου, ἐν μέσῳ τοῦ οἴκου μου.

Οὐ προεθέμην πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον, ποιοῦντας παραβάσεις ἐμίσησα.

Οὐκ ἐκολλήθη μοι καρδία σκαμβή· ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ, οὐκ ἐγίνωσκον.

Τὸν καταλαλοῦντα λάθρα τὸν πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον.

Ὑπερηφάνῳ ὀφθαλμῷ, καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνήσθιον.

Οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς, τοῦ συγκαθῆσθαι αὐτοὺς μετ' ἐμοῦ· πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει.

Οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μου ποιῶν ὑπερηφανίαν· λαλῶν ἄδικα οὐ κατεύθυνεν ἐνώπιον τῶν ὀφθαλμῶν μου.

Εἰς τὰς πρωΐας ἀπέκτεινον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, τοῦ ἐξολοθρεῦσαι ἐκ πόλεως Κυρίου πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Δήμου Πειραιώς - Μουσείο Τυπογραφίων Ιακώβατων

Δόξα, καὶ νῦν. Ἀλληλούϊα γ'. Κύριε ἐλέησον γ'. Καὶ εἰ μὲν, Θεὸς Κύριος, ἔψαλτο, λέγομεν: Δόξα, τὸ Ἀπολυτίκιον τῆς ἡμέρας. Καὶ νῦν, Τί σε καλέσωμεν, ὦ Κεχαριτωμένη;

Εἰ δὲ, Ἀλληλούϊα, τὸ παρὸν, εἰς ἦχον πλ. β'.

Τὸ πρωῒ εἰσάκουσον τῆς φωνῆς μου, ὁ Βασιλεύς μου, καὶ ὁ Θεός μου.

Στίχος ά. Τὰ ῥήματά μου ἐνώτισαι, Κύριε.

Στίχος β'. Ὅτι πρὸς σὲ προσεύξομαι, Κύριε.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Τί σε καλέσωμεν, ὦ Κεχαριτωμένη; Οὐρανόν· ὅτι ἀνέτειλας τὸν Ἥλιον τῆς δικαιοσύνης. Παράδεισον· ὅτι ἐβλάστησας τὸ ἄνθος τῆς ἀφθαρσίας. Παρθένον· ὅτι ἔμεινας ἄφθορος. Ἀγνὴν Μητέρα· ὅτι ἔσχες σαῖς ἁγίαις ἀγκάλαις Υἱὸν, τὸν πάντων Θεόν. Αὐτὸν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ εὐθύς:

Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία.

Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου.

Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου, καὶ δίδαξόν με τὰ δικαιώματά σου.

Πληρωθήτω τὸ στόμα μου αἰνέσεώς σου, Κύριε, ὅπως ὑμνήσω τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου.

Ὁ ὕστερος Στίχος οὗτος λέγεται ἐκ γ'. Εἶτα, Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστι. Καὶ εἰ οὐκ ἔστιν Ἀλληλούϊα, λέγε τὸ τοῦ Ἁγίου Κοντάκιον, εἰ ἔχει, ἢ τῆς τυχούσης Ἑορτῆς. Εἰδὲ μὴ, τῇ μὲν Δευτέρᾳ, τῇ Τρίτῃ, καὶ τῇ Πέμπτῃ, λέγε τὸ παρὸν, ὅπερ λέγεται, καὶ Ἀλληλούϊα, ψαλλομένου.

Θεοτοκίον.

Τὴν ὑπερένδοξον τοῦ Θεοῦ Μητέρα, καὶ τῶν ἁγίων Ἀγγέλων ἁγιωτέραν, ἀσιγήτως ὑμνήσωμεν καρδίᾳ

ΔΗΜΟΣΙΕΥΣΗ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λήξουρίου - Μουσείο Κεφαλλονίτικου Πολιτισμού

καὶ ϛόματι, Θεοτόκον αὐτὴν ὁμολογοῦντες, ὡς κυρίως γεννήσασαν Θεὸν σεσαρκωμένον, καὶ πρεσβεύουσαν ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Τῇ δὲ Τετάρτῃ, καὶ τῇ Παρασκευῇ, λέγε τοῦτο:

Ταχὺ προκατάλαβε, πρὶν δουλωθῆναι ἡμᾶς, ἐχθροῖς βλασφημοῦσί σε, καὶ ἀπειλοῦσιν ἡμῖν, Χριστὲ ὁ Θεὸς ἡμῶν· ἄνελε τῷ Σταυρῷ σου τοὺς ἡμᾶς πολεμοῦντας· γνώτωσαν πῶς ἰσχύει ὀρθοδόξων ἡ πίστις· πρεσβείαις τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.

Τῷ δὲ Σαββάτῳ, λέγε τοῦτο:

Ὡς ἀπαρχὰς τῆς φύσεως, τῷ φυτουργῷ τῆς κτίσεως, ἡ οἰκουμένη προσφέρει σοι, Κύριε, τοὺς Θεοφόρους Μάρτυρας. Ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ βαθείᾳ τὴν Ἐκκλησίαν σου, διὰ τῆς Θεοτόκου συντήρησον πολυέλεε.

Τῇ δὲ Κυριακῇ λέγομεν τὴν Ὑπακοὴν τοῦ τυχόντος Ἤχου. Εἶτα τὸ, Κύριε ἐλέησον μ'. Ὁ ἐν παντὶ καιρῷ· Κύριε ἐλέησον γ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, Πάτερ. Ὁ Ἱερεὺς ἐκφωνεῖ: Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς.

Εἰ δέ ἐστι Τεσσαρακοστὴ, ποιοῦμεν τὰς γ'. μεγάλας μετανοίας, λέγοντες καὶ τὴν προγραφεῖσαν Εὐχήν: Κύριε, καὶ Δέσποτα τῆς ζωῆς μου· ὁμοίως καὶ τὰς ἑτέρας μικρὰς ιβ'. εἶτα καὶ τὴν τελευταίαν. γινομένων ὁμοῦ ις'. Μετὰ ταῦτα: Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστι. Κύριε ἐλέησον ιβ'. καὶ τὴν ἑπομένην Εὐχήν:

Χριστὲ, τὸ φῶς τὸ ἀληθινὸν, τὸ φωτίζον καὶ ἁγιάζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, σημειωθήτω ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, ἵνα ἐν αὐτῷ ὀψόμεθα φῶς τὸ ἀπρόσιτον· καὶ κατεύθυνον τὰ διαβήματα ἡμῶν πρὸς ἐργασίαν τῶν ἐντολῶν σου· πρεσβείαις τῆς παναχράντου σου Μητρὸς, καὶ πάντων σα τῶν Ἁγίων. Ἀμήν.

Δόξα, καὶ νῦν, καὶ γίνεται ἀπόλυσις.

Δημόσια Κεντρική Βιβλιοθήκη Λιξουρίου - Μουσείο Τυπαλδών Ιακωβάτων

## ΜΕΣΩΡΙΟΝ ΤΗΣ ΠΡΩΤΗΣ ΩΡΑΣ. (*)

Δεῦτε προσκυνήσωμεν γ'. Μετανοίας γ'. καὶ τοὺς Ψαλμούς.

### ΨΑΛΜΟΣ μέ. 45.

Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις, βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα.

Διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν, καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλάσσων.

Ἤχησαν καὶ ἐταράχθησαν τὰ ὕδατα αὐτῶν, ἐταράχθησαν τὰ ὄρη ἐν τῇ κραταιότητι αὐτοῦ.

Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ· ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος.

Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς, καὶ οὐ σαλευθήσεται· βοηθήσει αὐτῇ ὁ Θεὸς τὸ πρόσπρωΐ πρωΐ.

Ἐταράχθησαν ἔθνη, ἔκλιναν βασιλεῖαι, ἔδωκε φωνὴν αὐτοῦ ὁ Ὕψιστος, ἐσαλεύθη ἡ γῆ.

Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ.

Δεῦτε, καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ, ἃ ἔθετο τέρατα ἐπὶ τῆς γῆς ἀναναιρῶν πολέμους μέχρι τῶν περάτων τῆς γῆς.

Τόξον συντρίψει, καὶ συνθλάσει ὅπλον, καὶ θυρεοὺς κατακαύσει ἐν πυρί.

Σχολάσατε καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεός· ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ.

Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ.

### ΨΑΛΜΟΣ μά. 91.

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε.

(*) Τὰ Μεσώρια ταῦτα λέγονται ἐν μόνῃ τῇ τῶν Χριστουγέννων, καὶ τῶν ἁγίων Ἀποστόλων Νηστείᾳ, ἐν ᾗ, κατὰ τὸ ἔθος τῶν ἱερῶν Μοναστηρίων, δὶς, ἢ τρὶς τῆς Ἑβδομάδος ψάλλεται· Ἀλληλουΐα.

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

Τοῦ ἀναγγέλλειν τὸ πρωΐ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα, ἐν δεκαχόρδῳ ψαλτηρίῳ, μετ' ᾠδῆς ἐν κιθάρᾳ.

Ὅτι εὔφρανάς με, Κύριε, ἐν τῷ ποιήματί σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιάσομαι.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, σφόδρα ἐβαθύνθησαν οἱ διαλογισμοί σου.

Ἀνὴρ ἄφρων οὐ γνώσεται, καὶ ἀσύνετος οὐ συνήσει ταῦτα.

Ἐν τῷ ἀνατεῖλαι ἁμαρτωλοὺς ὡσεὶ χόρτον, καὶ διέκυψαν πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.

Ὅπως ἂν ἐξολοθρευθῶσιν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· σὺ δὲ Ὕψιστος εἰς τὸν αἰῶνα, Κύριε.

Ὅτι ἰδοὺ οἱ ἐχθροί σου, Κύριε, ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἀπολοῦνται, καὶ διασκορπισθήσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.

Καὶ ὑψωθήσεται ὡς μονοκέρωτος τὸ κέρας μου, καὶ τὸ γῆράς μου ἐν ἐλαίῳ πίονι.

Καὶ ἐπεῖδεν ὁ ὀφθαλμός μου ἐν τοῖς ἐχθροῖς μου, καὶ ἐν τοῖς ἐπανισταμένοις ἐπ' ἐμὲ πονηρευομένοις ἀκούσεται τὸ οὖς μου.

Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ λιβάνῳ πληθυνθήσεται.

Πεφυτευμένοι ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσιν.

Ἔτι πληθυνθήσονται ἐν γήρει πίονι, καὶ εὐπαθοῦντες ἔσονται τοῦ ἀναγγεῖλαι.

Ὅτι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ.

## ΨΑΛΜΟΣ ϙβ'. 92.

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο Κύριος δύναμιν, καὶ περιεζώσατο.

Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Δήσουρίου - Μουσείο Τυπαλλόων Ιδιωμάτων

Ἕτοιμος ὁ θρόνος σὸς ἀπὸ τότε, ἀπὸ τοῦ αἰῶνος σὺ εἶ.

Ἐπῆραν οἱ ποταμοί, Κύριε, ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν.

Ἀροῦσιν οἱ ποταμοὶ ἐπιτρίψεις αὐτῶν, ἀπὸ φωνῶν ὑδάτων πολλῶν.

Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης· θαυμαστὸς ἐν ὑψηλοῖς ὁ Κύριος.

Τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα· τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν.

Δόξα, καὶ νῦν. Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστι. Καὶ τὰ Τροπάρια ταῦτα:

Ἦχος πλ. β'.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς· πάσης γὰρ ἀπολογίας ἀπορούντες, ταύτην σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν. Ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν· μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν· ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος, καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαός σου· πάντες ἔργα χειρῶν σου, καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

Καὶ νῦν, Θεοτοκίον.

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε· ἐλπίζοντες εἰς σέ, μὴ ἀστοχήσωμεν· ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων· σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Τό, Κύριε ἐλέησον μ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, Πάτερ. Ὁ Ἱερεύς: Δι' εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν.

Καὶ ποιοῦμεν μετανοίας μεγάλας γ'. μετὰ καὶ τῆς Εὐχῆς, ὡς δεδήλωται· εἶτα λέγομεν τὴν παροῦσαν

Εὐχὴν τοῦ Μεγάλου Βασιλείου.

Ὁ Θεὸς ὁ αἰώνιος, τὸ ἄναρχον καὶ ἀΐδιον φῶς, ὁ πάσης κτίσεως Δημιουργός, ἡ τοῦ ἐλέους πηγή,

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Κυρίου - Μουσείο Μπενάκη

τὸ τῆς ἀγαθότητος πέλαγος, καὶ τῆς φιλανθρωπίας ἀνεξιχνίαστος ἄβυσσος, ἐπίφανον ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε. Λάμψον ἐν ταῖς καρδίαις ἡμῶν, νοητὲ Ἥλιε τῆς δικαιοσύνης, καὶ τῆς σῆς εὐφροσύνης τὰς ψυχὰς ἡμῶν πλήρωσον, καὶ δίδαξον ἡμᾶς τὰ σὰ μελετᾶν ἀεὶ καὶ φθέγγεσθαι κρίματα, καὶ ἐξομολογεῖσθαί σοι διηνεκῶς τῷ ἡμετέρῳ Δεσπότῃ καὶ εὐεργέτῃ. Τὰ τῶν χειρῶν ἡμῶν ἔργα πρὸς τὸ σὸν κατεύθυνον θέλημα, καὶ πράττειν ἡμᾶς τὰ σοὶ εὐάρεστα καὶ φίλα εὐόδωσον· ἵνα καὶ διὰ τῶν ἀναξίων ἡμῶν δοξάζηταί σου τὸ πανάγιον ὄνομα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, τῆς μιᾶς Θεότητός τε καὶ Βασιλείας· ἣ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας. Ἀμήν.

**Εἶτα ἐπισυνάπτομεν καὶ τὴν Εὐχὴν ταύτην τοῦ αὐτοῦ:**

Ὁ ἐξαποστέλλων τὸ φῶς καὶ πορεύεται, ὁ ἀνατέλλων τὸν Ἥλιον ἐπὶ δικαίους καὶ ἀδίκους, πονηρούς τε καὶ ἀγαθοὺς, ὁ ποιῶν ὄρθρον, καὶ φωτίζων πᾶσαν τὴν οἰκουμένην, φώτισον καὶ ἡμῶν τὰς καρδίας, Δέσποτα τῶν ἁπάντων. Χάρισαι ἡμῖν ἐν τῇ παρούσῃ ἡμέρᾳ εὐαρεστεῖν σοι, διαφυλάττων ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας, καὶ πάσης πονηρᾶς πράξεως, ῥυόμενος ἡμᾶς ἀπὸ παντὸς βέλους πετομένου ἡμέρας, καὶ πάσης ἀντικειμένης δυνάμεως· πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου, τῶν ἀύλων σου λειτουργῶν καὶ ἐπουρανίων Δυνάμεων, καὶ πάντων τῶν Ἁγίων, τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων. Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Δόξα, καὶ νῦν· καὶ γίνεται τελεία ἀπόλυσις.**

Δημόσια Κεντρική Βιβλιοθήκη Λήξουρίου - Μουσείο Τυπάδων Ιακωβάτων

## ΩΡΑ ΤΡΙΤΗ.

Βασιλεῦ Οὐράνιε. Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστι. Τὸ: Κύριε ἐλέησον, ιβ'. Δόξα, καὶ νῦν. Δεῦτε προσκυνήσωμεν, ἐκ γ'. Μετανοίας γ'. Εἶτα τοὺς Ψαλμούς.

### ΨΑΛΜΟΣ ις'. 16.

Εἰσάκουσον, Κύριε, δικαιοσύνης μου, πρόσχες τῇ δεήσει μου.

Ἐνώτισαι τὴν προσευχήν μου, οὐκ ἐν χείλεσι δολίοις.

Ἐκ προσώπου σου τὸ κρίμα μου ἐξέλθοι, οἱ ὀφθαλμοί μου ἰδέτωσαν εὐθύτητας.

Ἐδοκίμασας τὴν καρδίαν μου, ἐπεσκέψω νυκτός· ἐπύρωσάς με, καὶ οὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία.

Ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων, διὰ τοὺς λόγους τῶν χειλέων σου ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς.

Κατάρτισαι τὰ διαβήματά μου ἐν ταῖς τρίβοις σου, ἵνα μὴ σαλευθῶσι τὰ διαβήματά μου.

Ἐγὼ ἐκέκραξα, ὅτι ἐπήκουσάς μου, ὁ Θεός· κλῖνον τὸ οὖς σου ἐμοί, καὶ εἰσάκουσον τῶν ῥημάτων μου.

Θαυμάσωσον τοὺς ἐλέησε, ὁ σώζων τοὺς ἐλπίζοντας ἐπὶ σέ.

Ἐκ τῶν ἀνθεστηκότων τῇ δεξιᾷ σου, φύλαξόν με, Κύριε, ὡς κόρην ὀφθαλμοῦ.

Ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με, ἀπὸ προσώπου ἀσεβῶν τῶν ταλαιπωρησάντων με.

Οἱ ἐχθροί μου τὴν ψυχήν μου περιέσχον· τὸ στέαρ αὐτῶν συνέκλεισαν, τὸ στόμα αὐτῶν ἐλάλησεν ὑπερηφανίαν.

Ἐκβαλόντες με νυνὶ περιεκύλωσάν με, τοὺς ὀφθαλμοὺς αὐτῶν ἔθεντο ἐκκλῖναι ἐν τῇ γῇ.

Ὑπέλαβόν με ὡσεὶ λέων ἕτοιμος εἰς θήραν, καὶ ὡσεὶ σκύμνος οἰκῶν ἐν ἀποκρύφοις.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

Ἀνάστηθι, Κύριε, πρόφθασον αὐτοὺς, καὶ ὑποσκέλισον αὐτούς· ῥῦσαι τὴν ψυχήν μου ἀπὸ ἀσεβοῦς, ῥομφαίαν σου ἀπὸ ἐχθρῶν τῆς χειρός σου.

Κύριε, ἀπὸ ὀλίγων ἀπὸ γῆς διαμέρισον αὐτοὺς ἐν τῇ ζωῇ αὐτῶν, καὶ τῶν κεκρυμμένων σου ἐπλήσθη ἡ γαστὴρ αὐτῶν.

Ἐχορτάσθησαν υἱῶν, καὶ ἀφῆκαν τὰ κατάλοιπα τοῖς νηπίοις αὐτῶν.

Ἐγὼ δὲ ἐν δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ σου, χορτασθήσομαι ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν σου.

## ΨΑΛΜΟΣ κδ'. 24.

Πρὸς σὲ, Κύριε, ἦρα τὴν ψυχήν μου· ὁ Θεός μου, ἐπὶ σοὶ πέποιθα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα.

Μὴ δὲ καταγελασάτωσάν με οἱ ἐχθροί μου· καὶ γὰρ πάντες οἱ ὑπομένοντές σε οὐ μὴ καταισχυνθῶσιν· αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες διακενῆς.

Τὰς ὁδούς σου, Κύριε, γνώρισόν μοι, καὶ τὰς τρίβους σου δίδαξόν με.

Ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου, καὶ δίδαξόν με, ὅτι σὺ εἶ ὁ Θεὸς ὁ σωτήρ μου, καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν.

Μνήσθητι τῶν οἰκτιρμῶν σου, Κύριε, καὶ τὰ ἐλέη σου, ὅτι ἀπὸ τοῦ αἰῶνος εἰσίν.

Ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου μὴ μνησθῇς.

Κατὰ τὸ ἔλεός σου μνήσθητί μου σὺ, ἕνεκεν τῆς χρηστότητός σου, Κύριε.

Χρηστὸς καὶ εὐθὺς ὁ Κύριος· διὰ τοῦτο νομοθετήσει ἁμαρτάνοντας ἐν ὁδῷ.

Ὁδηγήσει πραεῖς ἐν κρίσει, διδάξει πραεῖς ὁδοὺς αὐτοῦ.

Πᾶσαι αἱ ὁδοὶ Κυρίου ἔλεος καὶ ἀλήθεια, τοῖς ἐκζητοῦσι τὴν διαθήκην αὐτοῦ, καὶ τὰ μαρτύρια αὐτοῦ.

Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, καὶ ἱλάσθητι τῇ ἁμαρτίᾳ μου, πολλὴ γάρ ἐστι.

Τίς ἐστιν ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον; νομοθετήσει αὐτῷ ἐν ὁδῷ, ᾗ ᾑρετίσατο.

Ψηφιακή Κεντρική Βιβλιοθήκη Λεξουρίου
Μουσείο Κυπριακών Ιακωβαίων

Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται, καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει γῆν.

Κραταίωμα Κύριος τῶν φοβουμένων αὐτὸν, καὶ ἡ διαθήκη αὐτοῦ δηλώσει αὐτοῖς.

Οἱ ὀφθαλμοί μου διαπαντὸς πρὸς τὸν Κύριον, ὅτι αὐτὸς ἐκσπάσει ἐκ παγίδος τοὺς πόδας μου.

Ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με, ὅτι μονογενὴς καὶ πτωχός εἰμι ἐγώ.

Αἱ θλίψεις τῆς καρδίας μου ἐπληθύνθησαν· ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με.

Ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου.

Ἴδε τοὺς ἐχθρούς μου, ὅτι ἐπληθύνθησαν, καὶ μῖσος ἄδικον ἐμίσησάν με.

Φύλαξον τὴν ψυχήν μου, καὶ ῥῦσαί με· μὴ καταισχυνθείην, ὅτι ἤλπισα ἐπὶ σέ.

Ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι, ὅτι ὑπέμεινάσε, Κύριε.

Λύτρωσαι, ὁ Θεὸς, τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ.

Καὶ τὸ· Ἐλέησόν με ὁ Θεός. Ὅρα σελ. 4.

Εἶτα: Δόξα, καὶ νῦν. Ἀλληλούϊα γ'. Κύριε ἐλέησον γ'. Καὶ εἰ μὲν ψάλλεται: Θεὸς Κύριος, λέγε τὸ τῆς ἡμέρας Ἀπολυτίκιον. Καὶ νῦν, Θεοτόκε, σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή. Εἰ δὲ: Ἀλληλούϊα, λέγε τὸ παρὸν

Ἦχος πλ. β'.

Κύριε, ὁ τὸ πανάγιόν σου Πνεῦμα ἐν τῇ τρίτῃ ὥρᾳ τοῖς Ἀποστόλοις σε καταπέμψας, τοῦτο ἀγαθὲ μὴ ἀντανέλῃς ἀφ' ἡμῶν, ἀλλ' ἐγκαίνισον ἡμῖν τοῖς δεομένοις σε.

Στίχ. α'. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεὸς, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Στίχ. β'. Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Δόξα καὶ νῦν, Θεοτοκίον.

Θεοτόκε, σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινὴ, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς. Σὲ ἱκετεύομεν, πρέσβευε

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Βιβλιοθήκη Ληξουρίου

Δέσποινα, μετὰ τῶν Ἀποστόλων, καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν. Καὶ εὐθύς:

Κύριος ὁ Θεὸς εὐλογητὸς, εὐλογητὸς Κύριος ἡμέραν καθ' ἡμέραν· κατευοδώσαι ἡμῖν ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν· ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ σώζειν.

Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστι. Καὶ τὰ Τροπάρια ταῦτα, εἰ οὐκ ἔστιν Ἑορτή.

Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς Ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ δι' αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας. Φιλάνθρωπε, δόξα σοι.

Δόξα.

Ταχεῖαν καὶ σταθηρὰν δίδου παραμυθίαν τοῖς δούλοις σου, Ἰησοῦ, ἐν τῷ ἀκηδιάσαι τὰ πνεύματα ἡμῶν. Μὴ χωρίζου τῶν ψυχῶν ἡμῶν ἐν θλίψεσι, μὴ μακρύνου τῶν φρενῶν ἡμῶν ἐν περιστάσεσιν, ἀλλ' ἀεὶ ἡμᾶς πρόφθασον. Ἔγγισον ἡμῖν, ἔγγισον ὁ παντοχοῦ· ὥσπερ καὶ τοῖς Ἀποστόλοις σου πάντοτε συνῆς, οὕτω καὶ τοῖς σὲ ποθοῦσιν ἕνωσον σαυτὸν οἰκτίρμον· ἵνα συνημμένοι σοι ὑμνῶμεν, καὶ δοξολογῶμεν τὸ πανάγιόν σου Πνεῦμα.

Καὶ νῦν, Θεοτοκίον.

Ἡ ἐλπὶς, καὶ προστασία, καὶ καταφυγὴ τῶν Χριστιανῶν, τὸ ἀκαταμάχητον τεῖχος, τῶν καταπονουμένων ὁ λιμὴν ὁ ἀχείμαστος, σὺ εἶ Θεοτόκε ἄχραντε· ἀλλ' ὡς τὸν κόσμον σώζουσα τῇ ἀπαύστῳ πρεσβείᾳ σου, μνήσθητι καὶ ἡμῶν, Παρθένε πανύμνητε.

Τε Κύριε ἐλέησον μ'. Ὁ ἐν παντὶ καιρῷ. Κύριε ἐλέησον γ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, Πάτερ.

Εἰ ἔστι Τεσσαρακοστὴ, ποιοῦμεν τὰς μετανοίας, ὡς προεγράφη. Μετὰ δὲ τὴν τελευταίαν μετάνοιαν, λέγομεν τὴν Εὐχὴν τοῦ ἁγίου Μαρδαρίου: Δέσποτα Θεὲ, Πάτερ παντοκράτορ, ητις προεγράφη, σελ. 18.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημοσία Κεντρική Βιβλιοθήκη Μεσολογγίου - Ιδρυμα Τριανταφυλλάκου

## ΜΕΣΩΡΙΟΝ ΤΗΣ ΤΡΙΤΗΣ ΩΡΑΣ.

Δεῦτε προσκυνήσωμεν γ'. Μετανοίας γ'. καὶ τοὺς Ψαλμούς.

### ΨΑΛΜΟΣ κθ'. 29.

Ὑψώσω σε, Κύριε, ὅτι ὑπέλαβές με, καὶ οὐκ εὐφρανας τοὺς ἐχθρούς μου ἐπ' ἐμέ.

Κύριε ὁ Θεός μου, ἐκέκραξα πρὸς σε, καὶ ἰάσω με.

Κύριε, ἀνήγαγες ἐξ Ἅιδου τὴν ψυχήν μου, ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον.

Ψάλατε τῷ Κυρίῳ οἱ ὅσιοι αὐτοῦ, καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ.

Ὅτι ὀργὴ ἐν τῷ θυμῷ αὐτοῦ, καὶ ζωὴ ἐν τῷ θελήματι αὐτοῦ.

Τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμός, καὶ εἰς τὸ πρωῒ ἀγαλλίασις.

Ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ μου: Οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα.

Κύριε, ἐν τῷ θελήματί σου παρέσχου τῷ κάλλει μου δύναμιν.

Ἀπέστρεψας δὲ τὸ πρόσωπόν σου, καὶ ἐγενήθην ταραγμένος.

Πρὸς σὲ, Κύριε, κεκράξομαι, καὶ πρὸς τὸν Θεόν μου δεηθήσομαι.

Τίς ὠφέλεια ἐν τῷ αἵματί μου, ἐν τῷ καταβαίνειν με εἰς διαφθοράν;

Μὴ ἐξομολογήσεταί σοι χοῦς; ἢ ἀναγγελεῖ τὴν ἀλήθειάν σου;

Ἤκουσε Κύριος, καὶ ἠλέησέ με· Κύριος ἐγενήθη βοηθός μου.

Ἔστρεψας τὸν κοπετόν μου εἰς χαρὰν ἐμοί· διέρρηξας τὸν σάκκον μου, καὶ περιέζωσάς με εὐφροσύνην.

Ὅπως ἂν ψάλῃσοι ἡ δόξα μου, καὶ οὐ μὴ κατανυγῶ.

Κύριε ὁ Θεός μου, εἰς τὸν αἰῶνα ἐξομολογήσομαί σοι.

## ΨΑΛΜΟΣ λά. 31.

Μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι.

Μακάριος ἀνὴρ, ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν, οὐδέ ἐστιν ἐν τῷ στόματι αὐτοῦ δόλος.

Ὅτι ἐσίγησα, ἐπαλαιώθη τὰ ὀστᾶ μου, ἀπὸ τοῦ κράζειν με ὅλην τὴν ἡμέραν.

Ὅτι ἡμέρας καὶ νυκτὸς ἐβαρύνθη ἐπ' ἐμὲ ἡ χείρ σου· ἐσράφην εἰς παλαιπωρίαν, ἐν τῷ ἐμπαγῆναί μοι ἄκανθαν.

Τὴν ἀνομίαν μου ἐγνώρισα, καὶ τὴν ἁμαρτίαν μου οὐκ ἐκάλυψα.

Εἶπα: Ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου.

Ὑπὲρ ταύτης προσεύξεται πρὸς σὲ πᾶς ὅσιος, ἐν καιρῷ εὐθέτῳ.

Πλὴν ἐν κατακλυσμῷ ὑδάτων πολλῶν, πρὸς αὐτὸν οὐκ ἐγγιοῦσι.

Σύ μου εἶ καταφυγὴ ἀπὸ θλίψεως τῆς περιεχούσης με· τὸ ἀγαλλίαμά μου, λύτρωσαί με ἀπὸ τῶν κυκλωσάντων με.

Συνετιῶ σε, καὶ συμβιβῶ σε ἐν ὁδῷ ταύτῃ, ᾗ πορεύσῃ, ἐπιστηριῶ ἐπὶ σὲ τοὺς ὀφθαλμούς μου.

Μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις.

Ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄγξαις, τῶν μὴ ἐγγιζόντων πρὸς σέ.

Πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ, τὸν δὲ ἐλπίζοντα ἐπὶ Κύριον ἔλεος κυκλώσει.

Εὐφράνθητε ἐπὶ Κύριον, καὶ ἀγαλλιᾶσθε δίκαιοι, καὶ καυχᾶσθε πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.

## ΨΑΛΜΟΣ ξ'. 60.

Εἰσάκουσον, ὁ Θεὸς, τῆς δεήσεώς μου, πρόσχες τῇ προσευχῇ μου.

Ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκεκραξα, ἐν τῷ ἀκηδιάσαι τὴν καρδίαν μου· ἐν πέτρᾳ ὕψωσάς με.

Ψηφιακή Κεντρική Βιβλιοθήκη Δημοκρίτου

Ὠδήγησάς με, ὅτι ἐγενήθης ἐλπίς μου, πύργος ἰσχύος ἀπὸ προσώπου ἐχθροῦ.

Παροικήσω ἐν τῷ σκηνώματί σου εἰς τοὺς αἰῶνας, σκεπασθήσομαι ἐν τῇ σκέπῃ τῶν πτερύγων σου.

Ὅτι σὺ, ὁ Θεὸς, εἰσήκουσας τῶν εὐχῶν μου· ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου.

Ἡμέρας ἐφ' ἡμέρας τοῦ βασιλέως προσθήσεις, τὰ ἔτη αὐτοῦ ἕως ἡμέρας γενεᾶς καὶ γενεᾶς.

Διαμενεῖ εἰς τὸν αἰῶνα ἐνώπιον τοῦ Θεοῦ· ἔλεος καὶ ἀλήθειαν αὐτοῦ τίς ἐκζητήσει;

Οὕτω ψαλῶ τῷ ὀνόματί σου εἰς τοὺς αἰῶνας, τοῦ ἀποδοῦναί με τὰς εὐχάς μου ἡμέραν ἐξ ἡμέρας.

Δόξα, καὶ νῦν. Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστι. Καὶ τὰ ἑπόμενα

Τροπάρια:

Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὁ ποιῶν ἀεὶ μεθ' ἡμῶν κατὰ τὴν σὴν ἐπιείκειαν, μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν· ἀλλὰ ταῖς αὐτῶν ἱκεσίαις, εἰρήνῃ κυβέρνησον τὴν ζωὴν ἡμῶν.

Δόξα.

Οἱ Μάρτυρές σου, Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν, στεφάνους ἐκομίσαντο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· σχόντες γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλον· ἔθραυσαν καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση. Αὐτῶν ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν, Θεοτοκίον.

Τεῖχος ἀκαταμάχητον ἡμῶν τῶν Χριστιανῶν ὑπάρχεις, Θεοτόκε Παρθένε· πρὸς σὲ γὰρ καταφεύγοντες, ἄτρωτοι διαμένομεν· καὶ πάλιν ἁμαρτάνοντες, ἔχομέν σε πρεσβεύουσαν. Διὸ εὐχαριστοῦντες βοῶμέν σοι: Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

Τὸ: Κύριε ἐλέησον μ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, Πάτερ.

Ὁ Ἱερεύς: Διὰ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν. Τὰς

τρεῖς μεγάλας μετανοίας, μετὰ καὶ τῆς Εὐχῆς τοῦ ὁσίου Ἐφραίμ· εἶθ' οὕτω τὴν ἑπομένην

Εὐχὴν τοῦ Μεγάλου Βασιλείου:

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν σὴν εἰρήνην δεδωκὼς τοῖς ἀνθρώποις, καὶ τὴν τοῦ παναγίου Πνεύματος δωρεὰν τοῖς σοῖς Μαθηταῖς καὶ Ἀποστόλοις καταπέμψας, ἡ τὰ τούτων χείλη ἐκ πυρίνων γλωσσῶν διανοίξας δυνάμει σου, διάνοιξον καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὰ χείλη, καὶ δίδαξον ἡμᾶς, πῶς δεῖ, καὶ ὑπὲρ ὧν χρὴ προσεύχεσθαι. Κυβέρνησον ἡμῶν τὴν ζωὴν, ὁ εὔδιος τῶν χειμαζομένων λιμήν, καὶ γνώρισον ἡμῖν ὁδὸν, ἐν ᾗ πορευσόμεθα. Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις ἡμῶν, καὶ Πνεύματι ἡγεμονικῷ τὸ τῆς διανοίας ἡμῶν στήριξον ὁλισθηρόν· ἵνα καθ' ἑκάστην ἡμέραν τῷ Πνεύματί σου τῷ ἀγαθῷ πρὸς τὸ συμφέρον ὁδηγούμενοι, καταξιωθῶμεν ποιεῖν τὰς ἐντολάς σε, καὶ τῆς σῆς ἀεὶ μνημονεύειν ἐνδόξου, καὶ ἐρευνητικῆς τῶν πεπραγμένων τοῖς ἀνθρώποις παρουσίας· καὶ μὴ τοῖς φθειρομένοις τοῦ κόσμου τούτου ἐναπατᾶσθαι τερπνοῖς, ἀλλὰ τῆς τῶν μελλόντων ὀρέγεσθαι ἀπολαύσεως ἐνίσχυσον θησαυρῶν· ὅτι εὐλογητὸς, καὶ αἰνετὸς ὑπάρχεις ἐν πᾶσι τοῖς Ἁγίοις σου, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐθὺς δὲ ἐπισυνάπτομεν καὶ τὴν Ἕκτην Ὥραν.

## ΩΡΑ ΕΚΤΗ.

Δεῦτε προσκυνήσωμεν, ἐκ τρίτου. Μετανοίας τρεῖς. Εἶτα τοὺς Ψαλμούς.

### ΨΑΛΜΟΣ νγ'. 53.

Ὁ Θεὸς, ἐν τῷ ὀνόματί σου σῶσόν με, καὶ ἐν τῇ δυνάμει σου κρινεῖς με.

Ὁ Θεὸς, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου.

ΔΗΜΟΣΙΕΥΣΗ ΣΕ ΨΗΦΙΑΚΗ ΜΟΡΦΗ
Ιερά Κεντρική Βιβλιοθήκη Λεβαδείας - Μουσείο Τυπογραφίας Ιακώβατων

Ὅτι ἀλλότριοι ἐπανέστησαν ἐπ' ἐμὲ, καὶ κραταιοὶ ἐζήτησαν τὴν ψυχήν μου, καὶ οὐ προέθεντο τὸν Θεὸν ἐνώπιον αὐτῶν.

Ἰδοὺ γὰρ ὁ Θεὸς βοηθεῖ μοι, καὶ ὁ Κύριος ἀντιλήπτωρ τῆς ψυχῆς μου.

Ἀποστρέψει τὰ κακὰ τοῖς ἐχθροῖς μου, ἐν τῇ ἀληθείᾳ σου ἐξολόθρευσον αὐτούς.

Ἑκουσίως θύσω σοι, ἐξομολογήσομαι τῷ ὀνόματί σου, Κύριε, ὅτι ἀγαθόν.

Ὅτι ἐκ πάσης θλίψεως ἐρρύσω με, καὶ ἐν τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ ὀφθαλμός μου.

## ΨΑΛΜΟΣ νδ'. 54.

Ἐνώτισαι, ὁ Θεὸς, τὴν προσευχήν μου, καὶ μὴ ὑπερίδῃς τὴν δέησίν μου· πρόσχες μοι, καὶ εἰσάκουσόν μου.

Ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου, καὶ ἐταράχθην ἀπὸ φωνῆς ἐχθροῦ, καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ.

Ὅτι ἐξέκλιναν ἐπ' ἐμὲ ἀνομίαν, καὶ ἐν ὀργῇ ἐνεκότουν μοι.

Ἡ καρδία μου ἐταράχθη ἐν ἐμοὶ, καὶ δειλία θανάτου ἐπέπεσεν ἐπ' ἐμέ.

Φόβος καὶ τρόμος ἦλθεν ἐπ' ἐμὲ, καὶ ἐκάλυψέ με σκότος.

Καὶ εἶπα· Τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς, καὶ πετασθήσομαι, καὶ καταπαύσω;

Ἰδοὺ ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ.

Προσεδεχόμην τὸν Θεὸν, τὸν σώζοντά με ἀπὸ ὀλιγοψυχίας, καὶ ἀπὸ καταιγίδος.

Καταπόντισον, Κύριε, καὶ καταδίελε τὰς γλώσσας αὐτῶν· ὅτι εἶδον ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει.

Ἡμέρας καὶ νυκτὸς κυκλώσει αὐτὴν ἐπὶ τὰ τείχη αὐτῆς, καὶ ἀνομία καὶ κόπος ἐν μέσῳ αὐτῆς, καὶ ἀδικία.

Καὶ οὐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐτῆς τόκος καὶ δόλος.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ὅτι εἰ ὁ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν.
Καὶ εἰ ὁ μισῶν ἐπ' ἐμὲ ἐμεγαλορρημόνησεν, ἐκρύβην ἂν ἀπ' αὐτοῦ.
Σὺ δὲ ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου, καὶ γνωστέ μοι.
Ὃς ἐπὶ τὸ αὐτὸ ἐγλυκάνας μοι ἐδέσματα, ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου ἐπορεύθημεν ἐν ὁμονοίᾳ.
Ἐλθέτω δὴ θάνατος ἐπ' αὐτούς, καὶ καταβήτωσαν εἰς Ἅιδου ζῶντες.
Ὅτι πονηρία ἐν ταῖς παροικίαις αὐτῶν, ἐν μέσῳ αὐτῶν.
Ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα, καὶ ὁ Κύριος εἰσήκουσέ μου.
Ἑσπέρας, καὶ πρωΐ, καὶ μεσημβρίας διηγήσομαι καὶ ἀπαγγελῶ, καὶ εἰσακούσεταί τῆς φωνῆς μου.
Λυτρώσεται ἐν εἰρήνῃ τὴν ψυχήν μου ἀπὸ τῶν ἐγγιζόντων μοι, ὅτι ἐν πολλοῖς ἦσαν σὺν ἐμοί.
Εἰσακούσεται ὁ Θεὸς, καὶ ταπεινώσει αὐτοὺς ὁ ὑπάρχων πρὸ τῶν αἰώνων.
Οὐ γάρ ἐστιν αὐτοῖς ἀντάλλαγμα, ὅτι οὐκ ἐφοβήθησαν τὸν Θεόν· ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ἐν τῷ ἀποδιδόναι.
Ἐβεβήλωσαν τὴν διαθήκην αὐτοῦ διεμερίσθησαν ἀπὸ ὀργῆς τὸ πρόσωπον αὐτοῦ, καὶ ἤγγισαν αἱ καρδίαι αὐτῶν.
Ἠπαλύνθησαν οἱ λόγοι αὐτῶν ὑπὲρ ἔλαιον, καὶ αὐτοί εἰσι βολίδες.
Ἐπίρριψον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει· οὐ δώσει εἰς τὸν αἰῶνα σάλον τῷ δικαίῳ.
Σὺ δὲ, ὁ Θεὸς, καταπάξεις αὐτοὺς εἰς φρέαρ διαφθορᾶς.
Ἄνδρες αἱμάτων καὶ δολιότητος οὐ μὴ ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν· ἐγὼ δὲ, Κύριε, ἐλπιῶ ἐπὶ σέ.

## ΨΑΛΜΟΣ ϙ. 90.

Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου, ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται.
Ἐρεῖ τῷ Κυρίῳ· Ἀντιλήπτωρ μου εἶ, καὶ καταφυγή μου, ὁ Θεός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν.
Ὅτι αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν, καὶ ἀπὸ λόγου ταραχώδους.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημοσία Κεντρική Βιβλιοθήκη Λεσβίου - Μουσείο Τυπλάδων Ιακωβατων

Ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι, καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς· ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ.

Οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας.

Ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, ἀπὸ συμπτώματος δαιμονίου μεσημβρινοῦ.

Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιὰς, καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ.

Πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει.

Ὅτι σὺ, Κύριε, ἡ ἐλπίς μου· τὸν Ὕψιστον ἔθου καταφυγήν σου.

Οὐ προσελεύσεται πρὸς σὲ κακὰ, καὶ μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ σκηνώματί σου.

Ὅτι τοῖς Ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου.

Ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.

Ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα.

Ὅτι ἐπ' ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν· σκεπάσω αὐτὸν, ὅτι ἔγνω τὸ ὄνομά μου.

Κεκράξεται πρός με, καὶ ἐπακούσομαι αὐτοῦ, μετ' αὐτοῦ εἰμι ἐν θλίψει· ἐξελοῦμαι αὐτὸν, καὶ δοξάσω αὐτόν. Μακρότητα ἡμερῶν ἐμπλήσω αὐτὸν, καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα γ'. Κύριε ἐλέησον γ'. Καὶ εἰ μὲν ψάλλεται: Θεὸς Κύριος, λέγομεν τὸ τῆς ἡμέρας Ἀπολυτίκιον· εἰ δὲ: Ἀλληλούϊα, τὸ παρόν:

## Ἦχος β'.

Ὁ ἐν ἕκτῃ ἡμέρᾳ τε καὶ ὥρᾳ τῷ Σταυρῷ προσηλώσας, τὴν ἐν τῷ Παραδείσῳ τολμηθεῖσαν τῷ Ἀδὰμ ἁμαρτίαν, καὶ τῶν πταισμάτων ἡμῶν τὸ χειρόγραφον διάῤῥηξον, Χριστὲ ὁ Θεὸς, καὶ σῶσον ἡμᾶς.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Στίχος ά. Ἐνώτισαι, ὁ Θεὸς, τὴν προσευχήν μου, καὶ μὴ ὑπερίδῃς τὴν δέησίν μου.

Στίχος β'. Ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα, καὶ ὁ Κύριος εἰσήκουσέ μου.

Δόξα, καὶ νῦν, Θεοτοκίον.

Ὅτι οὐκ ἔχομεν παῤῥησίαν διὰ τὰ πολλὰ ἡμῶν ἁμαρτήματα, σὺ τὸν ἐκ σοῦ γεννηθέντα δυσώπησον, Θεοτόκε Παρθένε· πολλὰ γὰρ ἰσχύει δέησις Μητρὸς πρὸς εὐμένειαν Δεσπότου. Μὴ παρίδῃς ἁμαρτωλῶν ἱκεσίας, ἡ πάνσεμνος, ὅτι ἐλεήμων ἐστὶ, καὶ σώζειν δυνάμενος, ὁ καὶ παθεῖν ὑπὲρ ἡμῶν καταδεξάμενος.

Καὶ εὐθύς.

Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, Κύριε, ὅτι ἐπτωχεύσαμεν σφόδρα· βοήθησον ἡμῖν, ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου. Κύριε, ῥῦσαι ἡμᾶς, καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστι. Καὶ τὰ Τροπάρια ταῦτα, εἰ οὐκ ἔστιν Ἑορτή.

Ἦχος β'.

Σωτηρίαν εἰργάσω ἐν μέσῳ τῆς γῆς, Χριστὲ ὁ Θεός· ἐπὶ Σταυροῦ τὰς ἀχράντους σου χεῖρας ἐξέτεινας, ἐπισυνάγων πάντα τὰ ἔθνη κράζοντα: Κύριε δόξα σοι.

Δόξα.

Τὴν ἄχραντον Εἰκόνα σου προσκυνοῦμεν ἀγαθὲ, αἰτούμενοι συγχώρησιν τῶν πταισμάτων ἡμῶν, Χριστὲ ὁ Θεός· βουλήσει γὰρ ηὐδόκησας σαρκὶ ἀνελθεῖν ἐν τῷ Σταυρῷ, ἵνα ῥύσῃ οὓς ἔπλασας ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ. Ὅθεν εὐχαρίστως βοῶμέν σοι: Χαρᾶς ἐπλήρωσας τὰ πάντα, ὁ Σωτὴρ ἡμῶν, παραγενόμενος εἰς τὸ σῶσαι τὸν κόσμον.

Καὶ νῦν, Θεοτοκίον.

Εὐσπλαγχνίας ὑπάρχουσα πηγὴ, συμπαθείας ἀξίωσον ἡμᾶς, Θεοτόκε· βλέψον εἰς λαὸν τὸν ἁμαρτήσαντα, δεῖξον ὡς ἀεὶ τὴν δυναστείαν σου· εἰς σὲ γὰρ

ἐλπίζοντες, τὸ: Χαῖρε βοῶμέν σοι, ὡς ποτε ὁ Γαβριὴλ ὁ τῶν ἀσωμάτων Ἀρχιστράτηγος.

Τὸ Θεοτοκίον τοῦτο λέγεται τῇ Δευτέρᾳ, τῇ Τρίτῃ, καὶ τῇ Πέμπτῃ, ὅτε οὐκ ἔχει ἡ ἡμέρα Κοντάκιον· τῇ δὲ Τετάρτῃ, καὶ τῇ Παρασκευῇ, λέγεται τὸ ἑξῆς Σταυροθεοτοκίον, Ἦχος β΄.

Ὑπερδεδοξασμένη ὑπάρχεις, Θεοτόκε Παρθένε, ὑμνεῖμένη σε· διὰ γὰρ τοῦ Σταυροῦ τοῦ Υἱοῦ σου κατεβλήθη ὁ Ἅδης, καὶ ὁ θάνατος τέθνηκε· νεκρωθέντες ἀνέστημεν, καὶ ζωῆς ἠξιώθημεν· τὸν Παράδεισον ἐλάβομεν, τὴν ἀρχαίαν ἀπόλαυσιν. Διὸ εὐχαριστοῦντες δοξολογοῦμεν, ὡς κραταιὸν Χριστὸν τὸν Θεὸν ἡμῶν, καὶ μόνον πολυέλεον.

Τό, Κύριε ἐλέησον μ΄. Ὁ ἐν παντὶ καιρῷ. Κύριε ἐλέησον γ΄. Δόξα καὶ νῦν. Τὴν τιμιωτέραν· καὶ μετανοίας, ὡς εἴρηται, εἰ ἔστι Τεσσαρακοστή· εἰ δὲ μή, τὴν Εὐχὴν ταύτην: Θεὲ, καὶ Κύριε τῶν δυνάμεων. Ὅρα ἔμπροσθεν, σελ. 101.

---

## ΜΕΣΩΡΙΟΝ ΤΗΣ ΕΚΤΗΣ ΩΡΑΣ.

Δεῦτε προσκυνήσωμεν, ἐκ γ΄. Μετανοίας γ΄. καὶ τοὺς Ψαλμούς.

### ΨΑΛΜΟΣ νέ. 55.

Ἐλέησόν με, ὁ Θεὸς, ὅτι κατεπάτησέ με ἄνθρωπος, ὅλην τὴν ἡμέραν πολεμῶν ἔθλιψέ με.

Κατεπάτησάν με οἱ ἐχθροί μου ὅλην τὴν ἡμέραν, ὅτι πολλοὶ οἱ πολεμοῦντές με ἀπὸ ὕψους· ἡμέρας οὐ φοβηθήσομαι, ἐγὼ δὲ ἐλπιῶ ἐπὶ σέ.

Ἐν τῷ Θεῷ ἐπαινέσω τοὺς λόγους μου, ἐπὶ τῷ Θεῷ ἤλπισα, οὐ φοβηθήσομαι τί ποιήσει μοι σάρξ.

Ὅλην τὴν ἡμέραν τοὺς λόγους μου ἐβδελύσσοντο, κατ' ἐμοῦ πάντες οἱ διαλογισμοὶ αὐτῶν εἰς κακόν.

Παροικήσουσι, καὶ κατακρύψουσιν αὐτοὶ, τὴν πτέρναν μου φυλάξουσιν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Καθάπερ ὑπέμεινάν τὴν ψυχήν μου, ὑπὲρ τοῦ μηθενὸς ὥσεις αὐτοὺς, ἐν ὀργῇ λαοὺς καταξεις.

Ὁ Θεὸς, τὴν ζωήν μου ἐξήγγειλάσοι, ἔθου τὰ δάκρυά μου ἐνώπιόν σου.

Ὡς καὶ ἐν τῇ ἐπαγγελίᾳ σου, ἐπιστρέψουσιν οἱ ἐχθροί μου εἰς τὰ ὀπίσω.

Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ἰδοὺ ἔγνων, ὅτι Θεός μου εἶ σύ.

Ἐπὶ τῷ Θεῷ αἰνέσω ῥῆμα, ἐπὶ τῷ Κυρίῳ αἰνέσω λόγον· ἐπὶ τῷ Θεῷ ἤλπισα, οὐ φοβηθήσομαί τί ποιήσει μοι ἄνθρωπος.

Ἐν ἐμοὶ, ὁ Θεὸς, εὐχαὶ, ἃς ἀποδώσω αἰνέσεώς σου.

Ὅτι ἐῤῥύσω τὴν ψυχήν μου ἐκ θανάτου, τὰς ὀφθαλμούς μου ἀπὸ δακρύων, καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος.

Εὐαρεστήσω ἐνώπιον Κυρίου, ἐν φωτὶ ζώντων.

## ΨΑΛΜΟΣ νϛ'. 56.

Ἐλέησόν με, ὁ Θεὸς, ἐλέησόν με, ὅτι ἐπὶ σοὶ πέποιθεν ἡ ψυχή μου.

Καὶ ἐν τῇ σκιᾷ τῶν πτερύγων σου ἐλπιῶ; ἕως οὗ παρέλθῃ ἡ ἀνομία.

Κεκράξομαι πρὸς τὸν Θεὸν τὸν ὕψιστον, τὸν Θεὸν τὸν εὐεργετήσαντά με.

Ἐξαπέστειλεν ἐξ οὐρανοῦ καὶ ἔσωσέ με, ἔδωκεν εἰς ὄνειδος τοὺς καταπατοῦντάς με.

Ἐξαπέστειλεν ὁ Θεὸς τὸ ἔλεος αὐτοῦ, καὶ τὴν ἀλήθειαν αὐτοῦ, καὶ ἐῤῥύσατο τὴν ψυχήν μου ἐκ μέσου σκύμνων· ἐκοιμήθην τεταραγμένος.

Υἱοὶ ἀνθρώπων, οἱ ὀδόντες αὐτῶν ὅπλα καὶ βέλη, καὶ ἡ γλῶσσα αὐτῶν μάχαιρα ὀξεῖα.

Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς, ὁ Θεὸς, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

Παγίδα ἡτοίμασαν τοῖς ποσί μου, καὶ κατέκαμψαν τὴν ψυχήν μου.

Ὤρυξαν πρὸ προσώπου μου βόθρον, καὶ ἐνέπεσον εἰς αὐτόν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λήξουριου - Μουσείο Τυπάλδων Ιθακησίων

Ἑτοίμη ἡ καρδία μου, ὁ Θεὸς, ἑτοίμη ἡ καρδία μου· ᾄσομαι καὶ ψαλῶ ἐν τῇ δόξῃ μου.

Ἐξεγέρθητι ἡ δόξα μου, ἐξεγέρθητι ψαλτήριον καὶ κιθάρα, ἐξεγερθήσομαι ὄρθρου.

Ἐξομολογήσομαί σοι ἐν λαοῖς, Κύριε, ψαλῶ σοι ἐν ἔθνεσιν.

Ὅτι ἐμεγαλύνθη ἕως τῶν οὐρανῶν τὸ ἔλεός σου, καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου.

Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς, ὁ Θεὸς, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

## ΨΑΛΜΟΣ ξθ'. 69.

Ὁ Θεὸς, εἰς τὴν βοήθειάν μου πρόσχες· Κύριε, εἰς τὸ βοηθῆσαί μοι σπεῦσον.

Αἰσχυνθήτωσαν, καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου.

Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθήτωσαν οἱ βουλόμενοί μοι κακά.

Ἀποστραφήτωσαν παραυτίκα αἰσχυνόμενοι, οἱ λέγοντές μοι: Εὖγε, εὖγε.

Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε, ὁ Θεός.

Καὶ λεγέτωσαν διαπαντός: Μεγαλυνθήτω ὁ Κύριος, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου.

Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης· ὁ Θεὸς, βοήθησόν μοι. Βοηθός μου καὶ ῥύστης μου εἶ σὺ, Κύριε· μὴ χρονίσῃς. Δόξα, καὶ νῦν. Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστι. Καὶ τὰ παρόντα Τροπάρια.

### Ἦχος ά.

Σῶσον Κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς Βασιλεῦσι κατὰ Βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

### Δόξα.

Τὰς ἀλγηδόνας τῶν Ἁγίων, ἃς ὑπὲρ σοῦ ἔπαθον, δυσωπήθητι Κύριε· καὶ πάσας ἡμῶν τὰς ὀδύνας ἴασαι, φιλάνθρωπε δεόμεθα.

ΔΗΜΟΣΙΕΥΣΗ ΒΙΒΛΙΟΘΗΚΗΣ

Καὶ νῦν.

Τῇ πρεσβείᾳ Κύριε πάντων τῶν Ἁγίων, καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων.

Τὸ, Κύριε ἐλέησον μ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου, εὐλόγησον, Πάτερ.

Ὁ Ἱερεύς: Δι' εὐχῶν· καὶ ποιοῦμεν τὰς μεγάλας τρεῖς μετανοίας, μετὰ καὶ τῆς Εὐχῆς τοῦ ὁσίου Ἐφραίμ· εἶτα τὴν παροῦσαν

Εὐχὴν τοῦ Μεγάλου Βασιλείου.

Θεὲ, καὶ Κύριε τῶν δυνάμεων, καὶ πάσης κτίσεως Δημιουργὲ, ὁ διὰ σπλάγχνα ἀνεικάστου ἐλέους σου, τὸν μονογενῆ σου Υἱὸν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καταπέμψας ἐπὶ σωτηρίᾳ τοῦ γένους ἡμῶν, καὶ διὰ τοῦ τιμίου αὐτοῦ Σταυροῦ τὸ χειρόγραφον τῶν ἁμαρτιῶν ἡμῶν διαρρήξας, καὶ θριαμβεύσας ἐν αὐτῷ τὰς ἀρχὰς καὶ ἐξουσίας τοῦ σκότους· Αὐτὸς Δέσποτα φιλάνθρωπε, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὰς εὐχαριστηρίους ταύτας, καὶ ἱκετηρίους ἐντεύξεις· καὶ ῥῦσαι ἡμᾶς ἀπὸ παντὸς ὀλεθρίου καὶ σκοτεινοῦ παραπτώματος, καὶ πάντων τῶν κακῶσαι ἡμᾶς ζητούντων ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν. Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας ἡμῶν, καὶ μὴ ἐκκλίνῃς τὰς καρδίας ἡμῶν εἰς λόγους, ἢ εἰς λογισμοὺς πονηρίας, ἀλλὰ τῷ πόθῳ σου τρῶσον ἡμῶν τὰς ψυχάς· ἵνα πρὸς σὲ διαπαντὸς ἀτενίζοντες, καὶ τῷ παρὰ σοῦ φωτὶ ὁδηγούμενοι, σὲ τὸ ἀπρότιτον καὶ ἀΐδιον κατοπτεύοντες φῶς, ἀκατάπαυστόν σοι τὴν ἐξομολόγησιν καὶ εὐχαριστίαν ἀναπέμπωμεν, τῷ ἀνάρχῳ Πατρὶ, σὺν τῷ μονογενεῖ σου Υἱῷ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ εἰ μὲν, Θεὸς Κύριος, ἔψαλτο, λέγομεν τὰ Τυπικά, ὡς ἐφεξῆς ἔπονται· εἰδὲ, Ἀλληλουϊα, ὑπέρθες αὐτὰ μετὰ τὴν Ἐννάτην Ὥραν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

## ΑΚΟΛΟΥΘΙΑ ΤΩΝ ΤΥΠΙΚΩΝ.

### ΨΑΛΜΟΣ ρβ'. 102.

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.
Εὐλογητὸς εἶ, Κύριε.

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Τὸν εὐϊλατεύοντα πάσας τὰς ἀνομίας σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου.

Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς.

Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου· ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.

Ποιῶν ἐλεημοσύνας ὁ Κύριος, καὶ κρίμα πᾶσι τοῖς ἀδικουμένοις.

Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσῇ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ.

Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος· οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ.

Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν.

Ὅτι κατὰ τὸ ὕψος τοῦ Οὐρανοῦ ἀπὸ τῆς Γῆς, ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν.

Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν.

Καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν· ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, ἐμνήσθη ὅτι χοῦς ἐσμεν.

Ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημοτική Βιβλιοθήκη Λιξουρίου - Μουσείο Εντύπου Βιβλίου

Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ.

Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν.

Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν, τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ, καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ, τοῦ ποιῆσαι αὐτάς.

Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ Ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ.

Εὐλογεῖτε τὸν Κύριον, πᾶσαι αἱ Δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ, οἱ ποιοῦντες τὸ θέλημα αὐτοῦ.

Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, Εἶτα:

Δόξα τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι.

## ΨΑΛΜΟΣ ρμέ. 145.

Αἶνει, ἡ ψυχή μα, τὸν Κύριον· αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Μὴ πεποίθατε ἐπ' ἄρχοντας, ἐπὶ υἱοὺς ἀνθρώπων, οἷς οὐκ ἔστι σωτηρία.

Ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ, καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ.

Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτοῦ.

Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.

Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς.

Τὸν φυλάσσοντα ἀλήθειαν εἰς τὸν αἰῶνα, ποιοῦντα κρίμα τοῖς ἀδικουμένοις, διδόντα τροφὴν τοῖς πεινῶσι.

ΑΝΟΙΞΕΙΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Κύριος λύει πεπεδημένους· Κύριος σοφοῖ τυφλούς· Κύριος ἀνορθοῖ κατερραγμένους· Κύριος ἀγαπᾷ δικαίους· Κύριος φυλάσσει τοὺς προσηλύτους.

Ὀρφανὸν καὶ χήραν ἀναλήψεται, καὶ ὁδὸν ἁμαρτωλῶν ἀφανιεῖ.

Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν.

Καὶ νῦν.

Ὁ Μονογενὴς Υἱὸς, καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε Χριστὲ ὁ Θεὸς, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ, καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Εἰδέναι χρὴ, ὅτι τῇ μεγάλῃ Τεσσαρακοστῇ οὐ λέγομεν τοὺς τῶν Τυπικῶν Ψαλμοὺς, ἀλλὰ μετὰ τὰς ἐν τῇ Ἐννάτῃ Ὥρᾳ τρεῖς μεγάλας μετανοίας, ἀρχόμεθα εὐθὺς τῶν Μακαρισμῶν, ψάλλοντες μεθ' ἕνα ἕκαστον αὐτῶν, εἰς ἦχον πλ. δ'. τὸ: Μνήσθητι ἡμῶν, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου· ὡσαύτως καὶ μετὰ τὸ: Δόξα, καὶ τὸ: Καὶ νῦν· ποιοῦμεν δὲ καὶ μετάνοιαν μικρὰν μίαν ἐν ἑκάστῳ: Μνήσθητι.

## ΟΙ ΜΑΚΑΡΙΣΜΟΙ.

Ἐν τῇ Βασιλείᾳ σου μνήσθητι ἡμῶν, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου.

Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται.

Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν.

Μακάριοι οἱ πεινῶντες, καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται.

Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται.

Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λήξουρίου - Μουσείο Παλαιοντολογίας Ζακύνθου

Μακάριοι οἱ εἰρηνοποιοὶ, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται.

Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

Μακάριοι ἐστὲ, ὅταν ὀνειδίσωσιν ὑμᾶς, καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι, ἕνεκεν ἐμοῦ.

Χαίρετε, καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς.

Δόξα, καὶ νῦν.

Μετὰ ταῦτα, εἰ μέν ἐστιν, ὡς εἴρηται, μεγάλη Τεσσαρακοστὴ, ἐνουμένων τῶν δύο Χορῶν, λέγομεν γεγωνοτέρᾳ φωνῇ τὸ, Μνήσθητι ἡμῶν, ἐκ γ'. ὡς ἔπεται, ποιοῦντες ἐν ἑκάστῳ καὶ μετάνοιαν μεγάλην μίαν. Εἰ δὲ μὴ, λέγομεν αὐτὸ χύμα, καὶ ἄνευ μετανοιῶν.

Μνήσθητι ἡμῶν, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου.

Μνήσθητι ἡμῶν, Δέσποτα, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου.

Μνήσθητι ἡμῶν, Ἅγιε, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου.

Χορὸς ὁ ἐπουράνιος ὑμνεῖ σε, καὶ λέγει: Ἅγιος, Ἅγιος, Ἅγιος Κύριος Σαβαὼθ, πλήρης ὁ οὐρανὸς, καὶ ἡ γῆ τῆς δόξης σου.

Στίχος. Προσέλθετε πρὸς αὐτὸν, καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ.

Χορὸς ὁ ἐπουράνιος ὑμνεῖ σε, καὶ λέγει: Ἅγιος, Ἅγιος, Ἅγιος Κύριος Σαβαὼθ, πλήρης ὁ οὐρανὸς, καὶ ἡ γῆ τῆς δόξης σου.

Δόξα.

Χορὸς ἁγίων Ἀγγέλων, καὶ Ἀρχαγγέλων, μετὰ πασῶν τῶν ἐπουρανίων Δυνάμεων ὑμνεῖ σε, καὶ λέγει: Ἅγιος, Ἅγιος, Ἅγιος Κύριος Σαβαὼθ, πλήρης ὁ οὐρανὸς, καὶ ἡ γῆ τῆς δόξης σου.

Καὶ νῦν. Πιστεύω εἰς ἕνα Θεόν. Ὅρα σελ. 15. Εἶτα:

Ἄνες, ἄφες, συγχώρησον, ὁ Θεὸς, τὰ παραπτώματα ἡμῶν, τὰ ἑκούσια καὶ τὰ ἀκούσια, τὰ ἐν ἔργῳ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ψηφιακή Βιβλιοθήκη Ιδρύματος Μοναστηρίου Τρίλοφου Ιωαννίνων

καὶ λόγῳ, τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ, τὰ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ, τὰ κατὰ νοῦν καὶ διάνοιαν· τὰ πάντα ἡμῖν συγχώρησον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Εἶτα, τὸ: Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστι. Μεθ' ὅ, εἰ μέν ἐστι Δεσποτικὴ Ἑορτή, λέγομεν τὸ ταύτης Κοντάκιον· εἰ δὲ τύχῃ καὶ Ἅγιος ἑορταζόμενος ἐνταυτῷ, λέγεται πρῶτον τὸ τοῦ Ἁγίου, εἶτα: Δόξα, καὶ νῦν, τὸ τῆς Ἑορτῆς. Εἰ δ' Ἀλληλούϊα ἔψαλτο, ἢ ὅτε οὐκ ἔστιν Ἑορτή, λέγε πρῶτον τὸ τῆς Μεταμορφώσεως, εἶτα τὸ τῆς ἡμέρας· καὶ μετ' αὐτό: Δόξα. Μετὰ τῶν Ἁγίων ἀνάπαυσον, Χριστέ. Καὶ νῦν. Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε· ὡς ἔπονται καθεξῆς.

Τὸ τῆς Μεταμορφώσεως. Ἦχος βαρύς.

Ἐπὶ τοῦ ὄρους μετεμορφώθης, καὶ ὡς ἐχώρουν οἱ Μαθηταί σου τὴν δόξαν σου, Χριστὲ ὁ Θεός, ἐθεάσαντο· ἵνα ὅταν σε ἴδωσι σταυρούμενον, τὸ μὲν πάθος νοήσωσιν ἑκούσιον· τῷ δὲ κόσμῳ κηρύξωσιν, ὅτι σὺ ὑπάρχεις ἀληθῶς τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

Τῇ Δευτέρᾳ, Κοντάκ. τῶν Ἀσωμάτων, Ἦχος β'.

Ἀρχιστράτηγοι Θεοῦ, λειτουργοὶ θείας δόξης, τῶν ἀνθρώπων ὁδηγοί, καὶ ἀρχηγοὶ Ἀσωμάτων, τὸ συμφέρον ἡμῖν πρεσβεύσατε, καὶ τὸ μέγα ἔλεος, ὡς τῶν Ἀσωμάτων Ἀρχιστράτηγοι.

Τῇ Τρίτῃ, Κοντάκιον τοῦ Προδρόμου.

Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Προφῆτα Θεοῦ, καὶ Πρόδρομε τῆς χάριτος, τὴν κάραν τὴν σὴν, ὡς ῥόδον ἱερώτατον, ἐκ τῆς γῆς εὑράμενοι, τὰς ἰάσεις πάντοτε λαμβάνομεν· καὶ γὰρ πάλιν ὡς πρότερον, ἐν κόσμῳ κηρύττεις τὴν μετάνοιαν.

Τῇ Τετάρτῃ, καὶ τῇ Παρασκευῇ.

Ἦχος δ'.

Ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ ὁ Θεός· εὐφρανον ἐν τῇ δυνάμει σου τοὺς πιστοὺς Βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς κατὰ τῶν

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Δήμου Μουσείο Τυπογλυπτικής

πολεμίων, τὴν συμμαχίαν ἔχοιεν τὴν σὴν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

Τῇ Πέμπτῃ, Κοντάκιον τῶν ἁγίων Ἀποστόλων.

Ἦχος β'.

Τοὺς ἀσφαλεῖς καὶ θεοφθόγγους Κήρυκας, τὴν κορυφὴν τῶν Μαθητῶν σου Κύριε, προσελάβου εἰς ἀπόλαυσιν τῶν ἀγαθῶν σου καὶ ἀνάπαυσιν· τοὺς πόνους γὰρ ἐκείνων καὶ τὸν θάνατον, ἐδέξω ὑπὲρ πᾶσαν ὁλοκάρπωσιν, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Ἕτερον τοῦ ἁγίου Νικολάου, τῇ αὐτῇ ἡμέρᾳ.

Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Ἐν τοῖς Μύροις Ἅγιε, ἱερουργὸς ἀνεδείχθης· τῷ Χριστοῦ γὰρ Ὅσιε, τὸ Εὐαγγέλιον πληρώσας, ἔθηκας τὴν ψυχήν σου ὑπὲρ λαοῦ σου, ἔσωσας τοὺς ἀθώους ἐκ τοῦ θανάτου· διὰ τοῦτο ἡγιάσθης, ὡς μέγας μύστης Θεοῦ τῆς χάριτος.

Τῷ Σαββάτῳ, Κοντάκιον Νεκρώσιμον.

Ἦχος πλ. δ'.

Μετὰ τῶν Ἁγίων ἀνάπαυσον, Χριστὲ, τὰς ψυχὰς τῶν δούλων σου, ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη, οὐ στεναγμός· ἀλλὰ ζωὴ ἀτελεύτητος.

Καὶ τὸ παρὸν Μαρτυρικὸν Κοντάκ. Ἦχος πλ. δ'.

Ὡς ἀπαρχὰς τῆς φύσεως, τῷ φυτουργῷ τῆς κτίσεως, ἡ οἰκουμένη προσφέρει σοι Κύριε, τοὺς θεοφόρους Μάρτυρας· ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ βαθείᾳ τὴν Ἐκκλησίαν σου, διὰ τῆς Θεοτόκου συντήρησον Πολυέλεε. Τὸ δὲ παρὸν λέγεται καθ' ἑκάστην, ἐκτὸς τοῦ Σαββάτου.

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς· ἀλλὰ πρόφθασον ὡς ἀγαθὴ εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι: Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεὶ, Θεοτόκε τῶν τιμώντων σε.

Τὸ, Κύριε ἐλέησον μ'. Καὶ εἰ ἔστι Τεσσαρακοστὴ· Ὁ ἐν παντὶ καιρῷ. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου

Δημόσια Κεντρική Βιβλιοθήκη Λιμασσόλ - Ιδρυμα Τσιπουρίδη
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

εὐλόγησον, Πάτερ. Ὁ Ἱερεύς: Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς· καὶ τὰς τετυπωμένας μετανοίας. Εἶτα Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστι. Κύριε ἐλέησον ιβ'. καὶ τὴν Εὐχὴν ταύτην:

Παναγία Τριάς, τὸ ὁμοούσιον κράτος, ἡ ἀδιαίρετος βασιλεία, ἡ πάντων τῶν ἀγαθῶν αἰτία, εὐδόκησον καὶ ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ· ςήριξον, συνέτισον τὴν καρδίαν μου, καὶ πᾶσαν περιελέ μου τὴν βεβηλότητα· φώτισόν μου τὴν διάνοιαν, ἵνα διαπαντὸς δοξάζω, ὑμνῶ, προσκυνῶ, καὶ λέγω: Εἷς Ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καὶ μετ' αὐτὴν,

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. Ἐκ τρίτου.

Εἰ δ' οὐκ ἔστι Τεσσαρακοστὴ, μετὰ τὸ: Κύριε ἐλέησον μ'. εὐθὺς τὸ: Εἴη τὸ ὄνομα Κυρίου, ἐκ τρίτου. Δόξα, καὶ νῦν. Εἶτα τὸν ἑπόμενον Ψαλμόν.

## ΨΑΛΜΟΣ λγ'. 33.

Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ, διαπαντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου.

Ἐν τῷ Κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου· ἀκουσάτωσαν πραεῖς, καὶ εὐφρανθήτωσαν.

Μεγαλύνατε τὸν Κύριον σὺν ἐμοὶ, καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό.

Ἐξεζήτησα τὸν Κύριον, καὶ ἐπήκουσέ μου, καὶ ἐκ πασῶν τῶν θλίψεών μου ἐρρύσατό με.

Προσέλθετε πρὸς αὐτὸν, καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ.

Οὗτος ὁ πτωχὸς ἐκέκραξε, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτῷ, καὶ ἐκ πασῶν τῶν θλίψων αὐτῷ ἔσωσεν αὐτόν.

Παρεμβαλεῖ Ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς.

Γεύσασθε καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος· μακάριος ἀνὴρ, ὃς ἐλπίζει ἐπ' αὐτόν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ψηφιακή Βιβλιοθήκη Ληξουρίου - Δημόσιο Ταμείο Τζων Τζανετάτου

Φοβήθητε τὸν Κύριον πάντες οἱ ἅγιοι αὐτοῦ, ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν.

Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν· οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ.

Δεῦτε τέκνα, ἀκούσατέ μου, φόβον Κυρίου διδάξω ὑμᾶς.

Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν, ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς;

Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον.

Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν· ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν.

Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν.

Πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακὰ, τοῦ ἐξολεθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν.

Ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτῶν, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐρρύσατο αὐτούς.

Ἐγγὺς Κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν, καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει.

Πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος.

Φυλάσσει Κύριος πάντα τὰ ὀστᾶ αὐτῶν, ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται.

Θάνατος ἁμαρτωλῶν πονηρὸς, καὶ οἱ μισοῦντες τὸν δίκαιον πλημμελήσουσι.

Λυτρώσεται Κύριος ψυχὰς δούλων αὐτοῦ, καὶ οὐ μὴ πλημμελήσουσι πάντες οἱ ἐλπίζοντες ἐπ' αὐτόν.

Δόξα, καὶ νῦν· καὶ γίνεται ἀπόλυσις.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

## ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΤΡΑΠΕΖΗΣ.

Πρὸ τῆς τροφῆς ὕμνησον αὖθις τὸν Κτίστην.
Ἐλθόντες εἰς τὴν Τράπεζαν, λέγομεν:

### ΨΑΛΜΟΣ ρμδ'. 144.

Ὑψώσω σε, ὁ Θεός μου, ὁ Βασιλεύς μου, καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας.

Γενεὰ καὶ γενεὰ ἐπαινέσει τὰ ἔργα σου, καὶ τὴν δύναμίν σου ἀπαγγελοῦσι.

Τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἁγιωσύνης σου λαλήσουσι, καὶ τὰ θαυμάσιά σου διηγήσονται.

Καὶ τὴν δύναμιν τῶν φοβερῶν σου ἐροῦσι, καὶ τὴν μεγαλωσύνην σου διηγήσονται.

Μνήμην τοῦ πλήθους τῆς χρηστότητός σου ἐξερεύξονται, καὶ τῇ δικαιοσύνῃ σου ἀγαλλιάσονται.

Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος, καὶ πολυέλεος.

Χρηστὸς Κύριος τοῖς σύμπασι, καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ.

Ἐξομολογησάσθωσάν σοι, Κύριε, πάντα τὰ ἔργα σου, καὶ οἱ ὅσιοί σου εὐλογησάτωσάν σε.

Δόξαν τῆς βασιλείας σου ἐροῦσι, καὶ τὴν δυναστείαν σου λαλήσουσιν.

Τοῦ γνωρίσαι τοῖς υἱοῖς τῶν ἀνθρώπων τὴν δυναστείαν σε, καὶ τὴν δόξαν τῆς μεγαλοπρεπείας τῆς βασιλείας σε.

Ἡ βασιλεία σου βασιλεία πάντων τῶν αἰώνων, καὶ ἡ δεσποτεία σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Δράμας
Μουσείο Τυπογραφίας Γαλακτώνος

Πιστὸς Κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.

Ὑποστηρίζει Κύριος πάντας τοὺς καταπίπτοντας, καὶ ἀνορθοῖ πάντας τοὺς κατερραγμένους.

Οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ.

Ἀνοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας.

Δίκαιος Κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.

Ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν, πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ.

Θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει, καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται, καὶ σώσει αὐτούς.

Φυλάσσει Κύριος πάντας τοὺς ἀγαπῶντας αὐτὸν, καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολοθρεύσει.

Αἴνεσιν Κυρίου λαλήσει τὸ στόμα μου, καὶ εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Δόξα, καὶ νῦν. Κύριε ἐλέησον, ἐκ τρίτου. Καὶ ὁ Ἱερεὺς εὐλογῶν τὰ παρατιθέμενα, λέγει τὴν Εὐχὴν τῆς Τραπέζης, πρὸ τοῦ Ἀρίστου:

Χριστὲ ὁ Θεὸς, εὐλόγησον τὴν βρῶσιν καὶ τὴν πόσιν τῶν δούλων σου, ὅτι Ἅγιος εἶ πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετὰ δὲ τὸ γεύσασθαι, ἀνιστάμενοι, καὶ τῷ Θεῷ εὐχαριστοῦντες, λέγομεν:

Εὐλογητὸς ὁ Θεὸς, ὁ ἐλεῶν καὶ τρέφων ἡμᾶς ἐκ νεότητος ἡμῶν· ὁ διδοὺς τροφὴν πάσῃ σαρκὶ, πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν· ἵνα πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες, περισσεύωμεν εἰς πᾶν ἔργον ἀγαθὸν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· μεθ' οὗ σοὶ δόξα πρέπει, κράτος, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δόξα σοι Κύριε, δόξα σοι Ἅγιε, δόξα σοι Βασιλεῦ, ὅτι ἔδωκας ἡμῖν βρώματα εἰς εὐφροσύνην· πλήρωσον ἡμᾶς καὶ Πνεύματος ἁγίου, ἵνα εὑρεθῶμεν ἐνώπιόν σου εὐάρεστοι, καὶ μὴ αἰσχυνθῶμεν, ὅταν ἀποδώσῃς ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

Δόξα, καὶ νῦν. Κύριε ἐλέησον γ'. Καὶ βαλὼν μετάνοιαν ὁ μέλλων ὑψῶσαι τὴν Παναγίαν, λέγει: Εὐλογεῖτε, Πατέρες ἅγιοι, συγχωρήσατέ μοι τῷ ἁμαρτωλῷ. Καὶ ἡμεῖς: Ὁ Θεὸς συγχωρήσαι σοι καὶ ἐλεήσαι σε. Καὶ λαβὼν τὴν Παναγίαν ἄκροις δακτύλοις τῶν χειρῶν, ὑψοῖ αὐτὴν μικρὸν, λέγων μεγαλοφώνως: Μέγα τὸ ὄνομα. Καὶ ἡμεῖς: Τῆς ἁγίας Τριάδος. Καὶ αὐτὸς σαυροειδῶς: Παναγία Θεοτόκε, βοήθει ἡμῖν. Καὶ ἡμεῖς: Ταῖς αὐτῆς πρεσβείαις, ὁ Θεὸς, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Μακαρίζομέν σε πᾶσαι αἱ γενεαὶ, Θεοτόκε Παρθένε· ἐν σοὶ γὰρ ὁ ἀχώρητος Χριστὸς ὁ Θεὸς ἡμῶν χωρηθῆναι εὐδόκησε. Μακάριοι ἐσμὲν καὶ ἡμεῖς προστασίαν σε ἔχοντες· ἡμέρας γὰρ καὶ νυκτὸς πρεσβεύεις ὑπὲρ ἡμῶν, καὶ τὰ σκῆπτρα τῆς Βασιλείας ταῖς σαῖς ἱκεσίαις κρατύνονται. Διὸ ἀνυμνοῦντες βοῶμέν σοι: Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβὶμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφὶμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν· τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν.

Μετὰ δὲ τὸ μεταλαβεῖν πάντας, λέγει ὁ Ἱερεύς:

Εἰς τὰς πολλὰς πρεσβείας τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας.

Καὶ ἡμεῖς:

Ταῖς αὐτῆς πρεσβείαις, ὁ Θεὸς, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ὁ Ἱερεύς:

Ἐλεήμων καὶ οἰκτίρμων ὁ Κύριος, τροφὴν ἔδωκε τοῖς φοβουμένοις αὐτόν· εἰς ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Καὶ ἡμεῖς τὸν Ψαλμόν.

## ΨΑΛΜΟΣ ρκά. 121.

Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι: Εἰς οἶκον Κυρίου πορευσόμεθα.

Ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου, Ἱερουσαλήμ.

Ἱερουσαλὴμ οἰκοδομουμένη ὡς πόλις, ἧς ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό.

Ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυλαὶ, φυλαὶ Κυρίου, μαρτύριον τῷ Ἰσραὴλ, τὸ ἐξομολογήσασθαι τῷ ὀνόματι Κυρίου.

Ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν, θρόνοι ἐπὶ οἶκον Δαυΐδ.

Ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν Ἱερουσαλὴμ, καὶ εὐθηνία τοῖς ἀγαπῶσί σε.

Γενέσθω δὴ εἰρήνη ἐν τῇ δυνάμει σου, καὶ εὐθηνία ἐν ταῖς πυργοβάρεσί σου.

Ἕνεκα τῶν ἀδελφῶν μου καὶ τῶν πλησίον μου ἐλάλουν δὴ εἰρήνην περὶ σοῦ.

Ἕνεκα τοῦ οἴκου Κυρίου τοῦ Θεοῦ ἡμῶν, ἐξεζήτησα ἀγαθά σοι.

Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. Καὶ εἰ μέν ἐστι Δεσποτικὴ Ἑορτὴ, λέγεται τὸ Κοντάκιον αὐτῆς· εἰδ' οὔ, ταῦτα:

Ὡς ἐν μέσῳ τῶν Μαθητῶν σου παρεγένου, Σωτὴρ, τὴν εἰρήνην διδοὺς αὐτοῖς, ἐλθὲ καὶ μεθ' ἡμῶν, καὶ σῶσον ἡμᾶς.

Δόξα. Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν. Καὶ νῦν. Τῇ πρεσβείᾳ Κύριε πάντων τῶν Ἁγίων· ἃ προεγράφησαν (σελ. 92. καὶ 101.). Κύριε ἐλέησον, Κύριε ἐλέησον, Κύριε ἐλέησον. Εὐλόγησον.

Καὶ ὁ Ἱερεὺς λέγει:

Εὐλογητὸς ὁ Θεὸς, ὁ ἐλεῶν καὶ τρέφων ἡμᾶς ἐκ τῶν αὐτοῦ πλουσίων δωρεῶν, τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΠΕΡΙ ΤΗΣ ΥΨΩΣΕΩΣ ΤΗΣ ΠΑΝΑΓΙΑΣ

## Ὅπως γέγονε, καὶ διὰ τί.

Μετὰ τὴν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ Ἀνάστασιν, καὶ τὴν τοῦ ἁγίου Πνεύματος κάθοδον, καὶ ἕως τοῦ μερισμοῦ τῶν ἁγίων Ἀποστόλων διὰ τὸ κήρυγμα, ἦσαν πάντες οἱ Ἀπόστολοι ὁμοθυμαδόν· καὶ μετὰ τὴν εὐχὴν, ἐν τῷ ἀρίστῳ ἀνακεκλιμένοι, ἀφέντες κενὸν τόπον, ἐν τούτῳ προσκεφάλαιον ἐτίθεσαν, καὶ ἐπὶ τῷ προσκεφαλαίῳ τμῆμα ἄρτου, ἐξ οὗ ἤσθιον, εἰς μοῖραν Χριστοῦ. Μετὰ δὲ τὸ ἄριστον ἀνιστάμενοι, καὶ εὐχόμενοι, καὶ εὐχαριστοῦντες, ἐλάμβανον τὸ τμῆμα τοῦ ἄρτου, ὃ εἰς τὴν τοῦ Κυρίου ἐπεκέκλητο μοῖραν· τοῦτο δὲ ὑψοῦντες, ἔλεγον: Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι· Δόξα Πατρὶ, καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι· καὶ ἀντὶ μὲν τοῦ, Μέγα τὸ ὄνομα, τὸ, Χριστὸς ἀνέστη, ἀπὸ τοῦ Πάσχα ἕως τῆς Ἀναλήψεως. Ἔκτοτε δὲ, Μέγα τὸ ὄνομα τῆς ἁγίας Τριάδος· Κύριε Ἰησοῦ Χριστὲ, βοήθει ἡμῖν. Καὶ ταῦτα μὲν ἐτελεῖτο οὕτως. Ἐποίει δὲ τοῦτο καὶ ἕκαστος αὐτῶν ἔνθα ἂν ἔτυχε, μέχρι τῆς Κοιμήσεως τῆς Θεοτόκου. Ὅτε δὲ τὴν παγκόσμιον σύναξιν διὰ νεφελῶν ἐποιήσαντο, διὰ τὴν τῆς Θεοτόκου Δεσποίνης Μετάστασιν, τὰ εἰκότα τελέσαντες, μετὰ τὴν ταφὴν αὐτῆς (δηλονότι τῇ τρίτῃ ἡμέρᾳ), παραμυθίαν ποιούμενοι, καὶ μετὰ τὸ ἄριστον ἀναστάντες, τὸ τμῆμα τοῦ ἄρτου, τοῦ εἰς ὄνομα κειμένου τοῦ Χριστοῦ, κατὰ τὸ εἰωθὸς ἀνυψώσαντες, καὶ τὸ, Μέγα τὸ ὄνομα, προσειπόντες, (ὦ θαύματος παραδόξου!) ἡ νεκρὰ ὥσπερ ζῶσα μετὰ νεφέλης, καὶ φωτοποιῶν Ἀγγέλων παρισταμένων αὐτῇ, τῷ ἀέρι ἐπιφαίνεται, Χαίρετε, λέγουσα, ὅτι μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας· τοῦτο ἐκ τοῦ Υἱοῦ τὸ χαροποιὸν αὐτοῖς ἐπιδιδοῦσα. Οἱ δὲ Μαθηταὶ τοῦ θαύματος ἐκπλαγέντες, ἀντὶ τοῦ, Κύριε Ἰησοῦ Χριστὲ, Παναγία Θεοτόκε, βοήθει ἡμῖν, ἀνεκραύγασαν. Εἶτα τῷ τάφῳ προσελθόντες, καὶ μὴ εὑρόντες τὸ πανάγιον αὐτῆς Σῶμα, ἐπείσθησαν ἀληθῶς, ὅτι σύσσωμος, ζῶσα, καὶ τριήμερος, ὡς ὁ Υἱὸς αὐτῆς, ἐκ νεκρῶν ἀναστᾶσα, καὶ μεταστᾶσα, εἰς οὐρανοὺς μεταβέβηκε, σὺν Χριστῷ βασιλεύουσα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Δωτική Βιβλιοθήκη Λήξουριου – Μουσείο Τυπάλδων Ιακωβάτων

## ΩΡΑ ΕΝΝΑΤΗ.

Μετὰ τὸν Εὐλογητὸν: Βασιλεῦ οὐράνιε. Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστι. Κύριε ἐλέησον ιβ'. Δεῦτε προσκυνήσωμεν, ἐκ τρίτου. Μετανοίας γ'. Εἶτα τοὺς Ψαλμούς.

### ΨΑΛΜΟΣ πγ'. 83.

Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων· ἐπιποθεῖ, καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου.

Ἡ καρδία μου καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ Θεὸν ζῶντα.

Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν, καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει τὰ νοσσία ἑαυτῆς.

Τὰ θυσιαστήριά σου, Κύριε τῶν δυνάμεων, ὁ Βασιλεύς μου καὶ ὁ Θεός μου.

Μακάριοι οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου, εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσί σε.

Μακάριος ἀνήρ, ᾧ ἐστιν ἀντίληψις αὐτῷ παρὰ σοῦ· ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο, εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος, εἰς τὸν τόπον, ὃν ἔθετο.

Καὶ γὰρ εὐλογίας δώσει ὁ νομοθετῶν· πορεύσονται ἐκ δυνάμεως εἰς δύναμιν, ὀφθήσεται ὁ Θεὸς τῶν θεῶν ἐν Σιών.

Κύριε, ὁ Θεὸς τῶν δυνάμεων, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι, ὁ Θεὸς Ἰακώβ.

Ὑπερασπιστὰ ἡμῶν, ἴδε, ὁ Θεός, καὶ ἐπίβλεψον εἰς τὸ πρόσωπον τοῦ χριστοῦ σου.

Ὅτι κρείσσων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας.

Ἐξελεξάμην παραῤῥίπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου μᾶλλον, ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν.

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου
Μουσείο Παραδοσιακού Κοσμήματος

Ὅτι ἔλεος καὶ ἀλήθειαν ἀγαπᾷ Κύριος, ὁ Θεὸς χάριν καὶ δόξαν δώσει· Κύριος οὐ στερήσει τὰ ἀγαθὰ τοῖς πορευομένοις ἐν ἀκακίᾳ.

Κύριε, ὁ Θεὸς τῶν δυνάμεων, μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὲ σέ.

## ΨΑΛΜΟΣ πδ'. 84.

Εὐδόκησας, Κύριε, τὴν γῆν σου, ἀπέστρεψας τὴν αἰχμαλωσίαν Ἰακώβ.

Ἀφῆκας τὰς ἀνομίας τῷ λαῷ σου, ἐκάλυψας πάσας τὰς ἁμαρτίας αὐτῶν.

Κατέπαυσας πᾶσαν τὴν ὀργήν σου, ἀπέστρεψας ἀπὸ ὀργῆς θυμοῦ σου.

Ἐπίστρεψον ἡμᾶς, ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν, καὶ ἀπόστρεψον τὸν θυμόν σου ἀφ' ἡμῶν.

Μὴ εἰς τοὺς αἰῶνας ὀργισθῇς ἡμῖν; ἢ διατενεῖς τὴν ὀργήν σου ἀπὸ γενεᾶς εἰς γενεάν;

Ὁ Θεὸς, σὺ ἐπιστρέψας ζωώσεις ἡμᾶς, καὶ ὁ λαός σου εὐφρανθήσεται ἐπὶ σοί.

Δεῖξον ἡμῖν, Κύριε, τὸ ἔλεός σου, καὶ τὸ σωτήριόν σου δῴης ἡμῖν.

Ἀκούσομαι τί λαλήσει ἐν ἐμοὶ Κύριος ὁ Θεός· ὅτι λαλήσει εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ, καὶ ἐπὶ τοὺς ἐπιστρέφοντας καρδίαν ἐπ' αὐτόν.

Πλὴν ἐγγὺς τῶν φοβουμένων αὐτὸν τὸ σωτήριον αὐτοῦ, τοῦ κατασκηνῶσαι δόξαν ἐν τῇ γῇ ἡμῶν.

Ἔλεος καὶ ἀλήθεια συνήντησαν, δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν.

Ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλε, καὶ δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψε.

Καὶ γὰρ ὁ Κύριος δώσει χρηστότητα, καὶ ἡ γῆ ἡμῶν δώσει τὸν καρπὸν αὐτῆς.

Δικαιοσύνη ἐνώπιον αὐτοῦ προπορεύσεται, καὶ θήσει εἰς ὁδὸν τὰ διαβήματα αὐτοῦ.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Λήξουρίου
Μουσείο Ιππαλόων Ιθακησίων

## ΨΑΛΜΟΣ πέ. 85.

Κλῖνον, Κύριε, τὸ οὖς σου, καὶ ἐπάκουσόν μου, ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ.

Φύλαξον τὴν ψυχήν μου, ὅτι ὅσιός εἰμι· σῶσον τὸν δοῦλόν σου, ὁ Θεός μου, τὸν ἐλπίζοντα ἐπὶ σέ.

Ἐλέησόν με, Κύριε, ὅτι πρὸς σὲ κεκράξομαι ὅλην τὴν ἡμέραν· εὔφρανον τὴν ψυχὴν τοῦ δούλου σου, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ὅτι σὺ, Κύριε, χρηστὸς, καὶ ἐπιεικὴς, καὶ πολυέλεος πᾶσι τοῖς ἐπικαλουμένοις σε.

Ἐνώτισαι, Κύριε, τὴν προσευχήν μου, καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου.

Ἐν ἡμέρᾳ θλίψεώς μου ἐκέκραξα πρὸς σὲ, ὅτι ἐπήκουσάς μου.

Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, Κύριε, καὶ οὐκ ἔστι κατὰ τὰ ἔργα σου.

Πάντα τὰ ἔθνη, ὅσα ἐποίησας, ἥξουσι, καὶ προσκυνήσουσιν ἐνώπιόν σου, Κύριε, καὶ δοξάσουσι τὸ ὄνομά σου.

Ὅτι μέγας εἶ σὺ, καὶ ποιῶν θαυμάσια, σὺ εἶ Θεὸς μόνος.

Ὁδήγησόν με, Κύριε, ἐν τῇ ὁδῷ σου, καὶ πορεύσομαι ἐν τῇ ἀληθείᾳ σου· εὐφρανθήτω ἡ καρδία μου, τοῦ φοβεῖσθαι τὸ ὄνομά σου.

Ἐξομολογήσομαί σοι, Κύριε ὁ Θεός μου, ἐν ὅλῃ καρδίᾳ μου, καὶ δοξάσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα.

Ὅτι τὸ ἔλεός σου μέγα ἐπ' ἐμὲ, καὶ ἐρρύσω τὴν ψυχήν μου ἐξ Ἅδου κατωτάτου.

Ὁ Θεὸς, παράνομοι ἐπανέστησαν ἐπ' ἐμὲ, καὶ συναγωγὴ κραταιῶν ἐζήτησαν τὴν ψυχήν μου, καὶ οὐ προέθεντό σε ἐνώπιον αὐτῶν.

Καὶ σὺ, Κύριε ὁ Θεός μου, οἰκτίρμων καὶ ἐλεήμων, μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινός.

Ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με· δὸς τὸ κράτος σου τῷ παιδί σου, καὶ σῶσον τὸν υἱὸν τῆς παιδίσκης σου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λιξουρίου - Μουσείο Κυπριακών Εκκλησιών

Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθὸν, καὶ ἰδέτωσαν οἱ μισοῦντές με καὶ αἰσχυνθήτωσαν· ὅτι σὺ, Κύριε, ἐβοήθησάς μοι, καὶ παρεκάλεσάς με.

Καὶ πάλιν:

Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθὸν, κ. τ. λ. Δόξα, καὶ νῦν. Ἀλληλούϊα γ'. Κύριε ἐλέησον γ'. Καὶ εἰ μὲν: Θεὸς Κύριος, ἔψαλτο, λέγομεν τὸ τῆς ἡμέρας Ἀπολυτίκιον· εἰδὲ: Ἀλληλούϊα, τὸ παρόν:

Ἦχος πλ. δ'.

Ὁ ἐν τῇ ἐννάτῃ ὥρᾳ δι' ἡμᾶς σαρκὶ τοῦ θανάτου γευσάμενος, νέκρωσον τῆς σαρκὸς ἡμῶν τὸ φρόνημα, Χριστὲ ὁ Θεὸς, καὶ σῶσον ἡμᾶς.

Στίχος α'. Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου, Κύριε, κατὰ τὸ λόγιόν σου συνέτισόν με.

Στίχος β'. Εἰσέλθοι τὸ αἴτημά μου ἐνώπιόν σου, Κύριε, κατὰ τὸ λόγιόν σου ῥῦσαί με.

Δόξα, καὶ νῦν, Θεοτοκίον.

Ὁ δι' ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου, καὶ σταύρωσιν ὑπομείνας ἀγαθὲ ὁ θανάτῳ τὸν θάνατον σκυλεύσας, καὶ ἔγερσιν δείξας ὡς Θεὸς, μὴ παρίδῃς οὓς ἔπλασας τῇ χειρί σου· δεῖξον τὴν φιλανθρωπίαν σου ἐλεήμον, δέξαι τὴν τεκοῦσάν σε Θεοτόκον, πρεσβεύουσαν ὑπὲρ ἡμῶν, καὶ σῶσον, Σωτὴρ ἡμῶν, λαὸν ἀπεγνωσμένον.

Καὶ εὐθύς:

Μὴ δὴ παραδῷς ἡμᾶς εἰς τέλος, διὰ τὸ ὄνομά σου τὸ ἅγιον, καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου, καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ, καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου, καὶ Ἰσραὴλ τὸν ἅγιόν σου.

Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ. Καὶ εἰ μὲν ἐστὶν Ἑορτὴ, λέγε τὸ Κοντάκιον αὐτῆς· εἰδ' ὅ, ταῦτα:

Βλέπων ὁ Λῃστὴς τὸν ἀρχηγὸν τῆς ζωῆς ἐπὶ σταυροῦ κρεμάμενον, ἔλεγεν: Εἰμὴ Θεὸς ὑπῆρχε σαρκωθεὶς, ὁ σὺν ἡμῖν σταυρωθεὶς, οὐκ ἂν ὁ Ἥλιος τὰς ἀκτῖνας ἐναπέκρυψεν, οὐδὲ ἡ γῆ σειομένη ἐκυμαίνετο.

ΔΗΜΟΣΙΕΥΣΕΙΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ἀλλ' ὁ πάντων ἀνεχόμενος, Μνήσθητί μου Κύριε, ἐν τῇ βασιλείᾳ σου.

Δόξα.

Ἐν μέσῳ δύο λῃστῶν, ζυγὸς δικαιοσύνης εὑρέθη ὁ Σταυρός σου· τὸν μὲν, καταγομένου εἰς Ἅδην τῷ βάρει τῆς βλασφημίας· τὸν δὲ, κουφιζομένου πταισμάτων πρὸς γνῶσιν θεολογίας. Χριστὲ ὁ Θεὸς, δόξα σοι.

Καὶ νῦν.

Τὸν Ἀμνὸν καὶ Ποιμένα, καὶ Σωτῆρα τοῦ κόσμου, ἐν τῷ Σταυρῷ θεωροῦσα ἡ τεκοῦσα, ἔλεγε δακρύουσα: Ὁ μὲν κόσμος ἀγάλλεται, δεχόμενος τὴν λύτρωσιν· τὰ δὲ σπλάγχνα μου φλέγονται, ὁρῶσης σου τὴν σαύρωσιν, ἣν ὑπὲρ πάντων ὑπομένεις, ὁ Υἱὸς καὶ Θεός μου.

Κύριε ἐλέησον, μ'. Ὁ ἐν παντὶ καιρῷ. Κύριε ἐλέησον γ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, Πάτερ. Ὁ Ἱερεύς: Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς.

Καὶ εἰ μέν ἐστιν: Ἀλληλούϊα, ἐκτὸς τῆς μεγάλης Τεσσαρακοστῆς, ποιοῦμεν τὰς τετυπωμένας ις'. μετανοίας. Τῇ δὲ ἁγίᾳ καὶ μεγάλῃ Τεσσαρακοστῇ μετὰ τὸ, Κύριε ἐλέησον μ'. λέγομεν εὐθὺς: Δόξα, καὶ νῦν, κ. τ. λ. ᾗ ποιήσαντες τὰς τρεῖς μόνον μεγάλας μετανοίας, ἀρχόμεθα τῶν Μακαρισμῶν, ὡς ἐκεῖ εἴρηται (σελ. 104). Εἰδ' οὐκ ἔστιν Ἀλληλούϊα, μετὰ τὸ: Ὁ Θεὸς οἰκτιρήσαι ἡμᾶς, λέγομεν τὴν Εὐχὴν: Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ, ὁ Θεὸς ἡμῶν. Ὅρα ἔμπροσθεν, σελ. 122.

---

## ΜΕΣΩΡΙΟΝ ΤΗΣ ΕΝΝΑΤΗΣ ΩΡΑΣ.

Δεῦτε προσκυνήσωμεν γ'. Μετανοίας γ'. ᾗ τοὺς Ψαλμούς.

## ΨΑΛΜΟΣ ριβ'. 112.

Αἰνεῖτε παῖδες Κύριον, αἰνεῖτε τὸ ὄνομα Κυρίου. Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ἀπὸ ἀνατολῶν Ἡλίου μέχρι δυσμῶν αἰνετὸν τὸ ὄνομα Κυρίου.

Ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη ὁ Κύριος, ἐπὶ τοὺς οὐρανοὺς ἡ δόξα αὐτοῦ.

Τίς ὡς Κύριος ὁ Θεὸς ἡμῶν; ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ.

Ὁ ἐγείρων ἀπὸ γῆς πτωχὸν, καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα.

Τοῦ καθίσαι αὐτὸν μετὰ ἀρχόντων, μετὰ ἀρχόντων λαοῦ αὐτοῦ.

Ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ, μητέρα ἐπὶ τέκνοις εὐφραινομένην.

## ΨΑΛΜΟΣ ρλζ'. 137.

Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, καὶ ἐναντίον Ἀγγέλων ψαλῶ σοι, ὅτι ἤκουσας πάντα τὰ ῥήματα τοῦ στόματός μου.

Προσκυνήσω πρὸς ναὸν ἅγιόν σου, καὶ ἐξομολογήσομαι τῷ ὀνόματί σε, ἐπὶ τῷ ἐλέει σε καὶ τῇ ἀληθείᾳ σου, ὅτι ἐμεγάλυνας ἐπὶ πᾶν τὸ ὄνομα τὸ ἅγιόν σου.

Ἐξομολογησάσθωσάν σοι, Κύριε, πάντες οἱ βασιλεῖς τῆς γῆς, ὅτι ἤκουσαν πάντα τὰ ῥήματα τοῦ στόματός σε.

Καὶ ᾄσάτωσαν ἐν ταῖς ᾠδαῖς Κυρίου, ὅτι μεγάλη ἡ δόξα Κυρίου.

Ὅτι ὑψηλὸς Κύριος, καὶ τὰ ταπεινὰ ἐφορᾷ, καὶ τὰ ὑψηλὰ ἀπὸ μακρόθεν γινώσκει.

Ἐὰν πορευθῶ ἐν μέσῳ θλίψεως, ζήσεις με· ἐπ' ὀργὴν ἐχθρῶν μου ἐξέτεινας χεῖράς σου, καὶ ἔσωσέ με ἡ δεξιά σου.

Κύριος ἀνταποδώσει ὑπὲρ ἐμοῦ. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

## ΨΑΛΜΟΣ ρλθ'. 139.

Δημόσια Κεντρική Βιβλιοθήκη Δηξουρίου

Ἐξελοῦ με, Κύριε, ἐξ ἀνθρώπου πονηροῦ· ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ

Οἵ τινες ἐλογίσαντο ἀδικίαν ἐν καρδίᾳ, ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους.

Ἠκόνησαν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως, ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν.

Φύλαξόν με, Κύριε, ἐκ χειρὸς ἁμαρτωλοῦ, ἀπὸ ἀνθρώπων ἀδίκων ἐξελοῦ με, οἵ τινες διελογίσαντο τοῦ ὑποσκελίσαι τὰ διαβήματά μου.

Ἔκρυψαν ὑπερήφανοι παγίδα μοι, καὶ σχοινίοις διέτειναν παγίδας τοῖς ποσί μου, ἐχόμενα τρίβου σκάνδαλα ἔθεντό μοι.

Εἶπα τῷ Κυρίῳ: Θεός μου εἶ σύ· ἐνώτισαι, Κύριε, τὴν φωνὴν τῆς δεήσεώς μου.

Κύριε, Κύριε, δύναμις τῆς σωτηρίας μου, ἐπεσκίασας ἐπὶ τὴν κεφαλήν μου ἐν ἡμέρᾳ πολέμου.

Μὴ παραδῷς με, Κύριε, ἀπὸ τῆς ἐπιθυμίας μου ἁμαρτωλῷ· διελογίσαντο κατ' ἐμοῦ, μὴ ἐγκαταλίπῃς με, μήποτε ὑψωθῶσιν.

Ἡ κεφαλὴ τοῦ κυκλώματος αὐτῶν, κόπος τῶν χειλέων αὐτῶν καλύψει αὐτούς.

Πεσοῦνται ἐπ' αὐτοὺς ἄνθρακες, ἐν πυρὶ καταβαλεῖς αὐτούς· ἐν ταλαιπωρίαις οὐ μὴ ὑποστῶσιν.

Ἀνὴρ γλωσσώδης οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς, ἄνδρα ἄδικον κακὰ θηρεύσει εἰς διαφθοράν.

Ἔγνων, ὅτι ποιήσει Κύριος τὴν κρίσιν τῶν πτωχῶν, καὶ τὴν δίκην τῶν πενήτων.

Πλὴν δίκαιοι ἐξομολογήσονται τῷ ὀνόματί σου, καὶ κατοικήσουσιν εὐθεῖς σὺν τῷ προσώπῳ σου.

Δόξα, καὶ νῦν. Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. Καὶ τὰ Τροπάρια ταῦτα:

Ὁ φωτίσας τὰ ἐπίγεια διὰ Σταυροῦ, καὶ καλέσας εἰς μετάνοιαν ἁμαρτωλούς, μὴ χωρίσῃς με τῆς ποίμνης σου, ὁ Ποιμὴν ὁ καλός· ἀλλὰ ζήτησόν με, Δέσποτα, τὸν πλανώμενον, καὶ τῇ ἁγίᾳ σου ποίμνῃ συναρίθμησον, ὡς μόνος ἐλεήμων, καὶ φιλάνθρωπος.

ΑΠΟΣΕΡΒΙΑΔΟΠΚΕΣ

Δόξα.

Ὡς ὁ Λῃστὴς ὁμολογῶν, ἀναβοῶ σοι τῷ ἀγαθῷ: Ἐν τῇ Βασιλείᾳ σου μνήσθητί μου Κύριε, καὶ σὺν αὐτῷ με ἀρίθμησον, ὁ ἑκουσίως τὰ πάθη ὑπὲρ ἡμῶν καταδεξάμενος.

Καὶ νῦν.

Τὸν δι' ἡμᾶς σταυρωθέντα δεῦτε πάντες ὑμνήσωμεν· αὐτὸν γὰρ κατεῖδε Μαρία ἐπὶ τοῦ ξύλου, καὶ ἔλεγεν: Εἰ καὶ σταυρὸν ὑπομένεις, σὺ ὑπάρχεις ὁ Υἱὸς καὶ Θεός μου.

Τὸ, Κύριε ἐλέησον μ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, Πάτερ. Ὁ Ἱερεύς: Δι' εὐχῶν· καὶ ποιοῦμεν τὰς τρεῖς μεγάλας μετανοίας. Εἶτα τὴν ἑπομένην

Εὐχὴν τοῦ Μεγάλου Βασιλείου.

Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ μακροθυμήσας ἐπὶ τοῖς ἡμῶν πλημμελήμασι, καὶ ἄχρι τῆς παρούσης ὥρας ἀγαγὼν ἡμᾶς, ἐν ᾗ ἐπὶ τοῦ ζωοποιοῦ Ξύλου κρεμάμενος, τῷ εὐγνώμονι Λῃστῇ τὴν εἰς τὸν Παράδεισον ὡδοποίησας εἴσοδον, καὶ θανάτῳ τὸν θάνατον ὤλεσας, ἱλάσθητι ἡμῖν τοῖς ἁμαρτωλοῖς, καὶ ἀναξίοις δούλοις σου· ἡμάρτομεν γὰρ καὶ ἠνομήσαμεν, καὶ οὐκ ἐσμὲν ἄξιοι ἆραι τὰ ὄμματα ἡμῶν, καὶ βλέψαι εἰς τὸ ὕψος τοῦ οὐρανοῦ· διότι κατελίπομεν τὴν ὁδὸν τῆς δικαιοσύνης σου, καὶ ἐπορεύθημεν ἐν τοῖς θελήμασι τῶν καρδιῶν ἡμῶν. Ἀλλ' ἱκετεύομεν τὴν σὴν ἀνείκαστον ἀγαθότητα: Φεῖσαι ἡμῶν, Κύριε, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ σῶσον ἡμᾶς διὰ τὸ ὄνομά σου τὸ ἅγιον, ὅτι ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι ἡμῶν. Ἐξελοῦ ἡμᾶς τῆς τοῦ ἀντικειμένου χειρὸς, καὶ ἄφες ἡμῖν τὰ ἁμαρτήματα, καὶ νέκρωσον τὸ σαρκικὸν ἡμῶν φρόνημα· ἵνα τὸν παλαιὸν ἀποθέμενοι ἄνθρωπον, τὸν νέον ἐνδυσώμεθα, καὶ σοὶ ζήσωμεν τῷ ἡμετέρῳ Δεσπότῃ, καὶ κηδεμόνι· καὶ οὕτω τοῖς σοῖς ἀκολουθοῦντες προστάγμασιν, εἰς τὴν αἰώνιον ἀνάπαυσιν καταν-

ΔΗΜΟΣΙΕΥΣΙΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ιστορική Βιβλιοθήκη Α. Βουρού
Μουσείο Ιωάννου Τυπογραφίας

τήσωμεν, ἔνθα πάντων ἐστὶ τῶν εὐφραινομένων ἡ κατοικία. Σὺ γὰρ εἶ ἡ ὄντως ἀληθινὴ εὐφροσύνη καὶ ἀγαλλίασις τῶν ἀγαπώντων σε, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δόξα, καὶ νῦν· καὶ ἀπόλυσις.

## ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΕΣΠΕΡΙΝΟΥ.

Ποιεῖ ὁ Ἱερεὺς Εὐλογητὸν, καὶ ἄρχεται ὁ ταχθεὶς Μοναχὸς, ἢ ὁ Προεστὼς, ἀναγινώσκειν τὸν Προοιμιακὸν Ψαλμὸν, λέγων οὕτω:

Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν τῷ Βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν Χριστῷ τῷ Βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν αὐτῷ Χριστῷ τῷ Βασιλεῖ καὶ Θεῷ ἡμῶν.

### ΨΑΛΜΟΣ ργ΄. 103.

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον. Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα.

Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.

Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν, ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ.

Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.

Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λήξουρίου - Δημοτική Βιβλιοθήκη Αργοστολίου

Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.

Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.

Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά.

Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.

Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα.

Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.

Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει, ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.

Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ· ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.

Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.

Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς, καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.

Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ, καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.

Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας.

Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.

Ὄρη τὰ ὑψηλὰ, ταῖς ἐλάφοις πέτρα, καταφυγὴ τοῖς λαγωοῖς.

Ἐποίησε Σελήνην εἰς καιρούς· ὁ Ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.

Ἔθου σκότος, καὶ ἐγένετο νύξ, ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.

Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι, καὶ ζητῆσαι παρὰ τοῦ Θεοῦ βρῶσιν αὐτοῖς.

Ἀνέτειλεν ὁ Ἥλιος καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Λήξουριου

Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας· ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.

Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος· ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός, ζῶα μικρὰ μετὰ μεγάλων.

Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ.

Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον· δόντος σου αὐτοῖς, συλλέξουσιν.

Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος· ἀποστρέψαντός σου τὸ πρόσωπον, ταραχθήσονται.

Ἀνταναλεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.

Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας· εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν, ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται.

Ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.

Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν:

Ὁ Ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ· ἔθου σκότος, καὶ ἐγένετο νύξ.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἐκ γ'.

Μετὰ δὲ τὸ ἐνδιάστακτον Κάθισμα τοῦ Ψαλτηρίου, ἀρχόμεθα τοῦ: Κύριε, ἐκέκραξα, εἰς τὸν τυχόντα Ἦχον.

## ΨΑΛΜΟΣ ρμ΄. 140.

Κύριε, ἐκέκραξα πρὸς σὲ, εἰσάκουσόν μου, εἰσάκουσόν μου, Κύριε. Κύριε, ἐκέκραξα πρὸς σὲ, εἰσάκουσόν μου· πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρὸς σέ· εἰσάκουσόν μου, Κύριε.

Κατευθυνθήτω ἡ προσευχή μου, ὡς θυμίαμα ἐνώπιόν σου· ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή· εἰσάκουσόν μου, Κύριε.

Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου.

Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας, τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις.

Σὺν ἀνθρώποις ἐργαζομένοις τὴν ἀνομίαν, καὶ οὐ μὴ συνδυάσω μετὰ τῶν ἐκλεκτῶν αὐτῶν.

Παιδεύσει με δίκαιος ἐν ἐλέει, καὶ ἐλέγξει με· ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου.

Ὅτι ἔτι καὶ ἡ προσευχή μου ἐν ταῖς εὐδοκίαις αὐτῶν· κατεπόθησαν ἐχόμενα πέτρας οἱ κριταὶ αὐτῶν·

Ἀκούσονται τὰ ῥήματά μου, ὅτι ἠδύνθησαν· ὡσεὶ πάχος γῆς ἐρῥάγη ἐπὶ τῆς γῆς, διεσκορπίσθη τὰ ὀστᾶ αὐτῶν παρὰ τὸν Ἅδην.

Ὅτι πρὸς σὲ Κύριε, Κύριε, οἱ ὀφθαλμοί μου, ἐπὶ σοὶ ἤλπισα, μὴ ἀντανέλῃς τὴν ψυχήν μου.

Φύλαξόν με ἀπὸ παγίδος, ἧς συνεστήσαντό μοι, καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν.

Πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτῶν οἱ ἁμαρτωλοί, κατὰ μόνας εἰμὶ ἐγὼ, ἕως ἂν παρέλθω.

ἀμμά. Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς Κύριον ἐδεήθην.
141.

Ἐκχεῶ ἐνώπιον αὐτοῦ τὴν δέησίν μου, τὴν θλῖψιν μου ἐνώπιον αὐτοῦ ἀπαγγελῶ.

Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου, καὶ σὺ ἔγνως τὰς τρίβους μου.

Ἐν ὁδῷ ταύτῃ, ᾗ ἐπορευόμην, ἔκρυψαν παγίδα μοι.

Κατενόουν εἰς τὰ δεξιὰ καὶ ἐπέβλεπον, καὶ οὐκ ἦν ὁ ἐπιγινώσκων με.

Ἀπώλετο φυγὴ ἀπ' ἐμοῦ, καὶ οὐκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυχήν μου.

Ἐκέκραξα πρὸς σὲ Κύριε· εἶπα: Σὺ εἶ ἡ ἐλπίς μου, μερίς μου εἶ ἐν γῇ ζώντων.

Πρόσχες πρὸς τὴν δέησίν μου, ὅτι ἐταπεινώθην σφόδρα. Ῥῦσαί με ἐκ τῶν καταδιωκόντων με, ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ.

## Εἰς Στίχους ί.

Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου.

Ἐμὲ ὑπομενοῦσι δίκαιοι, ἕως οὗ ἀνταποδῷς μοι.

## Εἰς Στίχους ή.

Ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε· Κύριε, εἰσάκουσον τῆς φωνῆς μου. Ψαλμ. ρκθ'. 129.

Γενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου.

## Εἰς Στίχους ς'.

Ἐὰν ἀνομίας παρατηρήσῃς Κύριε, Κύριε, τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν.

Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε· ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον.

## Εἰς Στίχους δ'.

Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτὸς, ἀπὸ φυλακῆς πρωΐας, ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.

Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις· καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί. Ψαλμ. ρις'. 116.

Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα.

Δόξα, καὶ νῦν. Ἰακωβάτων

δὲ τὴν τῶν Στίχων συμπλήρωσιν, ψάλλομεν

ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημοσιευμένη Βιβλιοθήκη Αξιούριου - Μουσείο Παλαιών Ιακωβάτων

## ΤΗΝ ΕΠΙΛΥΧΝΙΟΝ ΕΥΧΑΡΙΣΤΙΑΝ.

Ποίημα παλαιὸν, ἤ, ὥς τινες λέγουσιν, Ἀθηνογένους τοῦ Μάρτυρος (*).

Φῶς ἱλαρὸν ἁγίας δόξης ἀθανάτου Πατρὸς, οὐρανίου, Ἁγίου, Μάκαρος, Ἰησοῦ Χριστὲ, ἐλθόντες ἐπὶ τὴν Ἡλίου δύσιν, ἰδόντες φῶς ἑσπερινὸν, ὑμνοῦμεν Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα, Θεόν. Ἄξιόν σε ἐν πᾶσι καιροῖς ὑμνεῖσθαι φωναῖς αἰσίαις, Υἱὲ Θεοῦ, ζωὴν ὁ διδούς· διὸ ὁ κόσμος σὲ δοξάζει.

Καὶ εἰ μέν ἐσι: Θεὸς Κύριος, ψάλλονται τὰ Προκείμ. ταῦτα:

Τῇ Κυριακῇ, ἑσπέρας. Ἦχος πλ. δ'.

Ἰδὲ δὴ εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ δοῦλοι Κυρίου. Στίχ. Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.

Τῇ Δευτέρᾳ, ἑσπέρας. Ἦχος δ'.

Κύριος εἰσακούσεταί μου, ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν. Στίχος. Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου, ὁ Θεὸς τῆς δικαιοσύνης μου.

Τῇ Τρίτῃ, ἑσπέρας. Ἦχος ά.

Τὸ ἔλεός σου, Κύριε, καταδιώξει με, πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. Στίχος. Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει.

Τῇ Τετάρτῃ, ἑσπέρας. Ἦχος πλ. ά.

Ὁ Θεὸς, ἐν τῷ ὀνόματί σου σῶσόν με, καὶ ἐν τῇ δυνάμει σου κρινεῖς με. Στίχος. Ὁ Θεὸς, εἰσάκουσον τῆς προσευχῆς μου.

Τῇ Πέμπτῃ, ἑσπέρας. Ἦχος πλ. β.

Ἡ βοήθειά μου παρὰ Κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν. Στίχος. Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.

(*) Βασίλ. ὁ Μέγ. Κεφ. κδ'. περὶ τοῦ ἁγίου Πνεύματος. Ἰδὲ Μαρτίου 11.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τῇ Παρασκευῇ, ἑσπέρας. Ἦχος βαρύς.

Ὁ Θεὸς ἀντιλήπτωρ μου εἶ, τὸ ἔλεός σου προφθάσει με.

Στίχος. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεός.

Τῷ Σαββάτῳ, ἑσπέρας. Ἦχος πλ. β΄.

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο.

Στίχος. Ἐνεδύσατο ὁ Κύριος δύναμιν, καὶ περιεζώσατο.

Στίχος. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.

Εἰ δέ ἐστιν: Ἀλληλούϊα (ἐκτὸς τῆς μεγάλης Τεσσαρακοστῆς), τῇ μὲν Κυριακῇ καὶ Παρασκευῇ ἑσπέρας, ψάλλεται ἀείποτε τὸ τῆς ἡμέρας Προκείμενον, ἤγουν τὸ: Ἴδου δὴ εὐλογεῖτε τὸν Κύριον· καὶ τὸ: Ὁ Θεὸς ἀντιλήπτωρ μου εἶ· ταῖς δὲ λοιπαῖς ἡμέραις, τὸ ἑξῆς:

Τῇ Δευτέρᾳ, ἑσπέρας. Ἀλληλούϊα γ΄. εἰς Ἦχον πλ. β΄.

Στίχ. Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με.

Στίχ. Καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Τῇ Τρίτῃ, καὶ Πέμπτῃ ἑσπέρας. Ἀλληλούϊα γ΄.

Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

Στίχ. Καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Τῇ Τετάρτῃ ἑσπέρας. Ἀλληλούϊα γ΄.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν.

Στίχ. Καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἐν δὲ τῇ μεγάλῃ Τεσσαρακοστῇ, τῇ μὲν Κυριακῇ ἑσπέρας, ψάλλονται τὰ λεγόμενα μεγάλα Προκείμενα, ὡς δηλωθήσεται ἐν τοῖς τοῦ Τριῳδίου· ταῖς δὲ λοιπαῖς ἡμέραις, τὰ Προκείμενα τῶν καθ' ἑκάστην Ἀναγνωσμάτων.

Μετὰ δὲ τὰ Προκείμενα, λέγε τὴν Εὐχὴν ταύτην:

Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά

σου. Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα τὰ Ἀπόστιχα, ἐν οἷς λέγομεν Στίχους τῆς τυχούσης Ἑορτῆς, ἐὰν ᾖ· εἰ δ' οὐκ ἔστιν Ἑορτὴ, τοὺς παρόντας:

Στίχος ά.

Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου, τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ. Ἰδὲ, ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν· ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς, ἕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, ἕως οὗ οἰκτειρήσαι ἡμᾶς.

Στίχος β'.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς· ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν ἐξουδενώσεως, ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν· τὸ ὄνειδος τοῖς εὐθηνοῦσι, καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις. Δόξα, καὶ νῦν.

Συμπληρωθέντων δὲ τῶν Ἀποστίχων, λέγομεν τὴν Ὠδὴν Συμεὼν τοῦ Θεοδόχου. Λουκ. β'. 29.

Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν· φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστι. Τὸ Ἀπολυτίκιον τῆς τυχούσης Ἑορτῆς, ἢ τῆς ἡμέρας. Δόξα, καὶ νῦν. Θεοτοκίον, καὶ ἀπόλυσις. Εἰ δέ ἐστιν· Ἀλληλούϊα, λέγομεν τὰ Τροπάρια ταῦτα, ποιοῦντες καὶ ἀνὰ μίαν μετάνοιαν εἰς ἕκαστον αὐτῶν, πλὴν τοῦ τελευταίου.

Ἦχος πλ. ά.

Θεοτόκε Παρθένε, Χαῖρε κεχαριτωμένη Μαρία, ὁ Κύριος μετὰ σοῦ· εὐλογημένη σὺ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου – Μουσείο Τυπογραφείου Κεφαλληνίας

ἐν γυναιξὶ, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου, ὅτι Σωτῆρα ἔτεκες τῶν ψυχῶν ἡμῶν.

Βαπτιστὰ τοῦ Χριστοῦ, πάντων ἡμῶν μνήσθητι, ἵνα ῥυσθῶμεν τῶν ἀνομιῶν ἡμῶν· σοὶ γὰρ ἐδόθη χάρις πρεσβεύειν ὑπὲρ ἡμῶν. Δόξα.

Ἱκετεύσατε ὑπὲρ ἡμῶν, ἅγιοι Ἀπόστολοι, καὶ Ἅγιοι πάντες, ἵνα ῥυσθῶμεν κινδύνων καὶ θλίψεων· ὑμᾶς γὰρ θερμοὺς προστάτας πρὸς τὸν Σωτῆρα κεκτήμεθα. Καὶ νῦν.

Ὑπὸ τὴν σὴν εὐσπλαγχνίαν καταφεύγομεν Θεοτόκε· τὰς ἡμῶν ἱκεσίας μὴ παρίδῃς ἐν περιστάσει, ἀλλ' ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, μόνη ἁγνὴ, μόνη εὐλογημένη.

Κύριε ἐλέησον μ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ὁ Ἱερεύς: Ὁ ὢν εὐλογητὸς, Χριστὸς ὁ Θεὸς ἡμῶν. Καὶ ἡμεῖς στερεοῦμεν τοὺς Βασιλεῖς, λέγοντες:

Ἐπουράνιε Βασιλεῦ, τοὺς πιστοὺς Βασιλεῖς ἡμῶν στερέωσον· τὴν Πίστιν ςήριξον· τὰ ἔθνη πράϋνον· τὸν κόσμον εἰρήνευσον· τὴν ἁγίαν Μονὴν ταύτην (ἢ τὴν πόλιν ταύτην) καλῶς διαφύλαξον· τοὺς προαπελθόντας πατέρας καὶ ἀδελφοὺς ἡμῶν ἐν σκηναῖς δικαίων τάξον καὶ ἡμᾶς ἐν μετανοίᾳ καὶ ἐξομολογήσει παράλαβε, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Τὰς τρεῖς μεγάλας μετανοίας, καὶ ἀπόλυσις.

Εἰδέ ἐστι μεγάλη Τεσσαρακοστὴ, ποιοῦμεν πάσας τὰς τετυπωμένας ις'. Εἶτα, Τρισάγιον, κ.τ.λ. Κύριε ἐλέησον ιβ. καὶ τὴν παροῦσαν Εὐχήν:

Παναγία Τριὰς, τὸ ὁμοούσιον κράτος, ἡ ἀδιαίρετος βασιλεία, ἡ πάντων τῶν ἀγαθῶν αἰτία, εὐδόκησον δὴ καὶ ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ· στήριξον, συνέτισον τὴν καρδίαν μου, καὶ πᾶσαν περιελέμου τὴν βεβηλότητα· φώτισόν μου τὴν διάνοιαν, ἵνα διαπαντὸς δοξάζω, ὑμνῶ, προσκυνῶ, καὶ λέγω: Εἷς Ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον, ἀπὸ τοῦ νῦν καὶ

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Δήμου Μυτιλήνης - Τοπικό Ιδρυμα Κληρονομιάς

ἕως τοῦ αἰῶνος· ἐκ τρίτου. Δόξα, καὶ νῦν· τὸ, Εὐλογήσω τὸν Κύριον· καὶ τὸ, Ὑψώσω σε ὁ Θεός μου. Ὅρα σελ. 108-110. Καὶ μετὰ ταῦτα γίνεται τελεία ἀπόλυσις.

---

## ΕΥΧΗ ΤΗΣ ΤΡΑΠΕΖΗΣ ΠΡΟ ΤΟΥ ΔΕΙΠΝΟΥ.

Φάγονται πένητες, καὶ ἐμπλησθήσονται· καὶ αἰνέσουσι Κύριον οἱ ἐκζητοῦντες αὐτόν· ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος.

Δόξα, καὶ νῦν· καὶ εὐλογεῖ ὁ Ἱερεὺς τὴν τράπεζαν. Μετὰ δὲ τὸ φαγεῖν: Δόξα, καὶ νῦν· καὶ ὑψοῖ τὴν Παναγίαν. Καὶ ἡμεῖς: Ταῖς αὐτῆς πρεσβείαις ὁ Θεὸς ἐλέησον, καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Γέγονεν ἡ κοιλία σου ἁγία τράπεζα, ἔχουσα τὸν οὐράνιον ἄρτον, Χριστὸν τὸν Θεὸν ἡμῶν, ἐξ οὗ πᾶς ὁ τρώγων οὐ θνήσκει, ὡς ἔφησεν ὁ τοῦ παντὸς, Θεογεννήτωρ, τροφεύς.

Τῶν σῶν δωρεῶν ἀξίους ἡμᾶς ποίησον, Θεοτόκε Παρθένε, παρορῶσα τὰ πλημμελήματα ἡμῶν, καὶ παρέχουσα ἰάματα, τοῖς ἐν πίστει λαμβάνουσι τὴν εὐλογίαν σου, Ἄχραντε.

Καὶ ψάλλομεν τὸ, Ἄξιόν ἐστιν ὡς ἀληθῶς. Εἶτα:

Εὔφρανας ἡμᾶς, Κύριε, ἐν τοῖς ποιήμασί σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σε ἠγαλλιασάμεθα. Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τὸ προσώπου σε, Κύριε· ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου. Ἀπὸ καρποῦ σίτου, οἴνου, καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν. Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω· ὅτι σὺ, Κύριε, κατὰ μόνας ἐπ' ἐλπίδι κατῴκισάς με.

Δόξα, καὶ νῦν. Ὁ Ἱερεύς:

Μεθ' ἡμῶν ὁ Θεὸς τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημοσία Κεντρική Βιβλιοθήκη Λήξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

## ΑΠΟΔΕΙΠΝΟΝ ΜΕΓΑ.

Μετὰ τὸν Εὐλογητὸν: Βασιλεῦ Οὐράνιε. Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστι. Κύριε ἐλέησον ιβ'. τὸ, Δεῦτε προσκυνήσωμεν, ἐκ γ'. Μετανοίας γ'. καὶ εὐθὺς, εἰ μέν ἐστι πρώτη Ἑβδομὰς τῆς μεγάλης Τεσσαρακοστῆς, ἀρχόμεθα τοῦ: Ὁ Θεὸς, εἰς τὴν βοήθειάν μου πρόσχες· καὶ πληρουμένου τούτου, ψάλλομεν τὸν Μέγαν Κανόνα (*). Εἰδ' οὔ, ἀρχόμεθα οὕτως:

### ΨΑΛΜΟΣ δ'. 4.

Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου, ὁ Θεὸς τῆς δικαιοσύνης μου, ἐν θλίψει ἐπλάτυνάς με.

Οἰκτείρησόν με, καὶ εἰσάκουσον τῆς προσευχῆς μου.

Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; ἵνα τί ἀγαπᾶτε ματαιότητα, καὶ ζητεῖτε ψεῦδος;

Καὶ γνῶτε, ὅτι ἐθαυμάστωσε Κύριος τὸν ὅσιον αὐτοῦ· Κύριος εἰσακούσεταί μου ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν.

Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε· ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε.

Θύσατε θυσίαν δικαιοσύνης, καὶ ἐλπίσατε ἐπὶ Κύριον. Πολλοὶ λέγουσι: Τίς δείξει ἡμῖν τὰ ἀγαθά;

Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε· ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου.

Ἀπὸ καρποῦ σίτου, οἴνου, καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν.

Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω.

Ὅτι σὺ Κύριε, κατὰ μόνας ἐπ' ἐλπίδι κατῴκισάς με.

---

(*) Ὁ Μέγας οὗτος Κανὼν ψάλλεται συνήθως τὴν σήμερον, σχεδὸν ὑπὸ πάντων, μετὰ τό, Δόξα ἐν ὑψίστοις Θεῷ. Ὅρα ἐν τοῖς ἔμπροσθεν.

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

## ΨΑΛΜΟΣ ς'. 6.

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

Ἐλέησόν με, Κύριε, ὅτι ἀσθενής εἰμι· ἴασαί με, Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου, καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα· καὶ σὺ, Κύριε, ἕως πότε;

Ἐπίστρεψον, Κύριε, ῥῦσαι τὴν ψυχήν μου· σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου.

Ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου· ἐν δὲ τῷ Ἅδῃ τίς ἐξομολογήσεταί σοι;

Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω.

Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου, ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου.

Ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ὅτι εἰσήκουσε Κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου.

Ἤκουσε Κύριος τῆς δεήσεώς μου, Κύριος τὴν προσευχήν μου προσεδέξατο.

Αἰσχυνθείησαν, καὶ ταραχθείησαν πάντες οἱ ἐχθροί μου, ἀποστραφείησαν, καὶ καταισχυνθείησαν σφόδρα διὰ τάχους.

## ΨΑΛΜΟΣ ιβ'. 12.

Ἕως πότε, Κύριε, ἐπιλήσῃ μου εἰς τέλος; ἕως πότε ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ;

Ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου, ὀδύνας ἐν καρδίᾳ μου, ἡμέρας καὶ νυκτός;

Ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ' ἐμέ; Ἐπίβλεψον, εἰσάκουσόν μου, Κύριε ὁ Θεός μου.

Φώτισον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον· μήποτε εἴπῃ ὁ ἐχθρός μου· Ἴσχυσα πρὸς αὐτόν.

Οἱ θλίβοντές με ἀγαλλιάσονται, ἐὰν σαλευθῶ· ἐγὼ δὲ ἐπὶ τῷ ἐλέει σου ἤλπισα.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

Ἀγαλλιάσεται ἡ καρδία μου ἐπὶ τῷ σωτηρίῳ σου· ᾄσω τῷ Κυρίῳ τῷ εὐεργετήσαντί με, καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ Ὑψίστου. Καὶ πάλιν.

Ἐπίβλεψον, εἰσάκουσόν μου, Κύριε ὁ Θεός μου.

Φώτισον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον, μήποτε εἴπῃ ὁ ἐχθρός μου: Ἴσχυσα πρὸς αὐτόν.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἐκ γ'.

Μετανοίας γ'. Κύριε ἐλέησον γ'. Δόξα, καὶ νῦν.

## ΨΑΛΜΟΣ κδ'. 24.

Πρὸς σέ, Κύριε, ἦρα τὴν ψυχήν μου· ὁ Θεός μου, ἐπὶ σοὶ πέποιθα· μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα.

Μὴ δὲ καταγελασάτωσάν με οἱ ἐχθροί μου· καὶ γὰρ πάντες οἱ ὑπομένοντές σε οὐ μὴ καταισχυνθῶσιν.

Αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες διακενῆς. Τὰς ὁδούς σου, Κύριε, γνώρισόν μοι, καὶ τὰς τρίβους σου δίδαξόν με.

Ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου, καὶ δίδαξόν με, ὅτι σὺ εἶ ὁ Θεὸς ὁ σωτήρ μου, καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν.

Μνήσθητι τῶν οἰκτιρμῶν σου, Κύριε, καὶ τὰ ἐλέησόν σου, ὅτι ἀπὸ τοῦ αἰῶνός εἰσίν.

Ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου μὴ μνησθῇς.

Κατὰ τὸ ἔλεός σου μνήσθητί μου σὺ, ἕνεκεν τῆς χρηστότητός σου, Κύριε.

Χρηστὸς καὶ εὐθὺς ὁ Κύριος· διὰ τοῦτο νομοθετήσει ἁμαρτάνοντας ἐν ὁδῷ.

Ὁδηγήσει πραεῖς ἐν κρίσει, διδάξει πραεῖς ὁδοὺς αὐτοῦ.

Πᾶσαι αἱ ὁδοὶ Κυρίου ἔλεος καὶ ἀλήθεια, τοῖς ἐκζητοῦσι τὴν διαθήκην αὐτοῦ, καὶ τὰ μαρτύρια αὐτοῦ.

Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, καὶ ἱλάσθητι τῇ ἁμαρτίᾳ μου, πολλὴ γάρ ἐστιν.

Τίς ἐστιν ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον; νομοθετήσει αὐτῷ ἐν ὁδῷ, ᾗ ᾑρετίσατο.

Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται, καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει γῆν.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ

Κραταίωμα Κύριος τῶν φοβουμένων αὐτὸν, καὶ ἡ διαθήκη αὐτοῦ δηλώσει αὐτοῖς.

Οἱ ὀφθαλμοί μου διαπαντὸς πρὸς τὸν Κύριον, ὅτι αὐτὸς ἐκσπάσει ἐκ παγίδος τοὺς πόδας μου.

Ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με, ὅτι μονογενὴς καὶ πτωχός εἰμι ἐγώ.

Αἱ θλίψεις τῆς καρδίας μου ἐπληθύνθησαν· ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με.

Ἴδε τὴν ταπείνωσίν μου, καὶ τὸν κόπον μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου.

Ἴδε τοὺς ἐχθρούς μου, ὅτι ἐπληθύνθησαν, καὶ μῖσος ἄδικον ἐμίσησάν με.

Φύλαξον τὴν ψυχήν μου, καὶ ῥῦσαί με· μὴ καταισχυνθείην, ὅτι ἤλπισα ἐπὶ σέ.

Ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι, ὅτι ὑπέμεινάσε, Κύριε.

Λύτρωσαι, ὁ Θεὸς, τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ.

## ΨΑΛΜΟΣ λ'. 30.

Ἐπὶ σοὶ, Κύριε, ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα· ἐν τῇ δικαιοσύνῃ σε ῥῦσαί με, καὶ ἐξελοῦ με.

Κλῖνον πρός με τὸ οὖς σε, τάχυνον τοῦ ἐξελέσθαι με.

Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστὴν, καὶ εἰς οἶκον καταφυγῆς τοῦ σῶσαί με.

Ὅτι κραταίωμά μου, καὶ καταφυγή μου εἶ σὺ, καὶ ἕνεκεν τοῦ ὀνόματός σε ὁδηγήσεις με, καὶ διαθρέψεις με.

Ἐξάξεις με ἐκ παγίδος ταύτης, ἧς ἔκρυψάν μοι, ὅτι σὺ εἶ ὁ ὑπερασπιστής μου, Κύριε.

Εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου· ἐλυτρώσω με, Κύριε, ὁ Θεὸς τῆς ἀληθείας.

Ἐμίσησας τοὺς διαφυλάσσοντας ματαιότητας διακενῆς.

Ἐγὼ δὲ ἐπὶ τῷ Κυρίῳ ἤλπισα, ἀγαλλιάσομαι καὶ εὐφρανθήσομαι ἐπὶ τῷ ἐλέει σου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου

Ὅτι ἐπεῖδες ἐπὶ τὴν ταπείνωσίν μου, ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου.

Καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθρῶν, ἔστησας ἐν εὐρυχώρῳ τοὺς πόδας μου.

Ἐλέησόν με, Κύριε, ὅτι θλίβομαι· ἐταράχθη ἐν θυμῷ ὁ ὀφθαλμός μου, ἡ ψυχή μου, καὶ ἡ γαστήρ μου.

Ὅτι ἐξέλιπεν ἐν ὀδύνῃ ἡ ζωή μου, καὶ τὰ ἔτη μου ἐν στεναγμοῖς.

Ἠσθένησεν ἐν πτωχείᾳ ἡ ἰσχύς μου, καὶ τὰ ὀστᾶ μου ἐταράχθησαν.

Παρὰ πάντας τοὺς ἐχθρούς μου ἐγενήθην ὄνειδος, καὶ τοῖς γείτοσί μου σφόδρα, καὶ φόβος τοῖς γνωστοῖς μου.

Οἱ θεωροῦντές με ἔξω ἔφυγον ἀπ' ἐμοῦ, ἐπελήσθην ὡσεὶ νεκρὸς ἀπὸ καρδίας.

Ἐγενήθην ὡσεὶ σκεῦος ἀπολωλός· ὅτι ἤκουσα ψόγον πολλῶν παροικούντων κυκλόθεν.

Ἐν τῷ ἐπισυναχθῆναι αὐτοὺς ἅμα ἐπ' ἐμὲ, τοῦ λαβεῖν τὴν ψυχήν μου ἐβουλεύσαντο.

Ἐγὼ δὲ ἐπὶ σοὶ, Κύριε, ἤλπισα· εἶπα: Σὺ εἶ ὁ Θεός μου· ἐν ταῖς χερσί σου οἱ κλῆροί μου.

Ῥῦσαί με ἐκ χειρὸς ἐχθρῶν μου, καὶ ἐκ τῶν καταδιωκόντων με.

Ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν σου, σῶσόν με ἐν τῷ ἐλέει σου· Κύριε, μὴ καταισχυνθείην, ὅτι ἐπεκαλεσάμην σε.

Αἰσχυνθείησαν ἀσεβεῖς, καὶ καταχθείησαν εἰς Ἅδου.

Ἀλαλα γενηθήτω τὰ χείλη τὰ δόλια, τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν, ἐν ὑπερηφανίᾳ καὶ ἐξουδενώσει.

Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου, Κύριε, ἣν ἔκρυψας τοῖς φοβουμένοις σε.

Ἐξεργάσω τοῖς ἐλπίζουσιν ἐπὶ σὲ, ἐναντίον τῶν υἱῶν τῶν ἀνθρώπων.

Κατακρύψεις αὐτοὺς ἐν ἀποκρύφῳ τοῦ προσώπου σου, ἀπὸ ταραχῆς ἀνθρώπων.

Σκεπάσεις αὐτὰς ἐν σκηνῇ ἀπὸ ἀντιλογίας γλωσσῶν.

ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
Ψηφιακή Βιβλιοθήκη Θ. Σοφουλάκη - Μουσείο Τυπάλδων Ιακώβατων

Εὐλογητὸς Κύριος, ὅτι ἐθαυμάστωσε τὸ ἔλεος αὐτοῦ ἐν πόλει περιοχῆς.

Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου: Ἀπέῤῥιμμαι ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου.

Διὰ τοῦτο εἰσήκουσας τῆς φωνῆς τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρὸς σέ.

Ἀγαπήσατε τὸν Κύριον πάντες οἱ ὅσιοι αὐτοῦ, ὅτι ἀληθείας ἐκζητεῖ Κύριος, καὶ ἀνταποδίδωσι τοῖς περισσῶς ποιοῦσιν ὑπερηφανίαν.

Ἀνδρίζεσθε, καὶ κραταιούσθω ἡ καρδία ὑμῶν, πάντες οἱ ἐλπίζοντες ἐπὶ Κύριον.

## ΨΑΛΜΟΣ μ'. 90.

Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου, ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται.

Ἐρεῖ τῷ Κυρίῳ: Ἀντιλήπτωρ μου εἶ, καὶ καταφυγή μου, ὁ Θεός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν.

Ὅτι αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν, καὶ ἀπὸ λόγου ταραχώδους.

Ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι, καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς· ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ.

Οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας.

Ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, ἀπὸ συμπτώματος δαιμονίου μεσημβρινοῦ.

Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιὰς, καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ.

Πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει.

Ὅτι σύ, Κύριε, ἡ ἐλπίς μου· τὸν Ὕψιστον ἔθου καταφυγήν σου.

Οὐ προσελεύσεται πρὸς σὲ κακὰ, καὶ μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ σκηνώματί σου.

Ὅτι τοῖς Ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λήξουρίου - Μουσείο Τυπογραφών Ιακωβάτων

Ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.

Ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα.

Ὅτι ἐπ' ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν· σκεπάσω αὐτὸν, ὅτι ἔγνω τὸ ὄνομά μου.

Κεκράξεται πρός με, καὶ ἐπακούσομαι αὐτῷ, μετ' αὐτοῦ εἰμι ἐν θλίψει· ἐξελοῦμαι αὐτὸν, καὶ δοξάσω αὐτόν.

Μακρότητα ἡμερῶν ἐμπλήσω αὐτὸν, καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἐκ γ'. Κύριε ἐλέησον γ'. καὶ πάλιν: Δόξα, καὶ νῦν. Εἶτα τοὺς ἑφεξῆς Στίχους, χύμα καὶ ἄνευ μέλους, εἰ ἔστιν ἐκτὸς τῆς μεγάλης Τεσσαρακοστῆς· ἐν ταύτῃ δὲ ψάλλομεν αὐτοὺς ἐξ ἑκατέρων τῶν Χορῶν, ἀργῶς καὶ μεγάλῃ τῇ φωνῇ. Ἄρχεται δὲ ὁ πρῶτος Χορὸς οὕτω:

Μεθ' ἡμῶν ὁ Θεὸς, γνῶτε ἔθνη καὶ ἡττᾶσθε.

Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Ἐπακούσατε ἕως ἐσχάτου τῆς γῆς.

Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Ἰσχυκότες ἡττᾶσθε.

Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Ἐὰν γὰρ πάλιν ἰσχύσητε, καὶ πάλιν ἡττηθήσεσθε.

Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Καὶ ἣν ἂν βουλὴν βουλεύσησθε, διασκεδάσει Κύριος.

Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Καὶ λόγον ὃν ἐὰν λαλήσητε, οὐ μὴ ἐμμείνῃ ἐν ὑμῖν.

Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Τὸν δὲ φόβον ὑμῶν οὐ μὴ φοβηθῶμεν, οὐδ' οὐ μὴ ταραχθῶμεν.

Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Κύριον δὲ τὸν Θεὸν ἡμῶν αὐτὸν ἁγιάσωμεν, καὶ αὐτὸς ἔσται ἡμῖν φόβος.

Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Καὶ ἐὰν ἐπ' αὐτῷ πεποιθὼς ὦ, ἔσται μοι εἰς ἁγιασμόν.

Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημοτική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Λιθογραφίας Ιακωβάτων

Καὶ πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ, καὶ σωθήσομαι δι' αὐτοῦ.

Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός.

Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Ὁ λαὸς ὁ πορευόμενος ἐν σκότει, ἴδε φῶς μέγα.

Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Οἱ κατοικοῦντες ἐν χώρᾳ, καὶ σκιᾷ θανάτου, φῶς λάμψει ἐφ' ἡμᾶς.

Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Ὅτι Παιδίον ἐγεννήθη ἡμῖν, Υἱὸς, καὶ ἐδόθη ἡμῖν.

Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ.

Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστιν ὅριον.

Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ, Μεγάλης βουλῆς Ἄγγελος.

Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Θαυμαστὸς σύμβουλος.

Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Θεὸς ἰσχυρὸς, Ἐξουσιαστὴς, Ἄρχων εἰρήνης.

Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Πατὴρ τοῦ μέλλοντος αἰῶνος.

Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Δόξα. Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Καὶ νῦν. Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Εἶτα οἱ δύο Χοροὶ ὁμοῦ.

Μεθ' ἡμῶν ὁ Θεὸς, γνῶτε ἔθνη καὶ ἡττᾶσθε· ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Καὶ εὐθὺς τὰ παρόντα Τροπάρια:

Τὴν ἡμέραν διελθὼν εὐχαριστῶ σοι, Κύριε· τὴν ἐσπέραν αἰτοῦμαι σὺν τῇ νυκτὶ ἀναμάρτητον, παράσχου μοι Σωτὴρ, καὶ σῶσόν με.

Δόξα.

Τὴν ἡμέραν παρελθών, δοξολογῶσε, Δέσποτα· τὴν ἑσπέραν αἰτοῦμαι σὺν τῇ νυκτὶ ἀσκανδάλιστον, παράσχου μοι Σωτὴρ, καὶ σῶσόν με.

Καὶ νῦν.

Τὴν ἡμέραν διαβὰς, ὑμνολογῶσε, Ἅγιε· τὴν ἑσπέραν αἰτοῦμαι σὺν τῇ νυκτὶ ἀνεπίβουλον, παράσχου μοι Σωτὴρ, καὶ σῶσόν με.

Εἶτα ψάλλουσιν ὁμοῦ οἱ δύο Χοροί:

Ἡ ἀσώματος φύσις, τὰ Χερουβὶμ, ἀσιγήτοις σε ὕμνοις δοξολογεῖ.

Ἐξαπτέρυγα ζῶα, τὰ Σεραφὶμ, ταῖς ἀπαύστοις φωναῖς σὲ ὑπερυψοῖ.

Τῶν Ἀγγέλων τε πᾶσα ἡ στρατιὰ, τρισαγίοις σε ἅσμασιν εὐφημεῖ.

Πρὸ γὰρ πάντων ὑπάρχεις ὢν Πατὴρ, καὶ συνάναρχον ἔχεις τὸν σὸν Υἱόν.

Καὶ ἰσότιμον φέρων Πνεῦμα ζωῆς, τῆς Τριάδος δεικνύεις τὸ ἀμερές.

Παναγία Παρθένε Μήτηρ Θεοῦ, οἱ τοῦ Λόγου αὐτόπται, καὶ ὑπουργοί.

Προφητῶν καὶ Μαρτύρων πάντες χοροὶ, ὡς ἀθάνατον ἔχοντες τὴν ζωήν.

Ὑπὲρ πάντων πρεσβεύσατε ἐκτενῶς, ὅτι πάντες ὑπάρχομεν ἐν δεινοῖς.

Ἵνα πλάνης ῥυσθέντες τοῦ πονηροῦ, τῶν Ἀγγέλων βοήσωμεν τὴν ᾠδήν.

Ἅγιε, Ἅγιε, Ἅγιε, Τρισάγιε Κύριε, ἐλέησον, καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Καὶ εὐθὺς χθαμαλῇ τῇ φωνῇ:

Πιστεύω εἰς ἕνα Θεόν. Ὅρα σελ. 15.

Εἶτα τοὺς παρόντας Στίχους, ὧν ὁ μὲν πρῶτος τρισσεύεται, οἱ δὲ λοιποὶ πάντες δευτεροῦνται, πλὴν τοῦ τελευταίου, ἅπαξ μόνον λεγομένου. Ἄρχεται δὲ ὁ δεύτερος Χορός.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Πάτρας - Ιστορικό Τυπολογικό Αρχείο

Παναγία Δέσποινα Θεοτόκε, πρέσβευε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν.

Πᾶσαι αἱ οὐράνιαι Δυνάμεις τῶν ἁγίων Ἀγγέλων καὶ Ἀρχαγγέλων, πρεσβεύσατε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν.

Ἅγιε Ἰωάννη Προφῆτα, καὶ Πρόδρομε, καὶ Βαπτιστὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν.

Ἅγιοι ἔνδοξοι Ἀπόστολοι, Προφῆται, καὶ Μάρτυρες, καὶ πάντες Ἅγιοι, πρεσβεύσατε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν.

Ὅσιοι Θεοφόροι Πατέρες ἡμῶν, Ποιμένες, καὶ Διδάσκαλοι τῆς οἰκουμένης, πρεσβεύσατε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν.

Ἡ ἀήττητος καὶ ἀκατάλυτος, καὶ θεία δύναμις τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἁμαρτωλούς.

Ὁ Θεός, ἱλάσθητι ἡμῖν τοῖς ἁμαρτωλοῖς.

Καὶ ἐλέησον ἡμᾶς.

Εἶτα: Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ· καὶ τὰ Τροπάρια ταῦτα. Ἐὰν δὲ τύχῃ Ἑορτή, λέγομεν τὰ τῆς Ἑορτῆς.

Ἦχος β΄.

Φώτισον τοὺς ὀφθαλμούς μου, Χριστὲ ὁ Θεός, μήποτε ὑπνώσω εἰς θάνατον, μήποτε εἴπῃ ὁ ἐχθρός μου: Ἴσχυσα πρὸς αὐτόν.

Δόξα.

Ἀντιλήπτωρ τῆς ψυχῆς μου γενοῦ, ὁ Θεός, ὅτι μέσον διαβαίνω παγίδων πολλῶν· ῥῦσαί με ἐξ αὐτῶν, καὶ σῶσόν με ἀγαθὲ, ὡς φιλάνθρωπος.

Καὶ νῦν, Θεοτοκίον.

Ὅτι οὐκ ἔχομεν παῤῥησίαν διὰ τὰ πολλὰ ἡμῶν ἁμαρτήματα, σὺ τὸν ἐκ σὲ γεννηθέντα δυσώπησον, Θεοτόκε Παρθένε· πολλὰ γὰρ ἰσχύει δέησις Μητρὸς πρὸς εἰμένειαν Δεσπότου. Μὴ παρίδῃς ἁμαρτιῶν ἐχεσίας ἡ πάνσεμνος· ὅτι ἐλεήμων ἐστὶ, καὶ σώζειν δυνάμενος, ὁ καὶ παθεῖν ὑπὲρ ἡμῶν καταδεξάμενος.

ΔΗΜΟΣΙΕΣ ΕΒΡΑΙΟΘΗΚΕΣ

Ἕτερα Τροπάρια, ψαλλόμενα ἡμέραν παρ' ἡμέραν.

Ἦχος πλ. δ'.

Τῶν ἀοράτων ἐχθρῶν μου τὸ ἄϋπνον ἐπίστασαι, Κύριε, καὶ τῆς ἀθλίας σαρκός μου τὸ ἄτονον ἔγνως, ὁ πλάσας με· διὸ εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου. Σκέπασόν με πτέρυξι τῆς σῆς ἀγαθότητος, ἵνα μὴ ὑπνώσω εἰς θάνατον· καὶ τοὺς νοερούς ὀφθαλμούς μου φώτισον, ἐν τῇ τρυφῇ τῶν θείων λόγων σου· καὶ διέγειρόν με ἐν καιρῷ εὐθέτῳ πρὸς σὴν δοξολογίαν, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Στίχος. Ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με.

Ὡς φοβερὰ ἡ κρίσις σου, Κύριε, τῶν Ἀγγέλων παριστα-σαμένων, τῶν ἀνθρώπων εἰσαγομένων, τῶν βίβλων ἀνεῳγμένων, τῶν ἔργων ἐρευνωμένων, τῶν λογισμῶν ἐξετα-ζομένων. Ποία κρίσις ἔσται ἐν ἐμοὶ τῷ συλληφθέντι ἐν ἁμαρτίαις; τίς μου τὴν φλόγα κατασβέσει; τίς μου τὸ σκότος καταλάμψει, εἰμὴ σὺ, Κύριε, ἐλεήσεις με, ὡς φιλάνθρωπος;

Δόξα.

Δάκρυά μοι δὸς ὁ Θεὸς, ὥς ποτε τῇ γυναικὶ τῇ ἁμαρ-τωλῷ, καὶ ἀξίωσόν με βρέχειν τοὺς πόδας σου τοὺς ἐμὲ ἐκ τῆς ὁδοῦ τῆς πλάνης ἐλευθερώσαντας, καὶ μύρον εὐωδίας σοι προσφέρειν, βίον καθαρὸν ἐν μετανοίᾳ μοι κτισθέντα· ἵνα ἀκούσω κἀγὼ τῆς εὐκταίας σου φωνῆς· Ἡ πίστις σου σέσωκέ σε, πορεύου εἰς εἰρήνην.

Καὶ νῦν, Θεοτοκίον.

Τὴν ἀκαταίσχυντον, Θεοτόκε, ἐλπίδα σε ἔχων, σωθή-σομαι· τὴν προστασίαν σου κεκτημένος, παναχράντε, οὐ φοβηθήσομαι· καταδιώξω τοὺς ἐχθρούς μου, καὶ τροπώσομαι αὐτούς, μόνην ἀμπεχόμενος ὡς θώρακα τὴν σκέπην σου· καὶ τὴν παντοδύναμον βοήθειάν σου καθι-κετεύων, βοῶ σοι: Δέσποινα, σῶσόν με ταῖς πρεσβείαις σου, καὶ ἀνάστησόν με ἐκ ζοφώδους ὕπνου πρὸς σὴν δοξο-λογίαν, δυνάμει τοῦ ἐκ σοῦ σαρκωθέντος Υἱοῦ τοῦ Θεοῦ.

Τὸ, Κύριε ἐλέησον μ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν.

Ἐν ὀνόματι Κυρίου. Ὁ Ἱερεύς: Διὰ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν. Εἶτα τὴν ἑπομένην

## Εὐχὴν τοῦ Μεγάλου Βασιλείου.

Κύριε, Κύριε, ὁ ῥυσάμενος ἡμᾶς ἀπὸ παντὸς βέλους πετομένου ἡμέρας, ῥῦσαι ἡμᾶς καὶ ἀπὸ παντὸς πράγματος ἐν σκότει διαπορευομένου. Πρόσδεξαι θυσίαν ἑσπερινὴν τὰς τῶν χειρῶν ἡμῶν ἐπάρσεις. Καταξίωσον δὲ ἡμᾶς καὶ τὸ νυκτερινὸν στάδιον ἀμέμπτως διελθεῖν, ἀπειράστους κακῶν, καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ταραχῆς, καὶ δειλίας τῆς ἐκ τοῦ διαβόλου ἡμῖν προσγινομένης. Χάρισαι ταῖς ψυχαῖς ἡμῶν κατάνυξιν, καὶ τοῖς λογισμοῖς ἡμῶν μέριμναν, τῆς ἐν τῇ φοβερᾷ, καὶ δικαίᾳ σε κρίσει ἐξετάσεως. Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας ἡμῶν, καὶ νέκρωσον τὰ μέλη ἡμῶν τὰ ἐπὶ τῆς γῆς· ἵνα καὶ ἐν τῇ καθ' ὕπνον ἡσυχίᾳ ἐμφαιδρυνώμεθα τῇ θεωρίᾳ τῶν κριμάτων σου. Ἀπόστησον δὲ ἀφ' ἡμῶν πᾶσαν φαντασίαν ἀπρεπῆ, ἢ ἐπιθυμίαν βλαβεράν. Διανάστησον δὲ ἡμᾶς ἐν τῷ καιρῷ τῆς προσευχῆς, ἐστηριγμένους ἐν τῇ πίστει, καὶ προκόπτοντας ἐν τοῖς παραγγέλμασί σου· εὐδοκίᾳ καὶ ἀγαθότητι τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δεῦτε προσκυνήσωμεν, ἐκ γ'. Μετανοίας γ'.

## ΨΑΛΜΟΣ ν'. 50.

Ἐλέησόν με, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἔπι πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐ-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Ὑπουργεῖο Κοινωνικῆς Βιβλιοθήκη Δημοσίου
Μουσεῖο Τυπολογικῶν Δημοσίων

ποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα, καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεὸς, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα· τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

## ΨΑΛΜΟΣ ρά. 101.

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθέτω.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ· ἐν ᾗ ἂν ἡμέρᾳ θλίβωμαι, κλῖνον πρός με τὸ οὖς σου.

Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ ἐπάκουσόν μου.

Ὅτι ἐξέλιπον ὡσεὶ καπνὸς αἱ ἡμέραι μου, καὶ τὰ ὀστᾶ μου ὡσεὶ φρύγιον συνεφρύγησαν.

Ἐπλήγην ὡσεὶ χόρτος, καὶ ἐξηράνθη ἡ καρδία μου ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου.

Ἀπὸ φωνῆς τοῦ στεναγμοῦ μου ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου.

Ὡμοιώθην πελεκᾶνι ἐρημικῷ, ἐγενήθην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ.

Ἠγρύπνησα, καὶ ἐγενόμην ὡς στρουθίον μονάζον ἐπὶ δώματος.

Ὅλην τὴν ἡμέραν ὠνείδιζόν με οἱ ἐχθροί μου, καὶ οἱ ἐπαινοῦντές με κατ' ἐμοῦ ὤμνυον.

Ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον, καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων.

Ἀπὸ προσώπου τῆς ὀργῆς σου καὶ τοῦ θυμοῦ σου, ὅτι ἐπάρας κατέῤῥαξάς με.

Αἱ ἡμέραι μου ὡσεὶ σκιὰ ἐκλίθησαν, κἀγὼ ὡσεὶ χόρτος ἐξηράνθην.

Σὺ δὲ, Κύριε, εἰς τὸν αἰῶνα μένεις, καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν.

Σὺ ἀναστὰς οἰκτειρήσεις τὴν Σιὼν, ὅτι καιρὸς τοῦ οἰκτειρῆσαι αὐτὴν, ὅτι ἥκει καιρός.

Ὅτι εὐδόκησαν οἱ δοῦλοί σου τοὺς λίθους αὐτῆς, καὶ τὸν χοῦν αὐτῆς οἰκτειρήσουσιν.

Καὶ φοβηθήσονται τὰ ἔθνη τὸ ὄνομά σου, Κύριε, καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς τὴν δόξαν σου.

Ὅτι οἰκοδομήσει Κύριος τὴν Σιὼν, καὶ ὀφθήσεται ἐν τῇ δόξῃ αὐτοῦ.

Ἐπέβλεψεν ἐπὶ τὴν προσευχὴν τῶν ταπεινῶν, καὶ οὐκ ἐξουδένωσε τὴν δέησιν αὐτῶν.

Γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν· καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον.

Ὅτι ἐξέκυψεν ἐξ ὕψους ἁγίου αὐτοῦ, Κύριος ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπέβλεψε.

Τοῦ ἀκοῦσαι τοῦ στεναγμοῦ τῶν πεπεδημένων, τοῦ λῦσαι τοὺς υἱοὺς τῶν τεθανατωμένων.

Τοῦ ἀναγγεῖλαι ἐν Σιὼν τὸ ὄνομα Κυρίου, καὶ τὴν αἴνεσιν αὐτοῦ ἐν Ἱερουσαλήμ.

Ἐν τῷ ἐπισυναχθῆναι λαοὺς ἐπὶ τὸ αὐτό, καὶ βασιλεῖς τοῦ δουλεύειν τῷ Κυρίῳ.

Ἀπεκρίθη αὐτῷ ἐν ὁδῷ ἰσχύος αὐτοῦ· Τὴν ὀλιγότητα τῶν ἡμερῶν μου ἀνάγγειλόν μοι.

Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου· ἐν γενεᾷ γενεῶν τὰ ἔτη σου.

Κατ' ἀρχὰς σὺ, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί.

Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται.

Καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς, καὶ ἀλλαγήσονται, σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν.

Οἱ υἱοὶ τῶν δούλων σου κατασκηνώσουσι, καὶ τὸ σπέρμα αὐτῶν εἰς τὸν αἰῶνα κατευθυνθήσεται.

## Προσευχὴ Μανασσῆ, Βασιλέως τῆς Ἰουδαίας.

Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, τοῦ Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ τοῦ σπέρματος αὐτῶν τοῦ δικαίου· ὁ ποιήσας τὸν Οὐρανὸν καὶ τὴν Γῆν σὺν παντὶ τῷ κόσμῳ αὐτῶν· ὁ πεδήσας τὴν θάλασσαν τῷ λόγῳ τοῦ προστάγματός σου· ὁ κλείσας τὴν ἄβυσσον, καὶ σφραγισάμενος αὐτὴν τῷ φοβερῷ καὶ ἐνδόξῳ ὀνόματί σου· ὃν πάντα φρίσσει καὶ τρέμει ἀπὸ προσώπου τῆς δυνάμεώς σου· ὅτι ἄστεκτος ἡ μεγαλοπρέπεια τῆς δόξης σου, καὶ ἀνυπόστατος ἡ ὀργὴ τῆς ἐπὶ

ἁμαρτωλοῖς ἀπειλῆς σου, ἀμέτρητόν τε καὶ ἀνεξιχνίαστον τὸ ἔλεος τῆς ἐπαγγελίας σου. Σὺ γὰρ εἶ Κύριος ὕψιστος, εὔσπλαγχνος, μακρόθυμος, καὶ πολυέλεος, καὶ μετανοῶν ἐπὶ κακίαις ἀνθρώπων. Σύ, Κύριε, κατὰ τὸ πλῆθος τῆς χρηστότητός σου ἐπηγγείλω μετάνοιαν, καὶ ἄφεσιν τοῖς ἡμαρτηκόσι σοι, καὶ τῷ πλήθει τῶν οἰκτιρμῶν σου, ὥρισας μετάνοιαν ἁμαρτωλοῖς εἰς σωτηρίαν. Σὺ οὖν, Κύριε ὁ Θεὸς τῶν δυνάμεων, οὐκ ἔθου μετάνοιαν δικαίοις, τῷ Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, τοῖς οὐχ ἡμαρτηκόσι σοι, ἀλλ' ἔθου μετάνοιαν ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ, διότι ἥμαρτον ὑπὲρ ἀριθμὸν ψάμμου θαλάσσης. Ἐπλήθυναν αἱ ἀνομίαι μου, Κύριε· ἐπλήθυναν αἱ ἀνομίαι μου, καὶ οὐκ εἰμὶ ἄξιος ἀτενίσαι, καὶ ἰδεῖν τὸ ὕψος τοῦ οὐρανοῦ, ἀπὸ τοῦ πλήθους τῶν ἀδικιῶν μου, κατακαμπτόμενος πολλῷ δεσμῷ σιδηρῷ, εἰς τὸ μὴ ἀνανεῦσαι τὴν κεφαλήν μου, καὶ οὐκ ἔστι μοι ἄνεσις· διότι παρώργισα τὸν θυμόν σου, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, μὴ ποιήσας τὸ θέλημά σου, καὶ μὴ φυλάξας τὰ προστάγματά σου. Καὶ νῦν κλίνω γόνυ καρδίας, δεόμενος τῆς παρὰ σοῦ χρηστότητος. Ἥμαρτηκα, Κύριε, ἥμαρτηκα, καὶ τὰς ἀνομίας μου ἐγὼ γινώσκω· ἀλλ' αἰτοῦμαι δεόμενος· Ἄνες μοι, Κύριε, ἄνες μοι, καὶ μὴ συναπολέσῃς με ταῖς ἀνομίαις μου, μηδὲ εἰς τὸν αἰῶνα μηνίσας, τηρήσῃς τὰ κακά μοι, μηδέ καταδικάσῃς με ἐν τοῖς κατωτάτοις τῆς γῆς· διότι σὺ εἶ Θεὸς, Θεὸς τῶν μετανοούντων, καὶ ἐν ἐμοὶ δείξεις πᾶσαν τὴν ἀγαθωσύνην σου· ὅτι ἀνάξιον ὄντα, σώσεις με κατὰ τὸ πολὺ ἔλεός σου, καὶ αἰνέσω σε διαπαντὸς ἐν ταῖς ἡμέραις τῆς ζωῆς μου. Ὅτι σέ ὑμνεῖ πᾶσα ἡ δύναμις τῶν οὐρανῶν, καὶ σοῦ ἐστιν ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστι.

Καὶ τὰ Τροπάρια ταῦτα:

Ἦχος πλ. β'.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς· πάσης γὰρ ἀπολογίας ἀπορούντες, ταύτην σοι τὴν ἱ-

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Λεξουρίου
Μουσείο Τυπάλδου Ιακώβατου

κεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν: Ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν. Μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν· ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος, καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαός σου· πάντες ἔργα χειρῶν σου, καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

Καὶ νῦν, Θεοτοκίον.

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε· ἐλπίζοντες εἰς σὲ, μὴ ἀστοχήσωμεν· ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων· σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Τὸ, Κύριε ἐλέησον μ', Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, Πάτερ. Ὁ Ἱερεύς: Δι' εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν.

## ΕΥΧΗ

Δέσποτα Θεὲ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενὲς, Ἰησοῦ Χριστὲ, καὶ ἅγιον Πνεῦμα, μία Θεότης, μία δύναμις, ἐλέησόν με τὸν ἁμαρτωλόν· καὶ οἷς ἐπίστασαι κρίμασι, σῶσόν με τὸν ἀνάξιον δοῦλόν σου· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δεῦτε προσκυνήσωμεν γ'. Μετανοίας γ'. Εἶτα τὸν Ψαλμ.

## ΨΑΛΜΟΣ ξθ'. 69.

Ὁ Θεὸς, εἰς τὴν βοήθειάν μου πρόσχες· Κύριε, εἰς τὸ βοηθῆσαί μοι σπεῦσον.

Αἰσχυνθήτωσαν, καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου.

Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθήτωσαν οἱ βουλόμενοί μοι κακά.

Ἀποστραφήτωσαν παραυτίκα αἰσχυνόμενοι οἱ λέγοντές μοι: Εὖγε, εὖγε.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Κεφαλονιά - Ιόνιοι Νήσοι

Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ, πάντες οἱ ζητοῦντές σε, ὁ Θεός.

Καὶ λεγέτωσαν διαπαντός: Μεγαλυνθήτω ὁ Κύριος, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου.

Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης· ὁ Θεὸς, βοήθησόν μοι.

Βοηθός μου καὶ ῥύστης μου εἶ σὺ, Κύριε· μὴ χρονίσῃς.

## ΨΑΛΜΟΣ ρμβ'. 142.

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου.

Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἄκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λιξουρίου - Μουσείο Τυπογράφων Εκκλησίας

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου. Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμί.

## ΔΟΞΟΛΟΓΙΑ.

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε Βασιλεῦ, ἐπουράνιε Θεὲ, Πάτερ παντοκράτορ· Κύριε Υἱὲ μονογενὲς, Ἰησοῦ Χριστὲ, καὶ ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεὸς, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρὸς, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρὸς, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ' ἑκάστην ἑσπέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα: Κύριε, ἐλέησόν με· ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Καταξίωσον, Κύριε, ἐν τῇ νυκτὶ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημοσία Κεντρική Βιβλιοθήκη Λήξουρίου - Μουσείο Γεραλόσου Καραβόμυλου

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου.

Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα· τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐνταῦθα λέγομεν τὸν Κανόνα τῆς ἡμέρας, ἢ τῆς Θεοτόκου (*). Μετὰ δὲ τὴν συμπλήρωσιν τῶν Τροπαρίων τοῦ Κανόνος· Τρισάγιον. Παναγία Τριὰς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστι. Καὶ τὸ ἑπόμενον Τροπάριον, μετὰ τῶν Στίχων αὐτοῦ.

Τροπάριον, Ἦχος πλ. β'.

Κύριε τῶν δυνάμεων, μεθ' ἡμῶν γενοῦ· ἄλλον γὰρ ἐκτός σου βοηθὸν ἐν θλίψεσιν οὐκ ἔχομεν. Κύριε τῶν δυνάμεων, ἐλέησον ἡμᾶς.

Στίχος. Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς Ἁγίοις αὐτοῦ· αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Κύριε τῶν δυνάμεων, μεθ' ἡμῶν γενοῦ.

Στίχος. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Κύριε τῶν δυνάμεων, μεθ' ἡμῶν γενοῦ.

Στίχος. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Κύριε τῶν δυνάμεων, μεθ' ἡμῶν γενοῦ.

Στίχος. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

(*) Ἐνταῦθα ψάλλομεν καὶ τὸν Μέγαν Κανόνα, ὡς προσεσημείωται, ἐὰν ἡ πρώτη Ἑβδομὰς τῆς μεγάλης Τεσσαρακοστῆς.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπογλυπτών Ιονίου Βιβλίου

Κύριε τῶν δυνάμεων, μεθ' ἡμῶν γενοῦ.

Στίχος. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Κύριε τῶν δυνάμεων, μεθ' ἡμῶν γενοῦ.

Εἶτα ὁ πρῶτος Χορός.

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Ὁ δεύτερος Χορός.

Αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Καὶ πάλιν οἱ δύο Χοροὶ ὁμοῦ.

Κύριε τῶν δυνάμεων, μεθ' ἡμῶν γενοῦ. κ. τ. λ.

Δόξα τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι.

Κύριε, εἰμὴ τοὺς Ἁγίους σε εἴχομεν πρεσβευτὰς, καὶ τὴν ἀγαθότητά σου συμπαθῆσαν ἡμῖν, πῶς ἐτολμῶμεν Σωτὴρ ὑμνῆσαί σε, ὃν εὐλογοῦσιν ἀπαύστως Ἄγγελοι; Καρδιογνῶστα, φεῖσαι τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν, Θεοτοκίον.

Πολλὰ τὰ πλήθη τῶν ἐμῶν Θεοτόκε πταισμάτων· πρὸς σὲ κατέφυγον Ἀγνὴ, σωτηρίας δεόμενος. Ἐπίσκεψαι τὴν ἀσθενοῦσάν μου ψυχὴν, καὶ πρέσβευε τῷ Υἱῷ σου καὶ Θεῷ ἡμῶν, δοθῆναί μοι τὴν ἄφεσιν, ὧν ἔπραξα δεινῶν, μόνη εὐλογημένη.

Ἕτερον.

Παναγία Θεοτόκε, τὸν χρόνον τῆς ζωῆς μου μὴ ἐγκαταλίπῃς με· ἀνθρωπίνη προστασία μὴ καταπιστεύσῃς με· ἀλλ' αὐτὴ ἀντιλαβοῦ, καὶ ἐλέησόν με.

Ἕτερον.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μήτηρ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Τὸ, Κύριε ἐλέησον μ'. Εἶτα:

Ὁ ἐν παντὶ καιρῷ καὶ πάσῃ ὥρᾳ, ἐν οὐρανῷ καὶ ἐπὶ γῆς προσκυνούμενος καὶ δοξαζόμενος Χριστὸς ὁ Θεὸς, ὁ μακρόθυμος, ὁ πολυέλεος, ὁ πολυεύσπλαγχνος, ὁ τοὺς δικαίους ἀγαπῶν, καὶ τοὺς ἁμαρτωλοὺς ἐλεῶν πάντας καλῶν πρὸς σωτηρίαν, διὰ τῆς ἐπαγγελίας

ΨΗΦΙΑΚΗ ΒΙΒΛΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Αλεξάνδρειου - Μουσείο Τσιγγάλου - Θεσσαλονίκη

μελλόντων ἀγαθῶν· Αὐτὸς, Κύριε, πρόσδεξαι καὶ ἡμῶν ἐν τῇ ὥρᾳ ταύτῃ τὰς ἐντεύξεις, καὶ ἴθυνον τὴν ζωὴν ἡμῶν πρὸς τὰς ἐντολάς σου. Τὰς ψυχὰς ἡμῶν ἁγίασον, τὰ σώματα ἅγνισον, τοὺς λογισμοὺς διόρθωσον, τὰς ἐννοίας κάθαρον, καὶ ῥῦσαι ἡμᾶς ἀπὸ πάσης θλίψεως, κακῶν, καὶ ὀδύνης. Τείχισον ἡμᾶς ἁγίοις σου Ἀγγέλοις, ἵνα τῇ παρεμβολῇ αὐτῶν φρουρούμενοι καὶ ὁδηγούμενοι, καταντήσωμεν εἰς τὴν ἑνότητα τῆς πίστεως, καὶ εἰς τὴν ἐπίγνωσιν τῆς ἀπροσίτου σου δόξης· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κύριε ἐλέησον γ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, Πάτερ.

Ὁ Ἱερεύς: Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς· καὶ ποιοῦμεν τὰς τρεῖς μεγάλας μετανοίας, λέγοντες καθ' ἑαυτοὺς, καὶ ἕνα Στίχον τῆς Εὐχῆς τοῦ ὁσίου Ἐφραίμ.

Κύριε καὶ Δέσποτα τῆς ζωῆς μου, πνεῦμα ἀργίας, περιεργίας, φιλαρχίας, καὶ ἀργολογίας, μή μοι δῷς.

Πνεῦμα δὲ σωφροσύνης, ταπεινοφροσύνης, ὑπομονῆς, καὶ ἀγάπης χάρισαί μοι τῷ σῷ δούλῳ.

Ναί, Κύριε Βασιλεῦ, δώρησαί μοι τοῦ ὁρᾶν τὰ ἐμὰ πταίσματα, καὶ μὴ κατακρίνειν τὸν ἀδελφόν μου· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ϗ τὰς ιβ'. μικράς· ϗ πάλιν μετάνοιαν μεγάλην, καὶ τὸν τελευταῖον Στίχον τῆς Εὐχῆς. Μεθ' ἣν: Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. Κύριε ἐλέησον ιβ'. Εἶτα τὰς ἑπομένας Εὐχάς.

## ΕΥΧΗ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

### Παύλου Μοναχοῦ, Μονῆς τῆς Εὐεργέτιδος.

Ἄσπιλε, ἀμόλυντε, ἄφθορε, ἄχραντε, ἁγνὴ Παρθένε, Θεόνυμφε Δέσποινα· ἡ Θεὸν λόγον τοῖς ἀνθρώποις τῇ παραδόξῳ σου κυήσει ἑνώσασα, καὶ τὴν ἀπωσθεῖσαν φύσιν τοῦ γένους ἡμῶν τοῖς οὐρανίοις συνάψασ

σα· ἡ τῶν ἀπηλπισμένων μόνη ἐλπὶς, καὶ τῶν πολεμουμένων βοήθεια· ἡ ἑτοίμη ἀντίληψις τῶν εἰς σὲ προσρεχόντων, καὶ πάντων τῶν Χριστιανῶν τὸ καταφύγιον. Μὴ βδελύξῃ με τὸν ἁμαρτωλὸν, τὸν ἐναγῆ, τὸν αἰσχροῖς λογισμοῖς, καὶ λόγοις, καὶ πράξεσιν ὅλον ἐμαυτὸν ἀχρειώσαντα, καὶ τῇ τῶν ἡδονῶν τοῦ βίου ῥᾳθυμίᾳ γνώμῃ δοῦλον γενόμενον. Ἀλλ' ὡς τοῦ φιλανθρώπου Θεοῦ Μήτηρ, φιλανθρώπως σπλαγχνίσθητι ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ καὶ ἀσώτῳ· καὶ δέξαι μου τὴν ἐκ ῥυπαρῶν χειλέων προσφερομένην σοι δέησιν· καὶ τὸν σὸν Υἱὸν, καὶ ἡμῶν Δεσπότην καὶ Κύριον, τῇ μητρικῇ σου παῤῥησίᾳ χρωμένη, δυσώπησον, ἵνα ἀνοίξῃ καὶ μοὶ τὰ φιλάνθρωπα σπλάγχνα τῆς αὐτοῦ ἀγαθότητος· καὶ παριδὼν μου τὰ ἀναρίθμητα πταίσματα, ἐπιστρέψῃ με πρὸς μετάνοιαν, καὶ τῶν αὐτοῦ ἐντολῶν ἐργάτην δόκιμον ἀναδείξῃ με. Καὶ πάρεσό μοι ἀεὶ ὡς ἐλεήμων, καὶ συμπαθὴς, καὶ φιλάγαθος· ἐν μὲν τῷ παρόντι βίῳ, θερμὴ προστάτις καὶ βοηθὸς, τὰς τῶν ἐναντίων ἐφόδους ἀποτειχίζουσα, καὶ πρὸς σωτηρίαν καθοδηγοῦσά με· καὶ ἐν τῷ καιρῷ τῆς ἐξόδου μου, τὴν ἀθλίαν μου ψυχὴν περιέπουσα, καὶ τὰς σκοτεινὰς ὄψεις τῶν πονηρῶν δαιμόνων πόῤῥω αὐτῆς ἀπελαύνουσα. Ἐν δὲ τῇ φοβερᾷ ἡμέρᾳ τῆς Κρίσεως, τῆς αἰωνίου με ῥυομένη κολάσεως, καὶ τῆς ἀπορῥήτου δόξης τοῦ σοῦ Υἱοῦ, καὶ Θεοῦ ἡμῶν κληρονόμον με ἀποδεικνύουσα· ἧς καὶ τύχοιμι, Δέσποινά μου, ὑπεραγία Θεοτόκε, διὰ τῆς σῆς μεσιτείας καὶ ἀντιλήψεως· χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὧ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δημόσια Κεντρική Βιβλιοθήκη Λεξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

## ΕΤΕΡΑ ΕΙΣ ΤΟΝ ΚΥΡΙΟΝ ΗΜΩΝ ΙΗΣΟΥΝ ΧΡΙΣΤΟΝ

### Ἀντιόχου Μοναχοῦ καὶ Παυδέκτου.

Καὶ δὸς ἡμῖν, Δέσποτα, πρὸς ὕπνον ἀπιοῦσιν, ἀνάπαυσιν σώματος καὶ ψυχῆς· καὶ διαφύλαξον ἡμᾶς ἀπὸ τοῦ ζοφεροῦ ὕπνου τῆς ἁμαρτίας, καὶ ἀπὸ πάσης σκοτεινῆς, καὶ νυκτερινῆς ἡδυπαθείας. Παῦσον τὰς ὁρμὰς τῶν παθῶν, σβέσον τὰ πεπυρωμένα βέλη τοῦ πονηροῦ, τὰ καθ' ἡμῶν δολίως κινούμενα· τὰς τῆς σαρκὸς ἡμῶν ἐπαναστάσεις κατάστειλον, καὶ πᾶν γεῶδες καὶ ὑλικὸν ἡμῶν φρόνημα κοίμισον. Καὶ δώρησαι ἡμῖν, ὁ Θεὸς, γρήγορον νοῦν, σώφρονα λογισμὸν, καρδίαν νήφουσαν, ὕπνον ἐλαφρὸν, καὶ πάσης σατανικῆς φαντασίας ἀπηλλαγμένον. Διανάστησον δὲ ἡμᾶς ἐν τῷ καιρῷ τῆς προσευχῆς, ἐσπριγμένους ἐν ταῖς ἐντολαῖς σου, καὶ τὴν μνήμην τῶν σῶν κριμάτων ἐν ἑαυτοῖς ἀπαράθραυστον ἔχοντας. Πανύχιον ἡμῖν τὴν σὴν δοξολογίαν χάρισαι, εἰς τὸ ὑμνεῖν, καὶ εὐλογεῖν, καὶ δοξάζειν τὸ πάντιμον, καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὑπερένδοξε, ἀειπάρθενε, εὐλογημένη Θεοτόκε, προσάγαγε τὴν ἡμετέραν προσευχὴν τῷ Υἱῷ σου καὶ Θεῷ ἡμῶν, καὶ αἴτησαι, ἵνα σώσῃ διὰ σοῦ τὰς ψυχὰς ἡμῶν.

Ἡ ἐλπίς μου ὁ Πατὴρ, καταφυγή μου ὁ Υἱὸς, σκέπη μου τὸ Πνεῦμα τὸ ἅγιον. Τριὰς ἁγία, δόξα σοι. Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι. Μήτηρ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δόξα, καὶ νῦν. Κύριε ἐλέησον γ'. Ὁ Ἱερεὺς ἐκφωνεῖ· Εἰρήνη πᾶσι· τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε καὶ ἡμῶν κεκλιμένων, λέγει εὐθύς:

Δέσποτα πολυέλεε, Κύριε Ἰησοῦ Χριστὲ, ὁ Θεὸς ἡμῶν, πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ

ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων Ἀσωμάτων· τοῦ τιμίου ἐνδόξου Προφήτου Προδρόμου, καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων, καὶ πανευφήμων Ἀποστόλων· τῶν ἁγίων ἐνδόξων, καὶ καλλινίκων Μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν· τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ, καὶ Ἄννης, καὶ πάντων σου τῶν Ἁγίων· εὐπρόσδεκτον ποίησον τὴν δέησιν ἡμῶν. Δώρησαι ἡμῖν τὴν ἄφεσιν τῶν παραπτωμάτων ἡμῶν. Σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου. Ἀποδίωξον ἀφ' ἡμῶν πάντα ἐχθρὸν καὶ πολέμιον. Εἰρήνευσον ἡμῶν τὴν ζωήν. Κύριε, ἐλέησον ἡμᾶς καὶ τὸν κόσμον σου, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Εἶθ' οὕτω ποιήσας ὁ Προεστὼς μετάνοιαν ἐπὶ γῆς, λέγει τοῖς Ἀδελφοῖς: Εὐλογεῖτε, Πατέρες ἅγιοι, συγχωρήσατέ μοι τῷ ἁμαρτωλῷ.

Καὶ οἱ Ἀδελφοί: Ὁ Θεὸς συγχωρήσαι σοι, Πάτερ ἅγιε.

Καὶ ἄρχονται οἱ Ἀδελφοὶ ἀνὰ δύο, εἷς ἐξ ἑκατέρου Χοροῦ κατὰ τάξιν, ποιεῖν τὸ αὐτὸ, καὶ αἰτεῖσθαι, καὶ λαμβάνειν συγχώρησιν, μέχρις ἂν πληρωθῶσιν ἅπαντες. Ὁ δὲ Ἱερεὺς λέγει (ἀποκρινομένων ἡμῶν τὸ, Κύριε ἐλέησον, συνεχῶς):

Εὐξώμεθα ὑπὲρ εἰρήνης τοῦ κόσμου.

Ὑπὲρ τῶν εὐσεβῶν, καὶ ὀρθοδόξων Χριστιανῶν,

Ὑπὲρ εὐοδώσεως καὶ ἐνισχύσεως τοῦ φιλοχρίστου Στρατοῦ.

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν Ἀδελφότητος.

Ὑπὲρ τῶν ἀπολειφθέντων πατέρων, ἢ ἀδελφῶν ἡμῶν.

Ὑπὲρ τῶν διακονούντων, καὶ διακονησάντων ἡμῖν.

Ὑπὲρ τῶν μισούντων, καὶ ἀγαπώντων ἡμᾶς.

Ὑπὲρ τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν.

Ὑπὲρ ἀναῤῥύσεως τῶν αἰχμαλώτων.

Ὑπὲρ τῶν ἐν θαλάσσῃ καλῶς πλεόντων.

ΑΠΟΣΠΕΒΙΒΛΙΟΘΗΚΕ
Ελληνική Κεντρική Βιβλιοθήκη Ληξουρίου - Κεφαλονιάς

Ὑπὲρ τῶν ἐν ἀσθενείαις κατακειμένων.

Εὐξώμεθα καὶ ὑπὲρ εὐφορίας τῶν καρπῶν τῆς γῆς.

Καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε κειμένων, καὶ ἀπανταχοῦ ὀρθοδόξων.

Εἴπωμεν καὶ ὑπὲρ ἑαυτῶν τὸ, Κύριε ἐλέησον γ'.

Ὁ Προεστώς: Δι' εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν. Καὶ λαβόντες οἱ πάντες συγχώρησιν ἀπὸ τοῦ Προεστῶτος, ἀπερχόμεθα ἐν τοῖς κελλίοις ἡμῶν, ἔνθα λέγομεν καὶ τὴν Εὐχὴν ταύτην:

Τοῖς μισοῦσι, καὶ ἀδικοῦσιν ἡμᾶς συγχώρησον, Κύριε. Τοῖς ἀγαθοποιοῦσιν ἀγαθοποίησον. Τοῖς ἀδελφοῖς καὶ οἰκείοις ἡμῶν χάρισαι τὰ πρὸς σωτηρίαν αἰτήματα, καὶ ζωὴν τὴν αἰώνιον. Τοὺς ἐν ἀσθενείᾳ ἐπίσκεψαι, καὶ ἴασιν δώρησαι. Τοὺς ἐν θαλάσσῃ κυβέρνησον. Τοῖς ἐν ὁδοιπορίαις συνόδευσον. Τῷ Βασιλεῖ συμμάχησον. Τοῖς διακονοῦσι, καὶ ἐλεοῦσιν ἡμᾶς, ἁμαρτιῶν ἄφεσιν δώρησαι. Τοὺς ἐντειλαμένους ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν, ἐλέησον κατὰ τὸ μέγα σου ἔλεος. Μνήσθητι, Κύριε, τῶν προκοιμηθέντων πατέρων καὶ ἀδελφῶν ἡμῶν, καὶ ἀνάπαυσον αὐτοὺς, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου. Μνήσθητι, Κύριε, τῶν ἀδελφῶν ἡμῶν τῶν αἰχμαλώτων, καὶ λύτρωσαι αὐτοὺς ἀπὸ πάσης περιστάσεως. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων, καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου Ἐκκλησίαις, καὶ δὸς αὐτοῖς τὰ πρὸς σωτηρίαν αἰτήματα, καὶ ζωὴν τὴν αἰώνιον. Μνήσθητι, Κύριε, καὶ ἡμῶν τῶν ταπεινῶν, καὶ ἁμαρτωλῶν, καὶ ἀναξίων δούλων σου, καὶ ὁδήγησον ἡμᾶς ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου· πρεσβείαις τῆς παναχράντου σου Μητρὸς, Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων σου τῶν Ἁγίων· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδου Κοσμάτων

## ΑΠΟΔΕΙΠΝΟΝ ΜΙΚΡΟΝ.

Ποιοῦντες Στίχον, λέγομεν:

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν, καὶ ζωῆς χορηγὸς, ἐλθὲ, καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον, ἀγαθὲ, τὰς ψυχὰς ἡμῶν.

Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστι. Κύριε ἐλέησον ιβ'. Δεῦτε προσκυνήσωμεν γ'. Μετανοίας γ'. καὶ τοὺς Ψαλμούς.

## ΨΑΛΜΟΣ ν'. 50.

Ἐλέησόν με, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα· ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα, καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

ΑΠΟΣΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λιξουρίου - Μουσείο Τοπικών Εκδόσεων

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεὸς, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀνταναίλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα· τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

## ΨΑΛΜΟΣ ξθ'. 69.

Ὁ Θεὸς, εἰς τὴν βοήθειάν μου πρόσχες· Κύριε, εἰς τὸ βοηθῆσαί μοι σπεῦσον.

Αἰσχυνθήτωσαν, καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου.

Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθήτωσαν οἱ βουλόμενοί μοι κακά.

Ἀποστραφήτωσαν παραυτίκα αἰσχυνόμενοι οἱ λέγοντές μοι: Εὖγε, εὖγε.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε, ὁ Θεός.

Καὶ λεγέτωσαν διαπαντός: Μεγαλυνθήτω ὁ Κύριος, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου.

Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης· ὁ Θεὸς, βοήθησόν μοι.

Βοηθός μου καὶ ῥύστης μου εἶ σὺ, Κύριε· μὴ χρονίσῃς.

## ΨΑΛΜΟΣ ρμβ'. 142.

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου.

Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου.

Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμί.

## ΔΟΞΟΛΟΓΙΑ.

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε Βασιλεῦ, ἐπουράνιε Θεὲ, Πάτερ παντοκράτορ· Κύριε Υἱὲ μονογενὲς, Ἰησοῦ Χριστὲ, καὶ ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεὸς, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρὸς, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ' ἑκάστην ἑσπέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα: Κύριε, ἐλέησόν με· ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ιδρυμα Ανωτάτης Εκπαιδεύσεως
Μουσείο Τυπάλδων Ιακωβάτων

Καταξίωσον, Κύριε, ἐν τῇ νυκτὶ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν, καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου.

Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα· τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα λέγομεν τὸ: Πιστεύω εἰς ἕνα Θεόν. Ὅρα σελ. 15. καὶ τὸ: Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν Θεοτόκον, κ. τ. λ. Μετὰ ταῦτα: Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. Εἶτα τὸ Τροπάριον τοῦ κατὰ τὴν ἡμέραν Ἁγίου, ἢ τὰ παρόντα:

## Ἦχος δ'.

Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὁ ποιῶν ἀεὶ μεθ' ἡμῶν κατὰ τὴν σὴν ἐπιείκειαν, μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, ἀλλὰ ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ κυβέρνησον τὴν ζωὴν ἡμῶν.

Τῶν ἐν ὅλῳ τῷ κόσμῳ Μαρτύρων σου, ὡς πορφύραν καὶ βύσσον τὰ αἵματα, ἡ Ἐκκλησία σου στολισαμένη, δι' αὐτῶν βοᾷ σοι, Χριστὲ, ὁ Θεός: Τῷ λαῷ σου τοὺς οἰκτιρμούς σου κατάπεμψον, εἰρήνην τῇ πολιτείᾳ σου δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

ΑΡΜΟΣΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Ψηφιακή Βιβλιοθήκη Ανωτάτου Εκκλησιαστικού Τυπείου Ιεροσολύμων

## Δόξα.

Μετὰ τῶν Ἁγίων ἀνάπαυσον, Χριστέ, τὰς ψυχὰς τῶν δούλων σου, ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη, οὐ στεναγμός, ἀλλὰ ζωὴ ἀτελεύτητος.

## Καὶ νῦν.

Τῇ πρεσβείᾳ, Κύριε, πάντων τῶν Ἁγίων, καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων.

Τὸ: Κύριε ἐλέησον μ'. Ὁ ἐν παντὶ καιρῷ. Κύριε ἐλέησον γ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, Πάτερ. Ὁ Ἱερεύς: Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς· εἰ δὲ μὴ ὑπάρχει: Διὰ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν. Εἶτα τὰς ἑπομένας Εὐχάς.

## Εὐχὴ εἰς τὴν Ὑπεραγίαν Θεοτόκον.

Ἄσπιλε, ἀμόλυντε, ἄφθορε, ἄχραντε, ἁγνὴ Παρθένε, Θεόνυμφε Δέσποινα· ἡ Θεὸν Λόγον τοῖς ἀνθρώποις τῇ παραδόξῳ σου κυήσει ἑνώσασα, καὶ τὴν ἀπωσθεῖσαν φύσιν τοῦ γένους ἡμῶν, τοῖς οὐρανίοις συνάψασα· ἡ τῶν ἀπηλπισμένων μόνη ἐλπὶς, καὶ τῶν πολεμουμένων βοήθεια· ἡ ἑτοίμη ἀντίληψις τῶν εἰς σὲ προστρεχόντων, καὶ πάντων τῶν Χριστιανῶν τὸ καταφύγιον. Μὴ βδελύξῃ με τὸν ἁμαρτωλὸν, τὸν ἐναγῆ, τὸν αἰσχροῖς λογισμοῖς, καὶ λόγοις, ἠ πράξεσιν ὅλον ἐμαυτὸν ἀχρειώσαντα, καὶ τῇ τῶν ἡδονῶν τοῦ βίου ῥᾳθυμίᾳ γνώμῃ δὲ ὅλον γενόμενον. Ἀλλ' ὡς τὸ φιλανθρωπότατον Θεοῦ Μήτηρ, φιλανθρώπως σπλαγχνίσθητι ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ καὶ ἀσώτῳ, καὶ δέξαι μου τὴν ἐκ ῥυπαρῶν χειλέων προσφερομένην σοι δέησιν· καὶ τὸν σὸν Υἱὸν καὶ ἡμῶν Δεσπότην καὶ Κύριον, τῇ μητρικῇ σου παῤῥησίᾳ χρωμένη, δυσώπησον, ἵνα ἀνοίξῃ κἀμοὶ τὰ φιλάνθρωπα σπλάγχνα τῆς αὐτοῦ ἀγαθότητος· καὶ παριδών μου τὰ ἀναρίθμητα πταίσματα, ἐπιστρέψῃ με πρὸς μετάνοιαν, καὶ τῶν αὐτοῦ ἐντολῶν ἐργάτην δόκιμον ἀναδείξῃ με·

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημοτική Κεντρική Βιβλιοθήκη Ηρακλείου
Μουσείο Γεωργίου Σκαλκώτα

Καὶ πάρεσό μοι ἀεὶ ὡς ἐλεήμων, καὶ συμπαθὴς, καὶ φιλάγαθος· ἐν μὲν τῷ παρόντι βίῳ, θερμὴ προστάτις καὶ βοηθὸς, τὰς τῶν ἐναντίων ἐφόδους ἀποτειχίζουσα, καὶ πρὸς σωτηρίαν καθοδηγοῦσά με· καὶ ἐν τῷ καιρῷ τῆς ἐξόδου μου, τὴν ἀθλίαν μου ψυχὴν περιέπουσα, καὶ τὰς σκοτεινὰς ὄψεις τῶν πονηρῶν δαιμόνων πόρρω αὐτῆς ἀπελαύνουσα. Ἐν δὲ τῇ φοβερᾷ ἡμέρᾳ τῆς Κρίσεως, τῆς αἰωνίου με ῥυομένη κολάσεως, καὶ τῆς ἀπορρήτου δόξης τοῦ σοῦ Υἱοῦ, καὶ Θεοῦ ἡμῶν κληρονόμον με ἀποδεικνύουσα· ἧς καὶ τύχοιμι Δέσποινά μου, ὑπεραγία Θεοτόκε, διὰ τῆς σῆς μεσιτείας καὶ ἀντιλήψεως· χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὧ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Ἑτέρα εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

Καὶ δὸς ἡμῖν, Δέσποτα, πρὸς ὕπνον ἀπιέναι, ἀνάπαυσιν σώματος καὶ ψυχῆς· καὶ διαφύλαξον ἡμᾶς ἀπὸ τοῦ ζοφεροῦ ὕπνου τῆς ἁμαρτίας, καὶ ἀπὸ πάσης σκοτεινῆς, καὶ νυκτερινῆς ἡδυπαθείας. Παῦσον τὰς ὁρμὰς τῶν παθῶν, σβέσον τὰ πεπυρωμένα βέλη τοῦ πονηροῦ, τὰ καθ' ἡμῶν δολίως κινούμενα· τὰς τῆς σαρκὸς ἡμῶν ἐπαναστάσεις κατάσειλον, καὶ πᾶν γεῶδες, καὶ ὑλικὸν ἡμῶν φρόνημα κοίμισον. Καὶ δώρησαι ἡμῖν, ὁ Θεὸς, γρήγορον νοῦν, σώφρονα λογισμὸν, καρδίαν νήφουσαν, ὕπνον ἐλαφρὸν, καὶ πάσης σατανικῆς φαντασίας ἀπηλλαγμένον. Διανάστησον δὲ ἡμᾶς ἐν τῷ καιρῷ τῆς προσευχῆς, ἐστηριγμένους ἐν ταῖς ἐντολαῖς σου, καὶ τὴν μνήμην τῶν σῶν κριμάτων ἐν ἑαυτοῖς ἀπαράθραυστον ἔχοντας. Παννύχιον ἡμῖν τὴν σὴν δοξολογίαν χάρισαι, εἰς τὸ ὑμνεῖν, καὶ εὐλογεῖν, καὶ δοξάζειν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς, καὶ τοῦ

Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὑπερένδοξε, ἀειπάρθενε, εὐλογημένη Θεοτόκε, προσάγαγε τὴν ἡμετέραν προσευχὴν τῷ Υἱῷ σου, καὶ Θεῷ ἡμῶν, καὶ αἴτησαι, ἵνα σώσῃ διὰ σοῦ τὰς ψυχὰς ἡμῶν.

Ἡ ἐλπίς μου ὁ Πατὴρ, καταφυγή μου ὁ Υἱὸς, σκέπη μου τὸ Πνεῦμα τὸ ἅγιον. Τριὰς ἁγία, δόξα σοι.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μήτηρ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δόξα, καὶ νῦν. Κύριε ἐλέησον γ'. καὶ ἀπόλυσις.

Τέλος τῆς ἐν τῷ πρώτῳ μέρει τοῦ Ὡρολογίου Νυχθημέρου Ἀκολουθίας.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΩΡΟΛΟΓΙΟΥ

## ΤΟΥ ΜΕΓΑΛΟΥ

### ΜΕΡΟΣ Β'.

ΠΕΡΙΕΧΟΝ

Τὰ Τροπάρια, ἤτοι Ἀπολυτίκια καὶ Κοντάκια τῶν ἀκινήτων Ἑορτῶν, καὶ τῶν καθ' ἑκάστην ἡμέραν Ἁγίων τοῦ ὅλου ἐνιαυτοῦ.

Τὰ Ἀπολυτίκια καὶ Κοντάκια τοῦ Τριῳδίου καὶ Πεντηκοσταρίου.

Τὰ ἐν ταῖς Κυριακαῖς ψαλλόμενα Ἀναστάσιμα Ἀπολυτίκια, Θεοτοκία, καὶ Ὑπακοὰς τῆς Ὀκτωήχου.

Τὰ ἐν ταῖς λοιπαῖς τῆς Ἑβδομάδος ἡμέραις ψαλλόμενα Ἀπολυτίκια.

Τὰ ἐν ὅλῳ τῷ ἐνιαυτῷ ψαλλόμενα Θεοτοκία, μετὰ τὰ Ἀπολυτίκια τῶν μὴ ἑορταζομένων Ἁγίων.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων




Ὅς τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι.

Μάρκ. ι'. 24.

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Λεβαδέων
Μουσείο Τυπαλδών Ιακωβάτων

# ΤΡΟΠΑΡΙΑ

## ΤΩΝ ΑΚΙΝΗΤΩΝ ΤΟΥ ΟΛΟΥ ΕΝΙΑΥΤΟΥ ΕΟΡΤΩΝ,

### ΚΑΙ ΤΩΝ ΚΑΘ ΗΜΕΡΑΝ ΑΓΙΩΝ.

## ΜΗΝ ΣΕΠΤΕΜΒΡΙΟΣ.

Ἔχων ἡμέρας 30. Ἡ ἡμέρα ἔχει ὥρας 12, καὶ ἡ νὺξ ὥρας 12.

Ὁ ΙΗΣΟΥΣ ΔΙΔΑΣΚΩΝ ΕΝ ΤΩ ΙΕΡΩ.



Ϟ 1. Ἀρχὴ τῆς Ἰνδίκτου, ἤτοι τοῦ Νέου Ἔτους· καὶ μνήμη τοῦ ὁσίου Πατρὸς ἡμῶν Συμεὼν τοῦ Στυλίτου· καὶ ἡ Σύναξις τῆς ὑπεραγίας Θεοτόκου τῶν Μιασηνῶν· καὶ τοῦ ἁγίου Μάρτυρος Ἀειθαλᾶ· καὶ τῶν ἁγίων τεσσαράκοντα Γυναικῶν, καὶ Ἀμμοῦν διακόνου, καὶ διδασκάλε αὐτῶν· καὶ τῶν ἁγίων Μαρτύρων Καλλίσης, Εὐόδε, καὶ Ἑρμογένους τῶν αὐταδέλφων· καὶ μνήμη τοῦ δικαίε Ἰησοῦ τοῦ Ναυῆ· ϟ ἀνάμνησις τοῦ μεγάλε Ἐμπρησμοῦ.

Ἰνδικτιῶνος ἀρχή. Οἱ τῆς Ῥώμης Αὐτοκράτορες, πρὸς διατήρησιν τῶν στρατευμάτων, διέτασσον διὰ θεσπίσματος εἰς τοὺς ἑαυτῶν ὑπηκόους φόρον τινὰ γενικὸν, κατὰ πᾶσαν ἐπαρχίαν, οἵτινος ἡ πληρωμὴ ἐγίνετο κατ' ἐνιαυτὸν, ἐπαναλαμβανομένου τοῦ αὐτοῦ θεσπίσματος εἰς διάστημα ἐτῶν 15. καθότι 15. ἔτη ἐχρεώσουν στρατεύεσθαι οἱ τῶν Ῥωμαίων στρατιῶται. Μετὰ δὲ τὴν τούτων συμπλήρωσιν,

ΑΠΟΘΗΚΕΣ
Ψηφιακή Κεντρική Συλλογή Ελληνικού Πολιτισμού - Μουσείο Μπενάκη
Ιερά Μονή Αγίου Ιακώβου

ἀνανεοῦντες πάλιν τὸ θέσπισμα, μετά τινος τροπολογίας, διὰ τὴν ἐν τῷ διασήματι τούτῳ ἐνδεχομένην τῶν πραγμάτων μεταβολήν, διέτασσον ἐκ νέου ἕτερον φόρον, πληρωτέον καὶ αὐτὸν κατὰ συνέχειαν εἰς ὁλόκληρον δεκαπενταετίαν. Εἶτα ἐκ τρίτου ἄλλον, καὶ οὕτω καθεξῆς. Τὸ δὲ αὐτοκρατορικὸν θέσπισμα, δι' οὗ ὁ φόρος οὗτος διετάσσετο ὀλίγον τι πρὸ τοῦ χειμῶνος, ὠνομάζετο Indictio, ὅ ἐστιν ὁρισμός, ἢ διάγγελμα περὶ τοῦ φόρου· ὅπερ ἐξελληνίσαντες εἰς τὸ Ἰνδικτιὼν οἱ βασιλεῖς τῆς Κωνσταντινουπόλεως, διετήρησαν αὐτήν, εἰ καὶ ἀντ' αὐτῆς ἐνίοτε μετεχειρίζοντο τὴν Ἐπινέμησιν, σημαίνουσαν διανομήν. Εἰσήγαγε δὲ τὰς Ἰνδικτιῶνας κατὰ τὴν κοινοτέραν γνώμην, πρῶτος ὁ Μ. Κωνσταντῖνος, τῷ 312 ἔτει ἀπὸ Χριστοῦ, ὅτε καὶ τὸ σημεῖον τοῦ Σταυροῦ εἶδεν ἐν οὐρανῷ, καὶ τὸν Μαξέντιον νικήσας, ἀνηγορεύθη Αὐτοκράτωρ τῆς Δύσεως (Μαΐου 21.). Τινὲς δὲ (καὶ ἴσως πιθανώτερον) ἀνάγουσι τῶν Ἰνδικτιώνων τὴν ἀρχὴν ἕως ἐπὶ Αὐγούστου Καίσαρος, 3 ἔτη πρὸ Χριστοῦ, φέροντες εἰς τοῦτο ἀπόδειξιν Παπικήν τινα σφραγῖδα (Bullam), ἤτοι θέσπισμα Παπικόν, ἐκδοθὲν μὲν τῷ 781 ἔτει ἀπὸ Χριστοῦ, σεσημειωμένον δὲ οὕτως: anno 4. indictionis LIII. ὅ ἐστιν, ἔτει δ'. τῆς ΝΓ'. Ἰνδικτιῶνος, ἐξ οὗ συνάγεται τὸ εἰρημένον ἔτος· καθότι, πολλαπλασιαζομένων τῶν 52 ὁλοκλήρων περιόδων τῆς Ἰνδικτιῶνος, προστιθεμένων καὶ τῶν 4 ἐτῶν τῆς 53, προκύπτει ἀριθμὸς 784, τὰ ἀπὸ Χριστοῦ δηλαδὴ ἔτη 781, καὶ 3 πλέον.

Ὑπάρχουσι δὲ τρία Ἰνδικτιῶνος εἴδη. Α'. ἡ εἰς τὴν δύσιν εἰσαχθεῖσα, ἥτις καλεῖται: Αὐτοκρατορικὴ, Καισαρικὴ καὶ Κωνσταντινιακή· καὶ ἄρχεται ἀπὸ τῆς 24 Σεπτεμβρίου. Β'. ἡ λεγομένη Παπικὴ, ἀρχομένη ἀπὸ τῆς 1 Ἰανουαρίου. Καὶ Γ'. ἡ τῆς Κωνσταντινουπόλεως, ἣν παραλαβόντες οἱ ταύτης Πατριάρχαι, μετὰ τὴν πτῶσιν τῆς Ἀνατολικῆς αὐτοκρατορίας, γράφουσιν αὐτὴν ἰδιοχείρως εἰς τοῖς ὑπ' αὐτῶν ἐκδιδομένοις θεσπίσμασι, χωρὶς τοῦ ἀριθμεῖν καὶ τὴν ἀκολουθίαν τῶν Ἰνδικτιώνων ἢ περιόδων τῶν δεκαπέντε ἐτῶν· ἄρχεται δὲ αὕτη, μετά τινος τελετῆς, ἀπὸ τῆς 1. Σεπτεμβρίου. Καὶ αὕτη μὲν τῆς Ἰνδικτιῶνος ἡ ἀρχὴ, καὶ τῆς εἰς 15 ἔτη περιόδου αὐτῆς ἡ αἰτία.

Ἐπειδὴ δὲ, μετὰ τὴν συγκομιδὴν τῶν καρπῶν εἰς ἀποθήκας, γίνεται τρόπον τινὰ συμπλήρωσις τοῦ ὅλου ἐνιαυτοῦ, καὶ ἀρχόμεθα πάλιν ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς καταβάλλειν ἐκ νέου τὰ σπέρματα εἰς τὴν γῆν, πρὸς νέων γεννημάτων προμήθειαν διὰ τὸ μέλλον, τοῦτο ὁ μὲν Σεπτέμβριος λογίζεται νέου ἔτους ἀρχή· ἡ δὲ Ἐκκλησία, ἑορτάζουσα σήμερον, ἐξαιτεῖται παρὰ Θεοῦ εὐκρασίαν ἀέρων, βροχὰς ἐγκαίρους, εὐφορίαν τῆς γῆς, κτλ. Ὅτι δὲ καὶ ἡ παλαιὰ τῶν Ἰουδαίων Συναγωγὴ ἑώρταζε τὴν λεγομένην τῶν Σαλπίγγων ἑορτὴν κατὰ τὴν σήμερον, προσφέρουσα τῷ Θεῷ εὐχαριστηρίους ὕμνους, μάρτυς ἡ ἁγία Γραφὴ (Λευϊτ. κγ', 24-25. Ἀριθμ. κθ', 1-2). Ἔστι καὶ τρίτη αἰτία τῆς παρούσης ἑορτῆς: Ἡ ἀνάμνησις τῆς εἰσόδου τοῦ Ἰησοῦ εἰς τὴν ἐν Ναζαρὲτ Συναγωγὴν τῶν Ἰουδαίων· ὅτε καὶ ἐπεδόθη αὐτῷ

βιβλίον Ἡσαΐου τοῦ Προφήτου πρὸς ἀνάγνωσιν· καὶ ἀνοίξας αὐτό, εὗρε τὸν τόπον, ὅπου ἦν γεγραμμένον: "Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ ἕνεκεν ἐχρισέ με, κτλ. (Λουκ. δ', 16-18). Ταῦτα περὶ τῆς παρούσης Ἑορτῆς καὶ τῆς Ἰνδικτιῶνος.

Ἐκ δὲ τῶν σήμερον ἑορταζομένων Ἁγίων, ὁ μὲν Συμεὼν ἐγεννήθη κατὰ τὸ 392 ἔτος, ἔντινι κώμῃ καλουμένῃ Σισάν, ἐν τοῖς μεθορίοις Κιλικίας καὶ Συρίας· εἰσῆλθεν εἰς τὸ μοναδικὸν στάδιον ἐκ νεαρᾶς ἡλικίας· ἐγυμνάσθη πρότερον ἐν μοναστηρίῳ, εἶτα καὶ κατὰ μόνας εἰς τόπον ἔρημον· καὶ τελευταῖον, ἀναβὰς κατὰ τὰ ὄρη τῆς Συρίας ἐπί τινος στύλου ὑψηλοῦ, ἀφ' οὗ καὶ Στυλίτης ἐπωνομάσθη, ἐνεκαρτέρησεν ἐπ' αὐτοῦ ἔτη πολλά, ὄρθιος τὸ πλεῖστον· καὶ ζήσας τὰ πάντα 69, ἐτελεύτησε τῷ 461 ἔτει.

Ὁ δὲ Ἰησοῦς τοῦ Ναυῆ ἦν ἐκ φυλῆς Ἐφραίμ· ἐγεννήθη ἐν Αἰγύπτῳ, περὶ τὰ 1654 ἔτη πρὸ Χριστοῦ· διεδέχθη τὸν Μωϋσῆν τῷ 85 ἔτει τῆς ἡλικίας αὐτοῦ· ἀνεχαίτισε τὸ ῥεῦμα τοῦ Ἰορδάνου, καὶ διεβίβασε τοὺς Ἰσραηλίτας πεζούς· ἔστησε τὸν δρόμον τοῦ Ἡλίου, πολεμῶν τοὺς Ἰεβουσαίους· ἐμέρισε τὴν γῆν τῆς ἐπαγγελίας εἰς τὰς δώδεκα φυλὰς τῶν Ἰσραηλιτῶν· ἐκυβέρνησεν αὐτὰς 25 ἔτη· συνέγραψε τὸ εἰς ὄνομα αὐτοῦ ἐπιγραφόμενον "Ἔκτον βιβλίον τῆς Παλαιᾶς Διαθήκης· καὶ ζήσας τὰ πάντα ἔτη 110, ἐτελεύτησε τῷ 1544. πρὸ Χριστοῦ.

## Ἀργία, καὶ Κατάλυσις οἴνου καὶ ἐλαίου.

## Ἀπολυτίκιον τῆς Ἰνδίκτου, Ἦχος β'.

Ὁ πάσης Δημιουργὸς τῆς κτίσεως, ὁ καιροὺς καὶ χρόνους ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ θέμενος, εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου Κύριε, φυλάττων ἐν εἰρήνῃ τοὺς Βασιλεῖς καὶ τὴν Πόλιν σου πρεσβείαις τῆς Θεοτόκου, καὶ σῶσον ἡμᾶς.

## Τοῦ Ὁσίου, Ἦχος α'.

Ὑπομονῆς ζύλος γέγονας, ζηλώσας τοὺς προπάτορας ὄσιε· τὸν Ἰὼβ ἐν τοῖς πάθεσι, τὸν Ἰωσὴφ ἐν τοῖς πειρασμοῖς, καὶ τὴν τῶν Ἀσωμάτων πολιτείαν, ὑπάρχων ἐν σώματι. Συμεὼν Πατὴρ ἡμῶν ὄσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

## Τῆς Θεοτόκου, Ἦχος βαρύς.

Χαῖρε κεχαριτωμένη, Θεοτόκε Παρθένε, λιμὴν ἡ προσασία τοῦ γένους τῶν ἀνθρώπων· ἐκ σοῦ γὰρ ἐσαρκώθη ὁ λυτρωτὴς τοῦ κόσμου· μόνη γὰρ ὑπάρχεις Μήτηρ καὶ Παρθένος, ἀεὶ εὐλογημένη καὶ δεδοξασμένη. Πρέσβευε Χριστῷ τῷ Θεῷ, εἰρήνην δωρήσασθαι πάσῃ τῇ οἰκουμένῃ.

ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ

Κοντάκιον τοῦ Ὁσίου, Ἦχος β'. Αὐτόμελον.

Τὰ ἄνω ζητῶν, τοῖς κάτω συναπτόμενος, καὶ ἅρμα πυρὸς, τὸν Στύλον ἐργασάμενος, δι' αὐτοῦ συνόμιλος τῶν Ἀγγέλων γέγονας Ὅσιε, σὺν αὐτοῖς Χριστῷ τῷ Θεῷ, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

✠ 2. Τοῦ ἁγίου Μάρτυρος Μάμαντος· καὶ τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Νηστευτοῦ, πατριάρχου Κωνσταντινουπόλεως.

Ὁ μὲν ὑπῆρχεν ἐκ Γάγγρας τῆς Παφλαγονίας, γεννηθεὶς ἐν φυλακῇ, ὅπου οἱ γονεῖς αὐτοῦ ὑπὲρ Χριστοῦ ἐτελεύτησαν· καὶ συνεχῶς Ἀμμίαν τὴν θετὴν αὐτοῦ μητέρα Μαμᾶ καλῶν, ὠνομάσθη Μάμας· ἤθλησε δὲ περὶ τὸ 275. Ὁ δὲ Ἰωάννης ἐπατριάρχευσεν ἐπὶ Τιβερίου, ἐν ἔτει 582. καὶ κυβερνήσας τὴν Ἐκκλησίαν ἔτη 13 καὶ μῆνας 5, ἐκοιμήθη ἐν εἰρήνῃ τῷ 595. Εἰς τὸν Πατριάρχην τοῦτον ἐκυρώθη τὸ πρῶτον, κατὰ τὸ 586 ἔτος, ὁ ἕως τότε ἀσυνήθης τίτλος, Οἰκουμενικός.

Ἀπολ. τοῦ Μάρτ. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ὁ Μάρτυς σου Κύριε, ἐν τῇ ἀθλήσει αὐτοῦ, τὸ στέφος ἐκομίσατο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· ἔχων γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλεν· ἔθραυσε καὶ δαιμόνων τὰ ἀνίσχυρα θράση. Αὐτοῦ τῶν ἱκεσίαις Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν.

Τοῦ Ἱεράρχου, Ἦχος δ'.

Κανόνα πίστεως, καὶ εἰκόνα πραότητος, ἐγκρατείας διδάσκαλον, ἀνέδειξέσε τῇ ποίμνῃ σε ἡ τῶν πραγμάτων ἀλήθεια· διὰ τοῦτο ἐκτήσω, τῇ ταπεινώσει τὰ ὑψηλὰ, τῇ πτωχείᾳ τὰ πλούσια. Πάτερ Ἱεράρχα Ἰωάννη, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκ. τοῦ Μάρτ. Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Ἐν τῇ ῥάβδῳ Ἅγιε, τῇ ἐκ Θεοῦ σοι δοθείσῃ, τὸν λαόν σου ποίμανον, ἐπὶ νομὰς ζωηφόρους· θῆρας δὲ τοὺς ἀοράτους καὶ ἀνημέρους, σύντριψον ὑπὸ τοὺς πόδας τῶν σὲ ὑμνούντων· ὅτι πάντες οἱ ἐν κινδύνοις, προστάτην Μάμα θερμόν σε κέκτηνται.

✠ 3. Τοῦ ἁγίου Ἱερομάρτυρος Ἀνθίμου ἐπισκόπου Νικομηδείας· καὶ τοῦ ὁσίου Πατρὸς ἡμῶν Θεοκτίστου συναστικοῦ τοῦ Μεγάλου Εὐθυμίου.

ΔΗΜΟΣΙΕΥΣΙΣ ΒΙΒΛΙΟΘΗΚΗΣ

Ὁ μὲν ὑπέμεινε τὸ μαρτύριον ἐπὶ Μαξιμίνου, ἐν ἔτει 311. Ὁ δὲ Θεόκτιστος ἐτελεύτησε περὶ τὸ 451.

## Ἀπολυτίκιον τοῦ Ἱερομάρτυρος. Ἦχος δ'.

Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος, τῶν Ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὗρες θεόπνευστε, εἰς θεωρίας ἐπίβασιν· διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίστει ἐνήθλησας μέχρις αἵματος Ἱερομάρτυς Ἄνθιμε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

## Τοῦ Ὁσίου, Ἦχος πλ. δ'.

Ταῖς τῶν δακρύων σου ῥοαῖς, τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας· καὶ τοῖς ἐκ βάθους στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας· καὶ γέγονας φωστήρ, τῇ οἰκουμένῃ λάμπων τοῖς θαύμασι, Θεόκτιστε Πατὴρ ἡμῶν ὅσιε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

## Κοντάκ. τοῦ Ἱερ. Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἐν ἱερεῦσιν ἀκριβῶς διαπρέψας, καὶ μαρτυρίου τὴν ὁδὸν διανύσας, τὰ τῶν εἰδώλων ἔσβεσας σεβάσματα, πρόμαχος γενόμενος, τῆς σῆς ποίμνης θεόφρον· διό σε καὶ γεραίρει νῦν, μυσικῶς ἐκβοῶσα: Ἐκ τῶν κινδύνων λύτρωσαι ἡμᾶς, ταῖς σαῖς πρεσβείαις ἀοίδιμε Ἄνθιμε.

✠ 4. Τοῦ ἁγίου Ἱερομάρτυρος Βαβύλα, ἐπισκόπου Ἀντιοχείας· καὶ τῶν ἁγίων καὶ θεόπτου Μωϋσέως τοῦ Προφήτου.

Ὁ μὲν Βαβύλας, ἐπίσκοπος Ἀντιοχείας ὢν δωδέκατος, καὶ διάδοχος τοῦ Ζεβίνου ἢ Ζεβινᾶ, ἤθλησεν ἐπὶ Δεκίου, περὶ τὸ 250 ἔτος. Ὁ δὲ Μωϋσῆς, ὁ ὑπέρτατος τῶν φιλοσόφων, ὁ σοφώτατος τῶν νομοθετῶν, καὶ τῶν ἱστοριογράφων ἁπάντων ὁ ἀρχαιότατος, ὑπῆρχεν ἐκ φυλῆς Λευΐ, υἱὸς Ἀμβρὰμ καὶ Ἰωχαβέδ. Ἐγεννήθη ἐν Αἰγύπτῳ, ἔτει 1689 πρὸ Χριστοῦ. Βρέφος ὢν ἔτι τριῶν μηνῶν, βληθεὶς εἰς σίβην, ὅ ἐστι κιβώτιον ἐκ παπύρου κατεσκευασμένον, καὶ πανταχόθεν πεπισσωμένον, ἐρρίφη εἰς τὰς ἄχθας τοῦ Νείλου, διὰ τὸ πρόσταγμα καὶ τὸν φόβον τοῦ Φαραώ. Ληφθεὶς ἐκεῖθεν ὑπὸ τῆς θυγατρὸς αὐτοῦ, καὶ γενόμενος αὐτῆς υἱὸς θετὸς, ἀνετράφη ἐν τῇ βασιλικῇ αὐλῇ 40 ἔτη. Φυγὼν ἔπειτα εἰς Μαδιάμ, εἶδεν ἐπὶ τοῦ ὄρους Χωρὴβ τὴν ὀπτασίαν τῆς καιομένης βάτου, περὶ τὸ 80ὸν ἔτος τῆς ἡλικίας αὐτοῦ· ὅτε, χειροτονηθεὶς ὑπὸ Θεοῦ ἡγεμὼν τοῦ Ἰσραὴλ, ἐξήγαγεν αὐτὸν ἐκ γῆς Αἰγύπτου· διεβίβασεν αὐτὸν διὰ τῆς Ἐρυθρᾶς θαλάσσης, ὡς διὰ

ξηρᾶς· ἐνυβέρνησεν αὐτὸν ἐν τῇ ἐρήμῳ 40 ἔτη· ἐποίησε τέρατα καὶ σημεῖα πολλά· συνέγραψε τὰ πέντε πρῶτα βιβλία τῆς Παλαιᾶς Διαθήκης, ἅτινα καὶ Πενταteuχος καλοῦνται. Φθάσας δὲ εἰς τὴν γῆν Μωάβ, ἀνέβη εἰς τὸ ὄρος Ναβαῦ, ἐπὶ τὴν κορυφὴν αὐτοῦ Φασγὰ καλουμένην, καὶ ἐκεῖ, κατὰ θείαν κέλευσιν, ἐτελεύτησε τῷ 1569 ἔτει πρὸ Χριστοῦ, ζήσας τὰ πάντα ἔτη 120. Τούτου εἰσὶν αἱ ἐκ τῆς παλαιᾶς Διαθήκης δύο πρῶται τῆς Στιχολογίας Ὠδαί: Ἄσωμεν τῷ Κυρίῳ, κτλ. Πρόσεχε, οὐρανέ, καὶ λαλήσω, κτλ. ὧν τὴν μὲν ἐψαλε παρὰ τὸν αἰγιαλὸν τῆς Ἐρυθρᾶς θαλάσσης, εὐθὺς μετὰ τὴν διάβασιν αὐτῆς· τὴν δὲ δευτέραν, ἐπὶ τὴν γῆν Μωάβ, πρὸ τῆς τελευτῆς αὐτοῦ ὀλίγας ἡμέρας.

Ἀπολυτίκιον τοῦ Ἱερομάρτυρος, Ἦχος δ΄.

Καὶ τρόπων μέτοχος. Ὅρα ἀνωτέρω.

Τοῦ Προφήτου, Ἦχος β΄.

Τοῦ Προφήτου σου Μωϋσέως τὴν μνήμην Κύριε ἑορτάζοντες, δι' αὐτοῦ σε δυσωποῦμεν: Σῶσον τὰς ψυχὰς ἡμῶν.

Κοντάκ. τοῦ Ἱερομ. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Μεγαλεῖα πίστεως ἐν τῇ καρδίᾳ, περιθεὶς ἐφύλαξας, Ἱερομάρτυς Βαβύλα, μὴ δειλιάσας τὸν τύραννον, Χριστοῦ θεράπον· διὸ ἡμᾶς φύλαττε.

✠ 5. Τοῦ ἁγίου Προφήτου Ζαχαρίου, πατρὸς τοῦ τιμίου Προδρόμου.

Κατὰ τὴν γνώμην πολλῶν τῆς Ἐκκλησίας Πατέρων, ἐπισημοριζομένην εἰς ἀρχαίαν παράδοσιν, τὸν Ζαχαρίαν τοῦτον ἐφόνευσαν οἱ Ἰουδαῖοι, καθὼς ὁ Κύριος εἶπε πρὸς αὐτούς, μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου (Ματθ. κγ΄, 35), διὰ δύο αἴτια: Τὸ μὲν, ὅτι καὶ μετὰ τὴν κύησιν τῆς Παρθένου Μαριὰμ, ὁ Ζαχαρίας Παρθένον πάλιν ὠνόμαζεν αὐτὴν, καὶ μετὰ τῶν λοιπῶν παρθένων συνηρίθμει (Βασίλ. Λόγ. εἰς τὴν Χρ. Γέν.). Τὸ δὲ, ὅτι ἐν τῷ καιρῷ τῆς Βρεφοκτονίας (Δεκεμβρ. 29) οὐχ εὑρέθη Ἰωάννης ὁ υἱὸς αὐτοῦ· ἐπειδὴ ἡ γηραιὰ Ἐλισάβετ, παραλαβοῦσα αὐτὸν νηπιάζοντα, ἔκρυπτεν ἐπιμελῶς, ῥητῶς μὲν ἄδηλον ποῦ, ἀλλ' εἰς τὴν ἔρημον πάντως, ὅπου, κατὰ τὸν Εὐαγγελισμὸν, τὸ παιδίον νῦξανε καὶ ἐκραταιοῦτο πνεύματι, καὶ ἦν ἐν ταῖς ἐρήμοις, ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ πρὸς τὸν Ἰσραήλ (Λουκ. α. 80.). Μὴ εὑρεθέντος οὖν τοῦ υἱοῦ, ἐφονεύθη ὁ πατὴρ, διὰ προστάγματος τοῦ Ἡρώδου (Πέτρ. Ἀλεξανδρ. Καν. ιγ΄.).

Ἀπολυτίκιον, Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Ἱερωσύνης στολισμὸν περιβαλλόμενος σοφὲ, κατὰ τὸν νόμον τοῦ Θεοῦ ὁλοκαυτώματα δεκτὰ, ἱεροπρεπῶς

προσενήνοχας Ζαχαρία· καὶ γέγονας φωστὴρ, καὶ θεατὴς μυστικῶν, τὰ σύμβολα ἐν σοὶ τὰ τῆς χάριτος, φέρων ἐκδήλως πάνσοφε· καὶ ξίφει ἀναιρεθεὶς ἐν τῷ ναῷ τοῦ Θεοῦ, Χριστοῦ Προφῆτα, σὺν τῷ Προδρόμῳ, πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Ὁ προφήτης σήμερον, καὶ ἱερεὺς τοῦ Ὑψίστου, Ζαχαρίας προὔθηκεν, ὁ τοῦ Προδρόμου γενέτης, τράπεζαν, τῆς αὐτοῦ μνήμης πιστοὺς ἐκτρέφων, πόμα τε δικαιοσύνης τούτοις κεράσας. Διὸ τοῦτον εὐφημοῦμεν, ὡς θεῖον μύστην Θεοῦ τῆς χάριτος.

✠ 6. Ἡ ἀνάμνησις τοῦ γεγονότος θαύματος ἐν Κολασσαῖς, ἤτοι ἐν Χώναις, παρὰ τὸ Ἀρχιστρατήγου Μιχαήλ. Κατάλυσις οἴνου καὶ ἐλαίου.

Ἀπολυτίκ. Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῶν οὐρανίων στρατιῶν Ἀρχιστράτηγε, δυσωποῦμέν σε ἀεὶ ἡμεῖς οἱ ἀνάξιοι, ἵνα ταῖς σαῖς δεήσεσι τειχίσῃς ἡμᾶς, σκέπῃ τῶν πτερύγων, τῆς αὐλοῦ σου δόξης, φρουρῶν ἡμᾶς προσπίπτοντας, ἐκτενῶς καὶ βοῶντας: Ἐκ τῶν κινδύνων λύτρωσαι ἡμᾶς, ὡς Ταξιάρχης τῶν ἄνω Δυνάμεων.

Κοντάκιον, Ἦχος β'. Τοὺς ἀσφαλεῖς.

Ὁ τῇ Τριάδι παρεστὼς ὁλόφωτος, μετὰ πασῶν ἐπουρανίων τάξεων, καὶ τὸ ἔνθεον μελῴδημα, σὺν αὐταῖς ἀναφωνῶν Μιχαὴλ, καὶ τὴν γῆν θείᾳ νεύσει διερχόμενος, καὶ τέρασι μεγίστοις θαυμαζόμενος, μὴ παύσῃ πρεσβεύων ὑπὲρ πάντων ἡμῶν.

✠ 7. Προεόρτια τῆς Γεννήσεως τῆς ὑπεραγίας Θεοτόκου· καὶ μνήμη τοῦ ἁγίου Μάρτυρος Σώζοντος.

Ἠθλησεν ἐν Πομπηϊουπόλει τῆς Κιλικίας, ἐπὶ Μαξιμιανοῦ ἡγεμόνος αὐτῆς, τῷ 288.

Ἀπολ. Προεόρτιον, Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἐξ ὀσφύος τοῦ Δαυὶδ, ἡ θεόπαις Μαριὰμ, τίκτεται σήμερον ἡμῖν· διὸ καὶ

Απόδοση: Κεντρική Βιβλιοθήκη Μ. Φουρίου - Μουσείο Υπαλλοπλοίων Ναυτικών

χαίρει ἡ σύμπασα καὶ καινουργεῖται· συγχαίρει τε ὁμοῦ ὁ οὐρανὸς καὶ ἡ γῆ. Αἰνέσατε αὐτὴν αἱ πατριαὶ τῶν ἐθνῶν. Ἰωακεὶμ εὐφραίνεται, καὶ Ἄννα πανηγυρίζει κραυγάζουσα· Ἡ στεῖρα τίκτει τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

Κοντάκ. τῆς Θεοτόκου, Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Τῇ σεπτῇ Γεννήσει σου ἡ οἰκουμένη, τῷ αὐλῷ Πνεύματι, πεποικιλμένη νοερῶς, ἐν εὐφροσύνῃ κραυγάζει σοι· Χαῖρε Παρθένε, Χριστιανῶν τὸ καύχημα.

Ἀπολυτίκιον τοῦ Μάρτυρος, Ἦχος δ'.

Ὁ Μάρτυς σου Κύριε. Ὅρα ὄπισθεν, σελ. 172.

Κοντάκ. τοῦ αὐτοῦ, Ἦχος β'. Τοὺς ἀσφαλεῖς.

Τὸν ἀληθῆ καὶ θεοφόρον Μάρτυρα, καὶ ἀθλητὴν τῆς εὐσεβείας δόκιμον, συνελθόντες ἀνυμνήσωμεν, μεγαλοφώνως πάντες σήμερον, Σῴζοντα τὸν θεῖον μύστην τῆς χάριτος, ἰάσεων δοτῆρα πλουσιώτατον· πρεσβεύει γὰρ τῷ Θεῷ, ὑπὲρ πάντων ἡμῶν.

Η ΓΕΝΝΗΣΙΣ ΤΗΣ ΘΕΟΤΟΚΟΥ



✠ 8. Τὸ Γενέθλιον τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας.

Κατὰ τὴν ἀρχαίαν τῆς Ἐκκλησίας παράδοσιν, ἡ Θεοτόκος ἐγεννήθη ἐξ ἐπαγγελίας, περὶ τὸ 16, ἢ 17 ἔτος πρὸ τῆς Χρ. Γεννήσεως, στειρευόντων καὶ προβεβηκότων τὴν ἡλικίαν γονέων, τοῦ Ἰωακεὶμ καὶ τῆς Ἄννης· ὧν ὁ μὲν κατήγετο ἐκ τοῦ βασιλικοῦ γένους τοῦ Δαυὶδ φυλῆς Ἰούδα· ἡ δὲ Ἄννα, ἐκ τῆς ἱερατικῆς φυλῆς τοῦ Λευὶ, θυγάτηρ Ματθὰν τοῦ ἱερέως, καὶ Μαρίας τῆς γυναικὸς αὐτοῦ.

Ὀργία, καὶ ἰχθυος Κατάλυσις.

Ἀπολυτίκιον, Ἦχος δ'.

Ἡ Γέννησίς σου Θεοτόκε, χαρὰν ἐμήνυσε πάσῃ τῇ οἰκουμένῃ· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν· καὶ λύσας τὴν κατάραν, ἔδωκε τὴν εὐλογίαν· καὶ καταργήσας τὸν θάνατον, ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον.

Κοντάκιον, Ἦχος δ'.

Ἰωακεὶμ καὶ Ἄννα ὀνειδισμοῦ ἀτεκνίας, καὶ Ἀδὰμ καὶ Εὔα ἐκ τῆς φθορᾶς τοῦ θανάτου, ἠλευθερώθησαν Ἀχράντε ἐν τῇ ἁγίᾳ Γεννήσει σου. Αὐτὴν ἑορτάζει καὶ ὁ λαός σου, ἐνοχῆς τῶν πταισμάτων λυτρωθεὶς ἐν τῷ κράζειν σοι: Ἡ στεῖρα τίκτει τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

✠ 9. Τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ, καὶ Ἄννης· καὶ τοῦ ἁγίου Μάρτυρος Σεβηριανοῦ.

Ἠθλησεν ἐπὶ Λικινίου βασιλέως, καὶ Λυσίου δουκὸς, ἐν ἔτει 315.

Ἐν ταύτῃ τῇ ἡμέρᾳ γίνεται καὶ ἡ φθινοπωρινὴ Ἰσημερία.

Κατάλυσις οἴνου καὶ ἐλαίου.

Ἀπολυτ. τῆς Ἑορτῆς καὶ τῶν Ἁγίων, Ἦχος β'.

Τῶν δικαίων Θεοπατόρων σου Κύριε τὴν μνήμην ἑορτάζοντες, δι' αὐτῶν σε δυσωπῶμεν: Σῶσον τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Εὐφραίνεται νῦν, ἡ Ἄννα τῶν στειρώσεως, λυθεῖσα δεσμῶν, καὶ τρέφει τὴν Παναχραντον, συγκαλέσα ἅπαντας, ἀνυμνῆσαι τὸν δωρησάμενον, ἐκ τῆς νηδύος αὐτῆς τοῖς βρατοῖς, τὴν μόνην Μητέρα τὴν ἀπειράνδρον.

✠ 10. Τῶν ἁγίων Μαρτύρων Μηνοδώρας, Μητροδώρας, καὶ Νυμφοδώρας.

Ἦσαν ἐκ Βιθυνίας, ἀδελφαὶ κατὰ σάρκα, ἐπὶ Μαξιμιανοῦ τῷ 304. ἔτει ἀθλήσασαι.

Ἀπολυτίκιον τῆς Ἑορτῆς· Κοντάκιον τῶν Ἁγίων.

Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὑπὲρ Τριάδος καρτερῶς ἐναθλήσασα, τὸν πολυμήχανον ἐχθρὸν ἐτροπώσασθε, ἀδελφικῶς συνδούμεναι τῷ

πνεύματι· ὅθεν εἰσφκίσθητε, σὺν ταῖς πέντε Παρθένοις, εἰς τὸν ἐπουράνιον, Ἀθληφόροι νυμφῶνα· καὶ σὺν Ἀγγέλοις τῷ Παμβασιλεῖ, ἐν εὐφροσύνῃ ἀπαύστως παρίστασθε.

✠ 11. Τῆς ὁσίας Μητρὸς ἡμῶν Θεοδώρας τῆς ἐν Ἀλεξανδρείᾳ.

Ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Ζήνωνος, ἐν ἔτει 472. μετονομασθεῖσα δὲ Θεόδωρος, καὶ ἀνδρικῶς ἐνδυσαμένη, ἔζησεν ἐν μοναστηρίῳ ἀνδρῶν, ἄγνωστος ἕως τέλους.

Ἀπολυτ. τῆς Ἑορτῆς· καὶ τῆς Ἁγίας, Ἦχος πλ. δ'.

Ἐν σοὶ Μῆτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα· λαβοῦσα γὰρ τὸν σταυρόν, ἠκολούθησας τῷ Χριστῷ, καὶ πράττουσα ἐδίδασκες, ὑπερορᾶν μὲν σαρκὸς, παρέρχεται γάρ· ἐπιμελεῖσθαι δὲ ψυχῆς, πράγματος ἀθανάτου· διὸ καὶ μετὰ Ἀγγέλων συναγάλλεται, ὁσία Θεοδώρα τὸ πνεῦμά σου.

Κοντάκιον, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τὸ σῶμα τὸ σὸν, νηστείαις κατατήξασα, ἀγρύπνοις εὐχαῖς, τὸν Κτίστην καθικέτευσας, τοῦ λαβεῖν συγχώρησιν, τὴν τελείαν τῆς ἁμαρτίας σου· ἣν καὶ ἔλαβες ἀληθῶς, ὁδὸν μετανοίας ὑποδείξασα.

✠ 12. Τοῦ ἁγίου Ἱερομάρτυρος Αὐτονόμου.

Ἐπίσκοπος ἦν κατὰ τὴν Ἰταλίαν· ἤθλησεν ἐπὶ Διοκλητιανοῦ, τῷ 298. Ἡ τούτου Ἀπολυθία ψάλλεται εἰς τὰς 11, διὰ τὸ ἀποδίδοσθαι σήμερον τὴν Ἑορτὴν τῆς Θεοτόκου.

Κοντάκιον τοῦ Ἁγίου, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τὰ θεῖα σοφὲ, σεμνῶς ἐμυσταγώγησας, θυσία δεκτὴ, ἐγένου παμμακάριστε· τοῦ Χριστοῦ γὰρ ἔπιες τὸ ποτήριον Μάρτυς Αὐτόνομε· καὶ αὐτῷ νυνὶ παρεστὼς, πρεσβεύεις ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

✠ 13. Τὰ Ἐγκαίνια τοῦ Ναοῦ τῆς ἁγίας τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν Ἀναστάσεως· καὶ Προεόρτια τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· καὶ μνήμη τοῦ ἁγίου Ἱερομάρτυρος Κορνηλίου τοῦ Ἑκατοντάρχου.

Ὁ μὲν Ναὸς ἐστιν, ὁ ὑπὸ πάντων τῶν πιστῶν διαφερόντως τιμώμενος Ναὸς τοῦ ἁγίου Τάφου, ὃν ὁ Μ. Κωνσταντῖνος ἀνήγειρεν ἐν

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημοσιακή Κεντρική Βιβλιοθήκη Καισαριού - Ιδρυμα Τεχνολογικής Εκπαίδευσης

τὸν τόπον τοῦ Γολγοθᾶ, ἔνθα ὁ τοῦ κόσμου Σωτὴρ ἐσταυρώθη καὶ ἐτάφη. Ὑπῆρχε δὲ πρὸ πολλοῦ ὁ τόπος οὗτος συγκεχωσμένος ἐπίτηδες ὑπὸ τῶν Ἰουδαίων καὶ ἐθνικῶν· ἐπὶ δὲ Ἀδριανοῦ τοῦ Αἰλίου, καὶ εἰδωλεῖον τῆς Ἀφροδίτης ἐκτίσθη ἐπ' αὐτοῦ, πρὸς περισσοτέραν τοῦ ἱεροῦ τόπου βεβήλωσιν, καὶ παντελῆ αὐτοῦ λήθην. Ἐκεῖ ἐκρύπτετο καὶ ὁ τίμιος Σταυρός· ἀλλ' ἀνασκαβῆς γενομένης, κατὰ τὴν τοῦ εὐσεβοῦς Βασιλέως ἐπιταγήν, εὑρέθησαν ὁμοῦ τοῦ σωτηρίου πάθους τὰ σύμβολα. Ἐπ' αὐτὸν οὖν τὸν τόπον ᾠκοδομήθη ὁ ἐπ' ὀνόματι τῆς ζωηφόρου Ἀναστάσεως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν μέγιστος καὶ περικαλλὴς Ναός, δι' ἐπιστασίας τῆς μακαρίας Ἑλένης, Δρακιλιανοῦ τοῦ τῆς Παλαιστίνης ἐπάρχου, καὶ Μακαρίου τοῦ τότε τῶν Ἱεροσολύμων Πατριάρχου, ὅς τις καὶ τὸν τίμιον Σταυρὸν ὕψωσε (Σεπτεμ. 14.), καὶ τὰ Ἐγκαίνια τοῦ Ναοῦ τούτου ἐποίησε, περὶ τὸ 330 ἔτος.

Ὁ δὲ Κορνήλιος ἦν Ῥωμαῖος τὸ γένος, ἐθνικὸς τὴν θρησκείαν, ἑκατόνταρχος τὸ ἀξίωμα, κάτοικος τῆς ἐν Παλαιστίνῃ Καισαρείας, ἀνὴρ εὐσεβὴς καὶ θεοφοβούμενος, ποιῶν ἐλεημοσύνας πολλὰς εἰς τὸν λαὸν, καὶ διαπαντὸς τοῦ Θεοῦ δεόμενος. Κατὰ δὲ τὸ 41 ἔτος, ἰδὼν ὀπτασίαν ἀγγελικὴν, ἀποστείλας ἐκάλεσεν ἐκ τῆς Ἰόππης Πέτρον τὸν Ἀπόστολον, ὑφ' οὗ κατηχηθεὶς τὴν εἰς Χριστὸν πίστιν, καὶ πανοικὶ βαπτισθείς, ἐγένετο ἀπαρχὴ τῆς τῶν ἐθνικῶν κλήσεως. Λέγεται δὲ ὅτι μετὰ ταῦτα προεχειρίσθη καὶ ἐπίσκοπος, κατά τινας μὲν, αὐτῆς τῆς Καισαρείας, κατ' ἄλλους δὲ, τῆς Σκήψεως, οὐ μακρὰν τῆς Τρωάδος· καὶ ὅτι ἐτελεύτησε μαρτυρικῶς.

## Κατάλυσις οἴνου καὶ ἐλαίου.

### Ἀπολυτίκιον τῶν Ἐγκαινίων, Ἦχος δ'.

Ὡς τοῦ ἄνω σερεώματος τὴν εὐπρέπειαν, καὶ τὴν κάτω συναπέδειξας ὡραιότητα, τοῦ ἁγίου σκηνώματος τῆς δόξης σου Κύριε. Στερέωσον αὐτὸ εἰς αἰῶνα αἰῶνος, καὶ πρόσδεξαι ἡμῶν, τὰς ἐν αὐτῷ ἀπαύστως προσαγομένας σοι δεήσεις, διὰ τῆς Θεοτόκου, ἡ πάντων ζωὴ καὶ ἀνάστασις.

### Ἕτερον τοῦ Σταυροῦ, Ἦχος β'.

Τὸν ζωοποιὸν Σταυρὸν τῆς σῆς ἀγαθότητος, ὃν ἐδωρήσω ἡμῖν τοῖς ἀναξίοις Κύριε, σοὶ προσάγομεν εἰς πρεσβείαν. Σῶζε τοὺς Βασιλεῖς καὶ τὴν Πόλιν σου, ἱκετεύοντας διὰ τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.

### Κοντάκιον τῶν Ἐγκαινίων, Ἦχος δ'.

Ἐπεφάνης σήμερον.

Οὐρανὸς πολύφωτος ἡ Ἐκκλησία, ἀνεδείχθη ἅπαντας φωταγωγοῦσα τοὺς πιστοὺς ἐν ᾧ ἑστῶτες κραυγάζομεν: Τοῦτον τὸν Οἶκον στερέωσον Κύριε.

Τοῦ Ἁγίου, ὅμοιον.

Ἀπαρχὴν ἁγίαν σε ἡ Ἐκκλησία, ἐξ ἐθνῶν ἐδέξατο, καταφωτίζουσαν αὐτὴν, ταῖς ἐναρέτοις σου πράξεσιν, ἱερομύστα θεόφρον Κορνήλιε.

✠ 14. Ἡ παγκόσμιος Ὕψωσις τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ.

Τοῦτον ζητήσασα ἐν Ἱερουσαλὴμ ἡ μακαρία Ἑλένη, μήτηρ Κωνσταντίνου τοῦ Μεγάλου, εὗρε κεκρυμμένον ἐν γῇ, περὶ τὸ 325 ἔτος· εἶτα ὑψωθέντα ἐπ' ἄμβωνος ὑπὸ τοῦ τότε Ἱεροσολύμων πατριάρχου Μακαρίου, ἰδὼν αὐτὸν ὁ λαὸς, ἐβόησε τὸ, Κύριε ἐλέησον. Ἱστέον δὲ ὅτι, μετὰ τὴν εὕρεσιν ταύτην τοῦ τιμίου Σταυροῦ, μέρος μὲν αὐτοῦ ἠνέχθη τότε εἰς Κωνσταντινούπολιν χάριν εὐλογίας. Τὸ δὲ λοιπὸν, καταλειφθὲν ἐν Ἱεροσολύμοις, διέμεινεν ἐκεῖ μέχρι τοῦ 614 ἔτους· ὅτε, λεηλατήσαντες τὴν Παλαιστίνην οἱ Πέρσαι, ἀπήγαγον αὐτὸν εἰς τὴν ἑαυτῶν πατρίδα (Ἰαν. 22.). Ὕστερον δὲ, τὸ 628 ἔτος, ἐκστρατεύσας κατ' αὐτῶν ὁ Ἡράκλειος, ἀνέλαβε πάλιν τὸν τίμιον Σταυρὸν, καὶ ἐκόμισεν αὐτὸν εἰς Κωνσταντινούπολιν.

Ἀργία καὶ Νηστεία, ἐν ᾗ ἂν ἡμέρᾳ τύχῃ.

Ἀπολυτίκιον, Ἦχος ά.

Σῶσον Κύριε τὸν λαόν σε, καὶ εὐλόγησον τὴν κληρονομίαν σε, νίκας τοῖς Βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

Κοντάκιον, Ἦχος δ'. Αὐτόμελον.

Ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ ὁ Θεός· εὔφρανον ἐν τῇ δυνάμει σου τοὺς πιστοὺς Βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς κατὰ τῶν πολεμίων· τὴν συμμαχίαν ἔχοιεν τὴν σήν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

✠ 15. Τοῦ ἁγίου Μάρτυρος Νικήτα.

Ἤθλησεν ἐπὶ Ἀθηναρίχου ἄρχοντος Γότθων, τῶν πέραν τοῦ Ἴστρου ποταμοῦ, ἐν ἔτει 330, ἐν τοῖς χρόνοις Κωνσταντίνου τοῦ Μεγάλου.

Ἀπολυτ. τῆς Ἑορτῆς· καὶ τοῦ Ἁγίου, Ἦχος δ'.

Ὁ Μάρτυς σου Κύριε. Ὅρα ὄπισθεν, σελ. 172.

Κοντάκιον, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τῆς πλάνης τεμὼν, τὸ κράτος τῇ ἐνστάσει σου, καὶ νίκης λαβὼν, τὸ σέφος ἐν τοῖς ἄθλοις σε, τοῖς Ἀγγέλοις

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λιβαδειάς - Μουσείο Τυπογράφων Τσκοβίων

ἔνδοξε, συναγάλλῃ Νικήτα φερώνυμε, σὺν αὐτοῖς Χριστῷ τῷ Θεῷ, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

✠ 16. Τῆς ἁγίας Μεγαλομάρ. Εὐφημίας τῆς πανευφήμ.

Αὕτη ὑπῆρχεν ἐκ Χαλκηδόνος, ἐν παρθενίᾳ τὸν βίον διάγουσα, ἐν τοῖς χρόνοις Διοκλητιανοῦ, ὑφ' οὗ καὶ τὸν μαρτυρικὸν ὑπέστη θάνατον τῷ 303, ἢ κατ' ἄλλους 307 ἔτει. Τὸ ἱερὸν αὐτῆς λείψανον σώζεται ἐν τῷ τῆς Κωνσταντινουπόλεως Πατριαρχείῳ.

Ἀπολυτίκιον τῆς Ἑορτῆς καὶ τῆς Ἁγίας, Ἦχος δ'.

Κατεπλάγη Ἰωσήφ.

Ἡ ἀμνάς σε Ἰησοῦ, κράζει μεγάλῃ τῇ φωνῇ· Σὲ Νυμφίε μου ποθῶ, καὶ σὲ ζητοῦσα ἀθλῶ, καὶ συσταυροῦμαι καὶ συνθάπτομαι τῷ βαπτισμῷ σου· καὶ πάσχω διὰ σέ, ὡς βασιλεύσω σὺν σοί, καὶ θνήσκω ὑπὲρ σοῦ, ἵνα καὶ ζήσω ἐν σοί· ἀλλ' ὡς θυσίαν ἄμωμον προσδέχου τὴν μετὰ πόθου τυθεῖσάν σοι. Αὐτῆς πρεσβείαις, ὡς ἐλεήμων, σῶσον τὰς ψυχὰς ἡμῶν.

Κοντάκ. Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἐν τῇ ἀθλήσει σου καλῶς ἠγωνίσω, ἣν μετὰ θάνατον ἡμᾶς ἀγιάζεις, ταῖς τῶν ἰαμάτων βλύσεσι πανεύφημε· ὅθεν σε τὴν κοίμησιν, τὴν ἁγίαν τιμῶμεν, πίστει παριστάμενοι, τῷ σεπτῷ σου λειψάνῳ, ἵνα ῥυσθῶμεν νόσων ψυχικῶν, καὶ τῶν θαυμάτων τὴν χάριν ἀντλήσωμεν.

✠ 17. Τῆς ἁγίας Μάρτυρος Σοφίας, καὶ τῶν τριῶν αὐτῆς θυγατέρων, Πίστεως, Ἐλπίδος, καὶ Ἀγάπης.

Αὗται ἐξ Ἰταλίας ὑπάρχουσαι, ἦλθαν περὶ τὸ 126 ἔτος, ἐπὶ Ἀδριανοῦ.

Ἀπολυτίκιον τῆς Ἑορτῆς· Κοντάκιον τῶν Ἁγίων, Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Σοφίας τῆς σεμνῆς, ἱερώτατοι κλάδοι, ἡ Πίστις καὶ Ἐλπὶς, καὶ Ἀγάπη δειχθεῖσαι, σοφίαν ἀπεμώραναν, τῶν Ἑλλήνων ἐν χάριτι· καὶ ἀθλήσασαι, καὶ νικηφόροι φανεῖσαι, στέφος ἄφθαρτον, παρὰ τοῦ πάντων Δεσπότου, Χριστοῦ ἀνεδήσαντο.

✠ 18. Τοῦ ὁσίου Πατρὸς ἡμῶν Εὐμενίου, ἐπισκόπου Γορτύνης τοῦ Θαυματουργοῦ.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Τζιβανοπούλειον Ίδρυμα Βιβλιοθήκης

Ἀπολυτίκιον, καὶ Κοντάκιον τῆς Ἑορτῆς.

✠ 19. Τῶν ἁγίων Μαρτύρων Τροφίμου, Σαββατίου, καὶ Δορυμέδοντος.

Ἤθλησαν ἐπὶ τῆς βασιλείας Πρόβου, περὶ τὸ 278 ἔτος.

Ἀπολυτίκιον τῆς Ἑορτῆς· Κοντάκιον τῶν Ἁγίων, Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ποταμὸς πληρούμενος, τῶν χαρισμάτων, τοῦ ἁγίου Πνεύματος, ἀποδειχθέντες Ἀθληταὶ, τὴν οἰκουμένην ἀρδεύετε, ταῖς τῶν θαυμάτων καλαῖς ἀναβλύσεσιν.

✠ 20. Τοῦ ἁγίου Μεγαλομάρτυρος Εὐσταθίου, καὶ Θεοπίστης τῆς συμβίου αὐτοῦ, καὶ τῶν δύο υἱῶν αὐτῶν, Ἀγαπίου καὶ Θεοπίστου.

Ἤθλησαν ἐπὶ Ἀδριανοῦ, περὶ τὸ 126 ἔτος.

Κατάλυσις οἴνου καὶ ἐλαίου.

Ἀπολυτίκιον τῆς Ἑορτῆς· καὶ τῶν Ἁγίων, Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Οἱ Μάρτυρές σου Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν, στεφάνους ἐκομίσαντο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· σχόντες γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλον· ἔθραυσαν καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση. Αὐτῶν ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τὰ πάθη Χριστοῦ, παμμάκαρ μιμησάμενος, καὶ τοῦ τοῦ πιὼν, προθύμως τὸ ποτήριον, κοινωνὸς Εὐσάθιε, καὶ τῆς δόξης σύγκληρος γέγονας, παρ' αὐτοῦ τοῦ πάντων Θεοῦ, λαμβάνων θαυμάτων θείαν δύναμιν.

✠ 21. Τοῦ ἁγίου Ἀποστόλου Κοδράτου τοῦ ἐν Μαγνησίᾳ· καὶ τοῦ ἁγίου Προφήτου Ἰωνᾶ.

Ὁ μὲν Κοδράτος ἐχρημάτισε τῶν Ἀποστόλων μαθητὴς· καὶ γενόμενος Ἀθηνῶν ἐπίσκοπος, ἤθλησεν ἐπὶ Ἀδριανοῦ τῷ 117 ἔτει, κατὰ τὸν Συναξαριστήν· κατ' ἄλλους δὲ, πολλῷ ὕστερον ἐπὶ Αὐρηλίου. Ὁ δὲ Ἰωνᾶς ἦν υἱὸς Ἀμαθὶ, ἐκ πόλεως Γεθχοφὲρ, ἢ Γεθ-Ὀφὲρ (Δ'. Βασ. ιδ', 25), φυλῆς Ζαβουλὼν, προφητεύσας περὶ τὸ 838-810 πρὸ Χριστοῦ. Εἰς τοῦτον προσέταξεν ὁ Θεὸς ἵνα ἀπέλθῃ εἰς Νινευὶ τὴν τῶν Ἀσσυρίων μητρόπολιν, καὶ κηρύξῃ τὴν ἐντὸς ὀλίγου καταστροφὴν αὐτῆς, διὰ τὰς τῶν πολιτῶν ἁμαρτίας· ὁ δὲ, παρακούσας

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Μουσείο Κυπριακών Εικόνων

τοῦ Θείου προστάγματος, ἐμβὰς εἰς πλοῖον, ἀπήρχετο ἀλλοῦ. Ἡ αἰφνίδιος καὶ φοβερὰ ταραχὴ τῆς Θαλάσσης, καὶ ἡ φανέρωσις τῆς παρακοῆς τοῦ Ἰωνᾶ, ἠνάγκασε τοὺς ναύτας, ἵνα ῥίψωσιν αὐτὸν εἰς τὴν Θάλασσαν. Κῆτος μέγα, ἕτοιμον εὐθὺς, κατὰ Θείαν πρόνοιαν, κατέπιεν αὐτόν. Τρία ἡμερονύκτια εὑρισκόμενος εἰς τὴν κοιλίαν αὐτοῦ, προσηύχετο, λέγων τὴν ς'. τῆς Στιχολογίας Ὠδήν: Ἐβόησα ἐν θλίψει μου πρὸς Κύριον τὸν Θεόν μου, κτλ. Τὸ κῆτος ἐξέρασεν αὐτὸν ἔπειτα εἰς τὴν ξηράν, καὶ πάλιν ἡ προτέρα προσαγὴ τοῦ Θεοῦ πρὸς αὐτόν. Ὅθεν ἀπελθὼν ἐκήρυττε, λέγων: Ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὶ καταστραφήσεται. Ἐτρόμαξεν ἐκ τούτου ὁ λαός· μετενόησαν πάντες· ἐνήστευσαν μεγάλοι, μικροί, βρέφη θηλάζοντα, καὶ αὐτὰ ἔτι τὰ κτήνη· καὶ οὕτω τὸν Θεὸν ἐξιλεώσαντες, ἀπέφυγον αὐτοῦ τὴν ὀργήν. — Ἡ προφητεία, τοῦ Ἰωνᾶ, εἰς 4 κεφάλαια διηρημένη, τάττεται πέμπτη τῶν ιβ'. Ἐλασσόνων Προφητῶν. Ἡ δὲ τριήμερος αὐτοῦ διαμονὴ ἐν τῇ κοιλίᾳ τοῦ κήτους, εἰκόνιζε τὴν τριήμερον ταφήν, καὶ ζωηφόρον τοῦ Σωτῆρος ἡμῶν ἀνάστασιν (Ματ. ιβ', 39-40).

Ἐν ταύτῃ τῇ ἡμέρᾳ ἀποδίδοται ἡ Ἑορτὴ τοῦ ζωοποιοῦ Σταυροῦ, καὶ ψάλλονται πάντα τὰ αὐτῆς· ἡ δὲ Ἀκολουθία τοῦ Ἀποστόλου ψάλλεται τῇ 22.

✠ 22. Τοῦ ἁγίου Ἱερομάρτυρος Φωκᾶ, ἐπισκόπου Σινώπης.

Ἠθλησεν ἐπὶ Τραϊανοῦ Βασιλέως, ἐν ἔτει 102.

Ἀπολυτίκιον τοῦ Ἀποστόλου, Ἦχος γ'.

Ἀπόστολε ἅγιε Κοδράτε, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Καὶ τοῦ Ἱερομάρτυρος, Ἦχος δ'.

Καὶ τρόπων μέτοχος. Ὅρα σελ. 173.

Κοντάκιον τοῦ Ἀποστόλου, Ἦχος πλ. δ'.

Ὡς ἀπαρχὰς τῆς φύσεως.

Ὡς ἱεράρχην τίμιον, καὶ ἀθλητὴν στερρότατον, ἡ οἰκουμένη προσάγει σοι Κύριε, Κοδράτον τὸν Ἀπόστολον· καὶ τοῖς ὕμνοις γεραίρει τὴν σεπτὴν αὐτοῦ μνήμην, αἰτοῦσα πάντοτε πταισμάτων ἄφεσιν, δι' αὐτοῦ δωρηθῆναι, τοῖς μέλπουσι τοῦτον εὐσπλαγχνε.

✠ 23. Ἡ Σύλληψις τοῦ τιμίου ἐνδόξου Προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου.

Αὕτη ἐγένετο 15 μῆνας πρὸ τῆς Χριστοῦ Γεννήσεως, μετὰ τὴν ἀγγελικὴν ὀπτασίαν, ἣν εἶδεν ἐν τῷ ναῷ τοῦ Κυρίου Ζαχαρίας ὁ τοῦ Προδρόμου πατὴρ, ἱερατεύων ἐν τῇ τάξει τῆς ἐφημερίας αὐτοῦ, κατὰ

τὴν ἑορτὴν τῆς Σκηνοπηγίας (Δ'. τῆς Μεσοπεντ.), ὡς ἡ παράδοσις μαρτυρεῖ. Εἰς τὴν ὀπτασίαν ταύτην, ὁ μὲν φανεὶς Ἄγγελος Γαβριὴλ εἶπε πρὸς τὸν Ζαχαρίαν: Εἰσηκούσθη ἡ δέησίς σου, καὶ ἡ γυνή σου Ἐλισάβετ γεννήσει υἱόν σοι, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην. Ὁ δὲ Ζαχαρίας, γινώσκων τῆς Ἐλισάβετ τὴν στείρωσιν, καὶ ὅτι ἦσαν ἀμφότεροι γέροντες τὴν ἡλικίαν, οὐκ ἐπίστευσεν εἰς τοῦ Ἀγγέλου τοὺς λόγους· διὸ κατεδικάσθη ὑπ' αὐτοῦ, ἵνα μένῃ σιωπῶν καὶ ἄφωνος, ἕως οὗ πληρωθῶσιν οἱ λόγοι οὗτοι εἰς τὸν καιρὸν αὐτῶν, ὅπερ καὶ ἐγένετο (Λουκ. α. 7-24. καὶ Ἰουν. 24).

## Κατάλυσις οἴνου καὶ ἐλαίου.

**Ἀπολυτίκιον, Ἦχος δ'.** Ταχὺ προκατάλαβε.

Ἡ πρώην οὐ τίκτουσα στεῖρα εὐφράνθητι· ἰδὲ γὰρ συνέλαβες Ἡλίᾳ λύχνον σαφῶς, φωτίζειν τὸν μέλλοντα, πᾶσαν τὴν οἰκουμένην, ἀβλεψίᾳ νοσοῦσαν. Χόρευε Ζαχαρία, ἐκβοῶν παῤῥησίᾳ: Προφήτης τοῦ Ὑψίστου ἐστὶν, ὁ μέλλων τίκτεσθαι.

**Κοντάκιον, Ἦχος α'.** Χορὸς ἀγγελικός.

Εὐφραίνεται λαμπρῶς, Ζαχαρίας ὁ μέγας, καὶ ἡ πανευκλεὴς, Ἐλισάβετ ἡ σύζυξ, ἀξίως συλλαμβάνουσα, Ἰωάννην τὸν Πρόδρομον, ὃν Ἀρχάγγελος, εὐηγγελίσατο χαίρων, καὶ οἱ ἄνθρωποι, ἀξιοχρέως τιμῶμεν, ὡς μύστην τῆς χάριτος.

## ✠ 24. Τῆς ἁγίας Πρωτομάρτυρος, καὶ ἰσαποστόλου Θέκλης.

Αὕτη ὑπῆρχεν ἐκ πόλεως Ἰκονίου· ἐτῶν 18 οὖσα, ἐδιδάχθη τὴν πίστιν ὑπὸ τοῦ Ἀποστόλου Παύλου, ᾧ καὶ ἠκολούθησε· κηρύξασα τὸν Χριστὸν ἐν διαφόροις πόλεσι, καὶ πολλὰ παθοῦσα, ἐτελεύτησεν ἐν τῇ ἰδίᾳ πατρίδι, ζήσασα ἔτη 90.

**Ἀπολυτίκιον, Ἦχος δ'.**

Ἡ ἀμνάς σου Ἰησοῦ. Ὅρα ὄπισθεν, σελ. 181.

**Κοντάκιον, Ἦχος πλ. δ'.**

Τῆς παρθενίας τῷ κάλλει ἐξέλαμψας, καὶ μαρτυρίου στεφάνῳ κεκόσμησαι, ἀποσολὴν πίσευῃ Παρθένε ὡς ἔνδοξος· καὶ τοῦ πυρὸς μὲν τὴν φλόγα εἰς δρόσον μετέβαλες, τοῦ ταύρου δὲ τὸν θυμὸν προσευχῇ σε ἡμέρωσας, ὦ Πρωτόαθλε.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ψηφιακή κατηγραφή Εθνικής Λαογραφίας - Μουσείο Γυναικών Ιακωβατών

✠ 25. Τῆς ὁσίας Μητρὸς ἡμῶν Εὐφροσύνης.

Αὕτη ὑπῆρχεν ἐπὶ Θεοδοσίου τοῦ μικροῦ, ἐν ἔτει 410, θυγάτηρ Παφνουτίου· λαθοῦσα δὲ αὐτὸν, καὶ Σμάραγδος μετονομασθεῖσα, εἰσῆλθεν ὡς εὐνοῦχος βασιλικὸς, ἐν ἀνδρικῷ σχήματι, εἰς μοναστήριον ἀνδρῶν, ἔνθα ἔζησεν ἄγνωστος 38 ἔτη.

Ἀπολυτίκιον, Ἦχος πλ. δ'.

Ἐν σοὶ Μῆτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα· λαβοῦσα γὰρ τὸν σταυρὸν, ἠκολούθησας τῷ Χριστῷ, καὶ πράττουσα ἐδίδασκες, ὑπεροράν μὲν σαρκὸς, παρέρχεται γάρ· ἐπιμελεῖσθαι δὲ ψυχῆς, πράγματος ἀθανάτου· διὸ καὶ μετὰ Ἀγγέλων συναγάλλεται, ὁσία Εὐφροσύνη τὸ πνεῦμά σου.

Κοντάκιον, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τῆς ἄνω ζωῆς, ποθοῦσα ἐπιτεύξασθαι, τὴν κάτω τρυφὴν, σπουδαίως καταλέλοιπας, καὶ σαυτὴν κατέμιξας, ἀναμέσον ἀνδρῶν παναοίδιμε· διὰ Χριστὸν γὰρ τὸν Νυμφίον σου, μνηστῆρος προσκαίρου κατεφρόνησας.

✠ 26. Ἡ Μετάστασις τοῦ ἁγίου Ἀποστόλου, καὶ Εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου.

Οὗτος ἦν ἐκ Βηθσαϊδὰ τῆς Γαλιλαίας, υἱὸς Ζεβεδαίου καὶ Σαλώμης, ἀδελφὸς Ἰακώβου τοῦ Μεγάλου, ἁλιεὺς πρότερον τὴν τέχνην· εἶτα Ἀπόστολος τοῦ Χριστοῦ, καὶ Μαθητὴς ἠγαπημένος καὶ ἐπιστήθιος, καὶ μόνος τῶν ἄλλων Μαθητῶν ἀκολουθήσας αὐτῷ ἕως ἐπὶ τοῦ Σταυροῦ· ὅτε καὶ τὴν Παρθένον ἐνεπιστεύθη, ὡς ἄλλος υἱὸς αὐτῆς, καὶ τοῦ διδασκάλου Ἰησοῦ αὐτάδελφος. Μετὰ ταῦτα ἐκήρυξεν αὐτὸν εἰς πᾶσαν τὴν Ἀσίαν, καὶ ἐξαιρέτως εἰς Ἔφεσον. Κινηθέντος τοῦ δευτέρου κατὰ τῶν Χριστιανῶν διωγμοῦ ὑπὸ Δομιτιανοῦ τῷ 96 ἔτει, ἤχθη δέσμιος ἐξ Ἀσίας εἰς Ῥώμην, κἀκεῖ ἐβλήθη εἰς λέβητα πλήρη ζέοντος ἐλαίου. Ἐξαχθεὶς ἐκεῖθεν ἀβλαβὴς, ἐξωρίσθη εἰς τὴν νῆσον Πάτμον, ἔνθα συνέγραψε καὶ τὴν Ἀποκάλυψιν. Ἐπανελθὼν εἰς Ἔφεσον, μετὰ τὸν θάνατον τοῦ τυράννου, συνέγραψεν, ἔσχατος τῶν λοιπῶν Εὐαγγελιστῶν, τὸ κατ' αὐτὸν Εὐαγγέλιον, καὶ τὰς τρεῖς αὐτοῦ Καθολικὰς Ἐπιστολάς· καὶ ζήσας τὰ πάντα ἔτη περὶ τὰ 95, ἐκοιμήθη ἐν εἰρήνῃ, ἐπὶ Τραϊανοῦ τῷ 100 ἔτει. Ἐπωνομάσθη Θεολόγος, διότι ἐθεολόγησεν ὑψηλῶς τὴν ἀνέκφραστον τοῦ Υἱοῦ καὶ Λόγου τοῦ Θεοῦ καὶ Πατρὸς αἰώνιον γέννησιν· διὴν αἰτίαν, καὶ ἐν τῇ εἰκόνι αὐτοῦ ζωγραφεῖται μορφὴ Ἀετοῦ, ἑνὸς τῶν τεσσάρων συμβολικῶν ζώων, ἃ εἶδεν ὁ Προφήτης Ἰεζεκιὴλ (α. 10).

Ἀργία, καὶ Κατάλυσις οἴνου καὶ ἐλαίου.

ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Ἁγιορειτικὴ Βιβλιοθήκη
Μουσεῖο Τυπαλδῶν Ἰακωβάτων

Ἀπολυτίκιον, Ἦχος β΄.

Ἀπόστολε Χριστῷ τῷ Θεῷ ἠγαπημένε, ἐπιτάχυνον ῥῦσαι λαὸν ἀναπολόγητον· δέχεταί σε προσπίπτοντα, ὁ ἐπιπεσόντα τῷ στήθει καταδεξάμενος· ὃν ἱκέτευε Θεολόγε, καὶ ἐπίμονον νέφος ἐθνῶν διασκεδάσαι, αἰτούμενος ἡμῖν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Κοντάκιον, Ἦχος β΄. Αὐτόμελον.

Τὰ μεγαλεῖά σου Παρθένε, τίς διηγήσεται; βρύεις γὰρ θαύματα, καὶ πηγάζεις ἰάματα, καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν, ὡς Θεολόγος καὶ φίλος Χριστοῦ.

✠ 27. Τοῦ ἁγίου Μάρτυρος Καλλιστράτου, καὶ τῶν σὺν αὐτῷ ἁγίων τεσσαράκοντα ἐννέα Μαρτύρων.

Ἠθλησαν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ, ἐν ἔτει 288.

Ἀπολυτίκιον, Ἦχος δ΄.

Οἱ Μάρτυρές σου Κύριε. Ὅρα σελ. 182.

Κοντάκιον, Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Πάντας ὑμᾶς σήμερον, ἡ Ἐκκλησία, συντιμῶσα Ἁγιοι, ἀνευφημεῖ πνευματικῶς, ὡς ὑπὲρ ταύτης ἀθλήσαντας, Μάρτυρες θεῖοι, καλλίνικοι πάνσοφοι.

✠ 28. Τοῦ ὁσίου Πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Χαρίτωνος· καὶ τοῦ ἁγίου Προφήτου Βαρούχ.

Ὁ μὲν Χαρίτων ἦν ἐκ τῆς πόλεως Ἰκονίου, ἐν τοῖς χρόνοις Αὐρηλιανοῦ, περὶ τὰ 274. Ὁ δὲ Βαρούχ ὑπῆρχεν υἱὸς Νηρίου, μαθητὴς καὶ γραφεὺς Ἱερεμίου τοῦ Προφήτου (λς΄. 4)· συνέγραψε τὴν εἰς 5 κεφάλαια σωζομένην αὐτοῦ προφητείαν, τῷ πέμπτῳ ἔτει τῆς ἐπὶ Σεδεκίου ἐν Βαβυλῶνι αἰχμαλωσίας τῶν Ἰουδαίων, 583 πρὸ Χριστοῦ. Η΄ εἰς τὸν Ἑσπερινὸν τῶν Χριστουγέννων ἀναγινωσκομένη προφητικὴ περικοπὴ, ἐπ᾽ ὀνόματι τοῦ Ἱερεμίου, ἐκ τῆς προφητείας τοῦ Βαρούχ τούτου ἐστὶν, ἀρχομένη ἀπὸ τοῦ 35 ἐδαφίου τοῦ γ΄. Κεφαλαίου, καὶ περατουμένη εἰς τὸ 4 τοῦ δ΄.

Ἀπολυτίκιον, Ἦχος πλ. δ΄.

Ταῖς τῶν δακρύων σου ῥοαῖς, τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας· καὶ τοῖς ἐκ βάθους σεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας· καὶ γέγονας φωστὴρ, τῇ οἰκουμένῃ λάμπων τοῖς θαύμασι, Χαρίτων πατὴρ ἡμῶν ὅσιε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ΔΗΜΟΣΙΕΥΣΗ ΒΙΒΛΙΟΘΗΚΗ

Κοντάκ. Ἦχος β'. Τὴν ἐν πρεσβείαις ἀκοίμητον.

Κατατρυφήσας θεόφρον τῆς ἐγκρατείας, καὶ τῆς σαρκός σου τὰς ὀρέξεις χαλινώσας, ὤφθης τῇ πίστει αὐξανόμενος· καὶ ὡς ζωῆς ἐν μέσῳ, ξύλον Ἐδὲμ ἐξήνθησας, Χαρίτων παμμάκαρ ἱερώτατε.

✠ 29. Τῇ ὁσίᾳ Πατρὸς ἡμῶν Κυριακῇ τῇ Ἀναχωρητοῦ.

Ἐγεννήθη ἐν Κορίνθῳ περὶ τὰ 300. ἤσκησεν ἐν Παλαιστίνῃ ὑπὸ τὸν Μέγαν Εὐθύμιον· ἔζησεν 107 ἔτη· ἀπέθανε τῷ 408.

Ἀπολυτ. Ἦχος α'. Τοῦ λίθου σφραγισθέντος.

Τῆς ἐρήμου πολίτης, ἢ ἐν σώματι ἄγγελος, ἢ θαυματουργὸς ἀνεδείχθης, θεοφόρε Πατὴρ ἡμῶν Κυριακέ· νηστείᾳ, ἀγρυπνίᾳ, προσευχῇ, οὐράνια χαρίσματα λαβών, θεραπεύεις τὰς νοσοῦντας, καὶ τὰς ψυχὰς τῶν πίστει προστρεχόντων σοι. Δόξα τῷ δεδωκότι σοι ἰσχύν· δόξα τῷ σὲ στεφανώσαντι· δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Κοντάκιον, Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Ὡς ὑπερμάχῳ κραταιῷ καὶ ἀντιλήπτορι, ἡ σὲ τιμῶσα ἱερὰ Λαύρα ἑκάστοτε, ἑορτάζει τὰ μνημόσυνα ἐτησίως. Ἀλλ' ὡς ἔχων παῤῥησίαν πρὸς τὸν Κύριον, ἐξ ἐχθρῶν ἐπεμβαινόντων ἡμᾶς φῤῥησον, ἵνα κράζωμεν· Χαίροις Πάτερ τρισόλβιε.

✠ 30. Τοῦ ἁγίου Ἱερομάρτυρος Γρηγορίου, ἐπισκόπου τῆς Μεγάλης Ἀρμενίας.

Οὗτος ἦν υἱὸς Ἀνὰκ, Πάρθου τὸ γένος· ἐγεννήθη περὶ τὸ 240 ἔτος· ἐδιδάχθη τὴν εἰς Χριστὸν πίστιν ἐν Καισαρείᾳ τῆς Καππαδοκίας· ἐχειροτονήθη ἐπίσκοπος ὑπὸ Λεοντίου Ἀρχιεπισκόπου Καισαρείας· ὑπέμεινε πολλὰς βασάνους παρὰ Τηριδάτου, τοῦ τῆς Ἀρμενίας ἄρχοντος· ἐπέστρεψε μυριάδας Ἀρμενίων εἰς τὴν εὐσέβειαν, καὶ αὐτὸν τὸν Τηριδάτην· ἐτελεύτησεν ἀσκητικῶς περὶ τὸ 325 ἔτος.

Ἀπολυτίκιον, Ἦχος δ'.

Καὶ τρόπων μέτοχος. Ὅρα ὄπισθεν, σελ. 173.

Κοντάκιον, Ἦχος β'. Τοὺς ἀσφαλεῖς.

Τὸν εὐκλεῆ καὶ ἱεράρχην ἅπαντες, ὡς ἀθλητὴν τῆς ἀληθείας σήμερον, οἱ πιστοὶ θείοις ἐν ᾄσμασι, καὶ ὑμνῳδίαις εὐφημήσωμεν, Γρηγόριον ποιμένα καὶ διδάσκαλον, τὸν ἔκλαμπρον φωστῆρα καὶ ὑπέρμαχον· Χριστῷ γὰρ πρεσβεύει τοῦ σωθῆναι ἡμᾶς.

ΔΗΜΟΣΙΕΥΣΙΣ ΒΙΒΛΙΟΘΗΚΗΣ

## ΜΗΝ ΟΚΤΩΒΡΙΟΣ.

Ἔχων ἡμέρας 31. Ἡ ἡμέρα ἔχει ὥρας 11. καὶ ἡ νὺξ ὥρας 13.

✠ 1. Τοῦ ἁγίου Ἀποστόλου Ἀνανίου, ἑνὸς τῶν Ἑβδομήκοντα· καὶ τοῦ ὁσίου Ῥωμανοῦ τοῦ Μελῳδοῦ.

Ὁ μὲν Ἀνανίας ἦν ἐκ Δαμασκοῦ, ἐν ᾗ καὶ τὸν Ἀπόστολον Παῦλον ἐβάπτισε διὰ θείας ἀποκαλύψεως, τῷ 36 ἔτει, καὶ τὸν δρόμον ἐτέλεσε μαρτυρικῶς, λιθοβοληθεὶς ἐπὶ Λουκιανοῦ ἡγεμόνος. Ὁ δὲ Ῥωμανὸς ἤκμασε περὶ τὰ 496, ἐπὶ τῆς βασιλείας Ἀναστασίου, ὑπάρχων ἀπὸ Ἐμέσης τῆς κατὰ Συρίαν, διάκονος τῆς ἐν Βηρυτῷ Ἐκκλησίας, πρῶτος τῶν Κοντακίων ποιητής· πρῶτον δὲ πάντων ἐμελῴδησε τὸ τῆς Χριστοῦ Γεννήσεως: Ἡ Παρθένος σήμερον, τὸν ὑπερούσιον τίκτει.

Ἀπολυτίκιον τοῦ Ἀποστόλου, Ἦχος γ'.

Ἀπόστολε ἅγιε Ἀνανία, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Ἕτερον τοῦ Ὁσίου, Ἦχος πλ. δ'.

Ἐν σοὶ Πάτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα· λαβὼν γὰρ τὸν σταυρόν, ἠκολούθησας τῷ Χριστῷ, καὶ πράττων ἐδίδασκες ὑπεροράν μὲν σαρκὸς, παρέρχεται γάρ· ἐπιμελεῖσθαι δὲ ψυχῆς, πράγματος ἀθανάτου· διὸ καὶ μετὰ Ἀγγέλων συναγάλλεται, ὅσιε Ῥωμανὲ τὸ πνεῦμά σου.

Κοντάκιον τοῦ Ἀποστόλου, Ἦχος β'.

Τὴν ἐν πρεσβείαις ἀκοίμητον Θεοτόκον.

Ὁ ἐν πρεσβείαις θερμότατος ἀντιλήπτωρ, καὶ τῶν αἰτούντων ταχύτατα εἰσακούων, δέξαι τὴν δέησιν Ἀνανία ἡμῶν, καὶ τὸν Χριστὸν δυσώπει, τοῦ σῶσαι τοὺς ὑμνοῦντάς σε, τὸν μόνον ὑπάρχοντα φιλάνθρωπον.

✠ 2. Τοῦ ἁγίου Ἱερομάρτυρος Κυπριανοῦ· καὶ τῆς ἁγίας Μάρτυρος Ἰουστίνης τῆς Παρθένου.

Ἡ μὲν ὑπῆρχεν ἐκ Δαμασκοῦ, τῷ Χριστῷ τὴν παρθενίαν αὐτῆς φυλάξασα. Ὁ δὲ Κυπριανὸς, ἐξ Ἀντιοχείας τῆς ἐν μεθορίοις τῆς Κοιλο-Συρίας καὶ Ἀραβίας, ἔκδοτος εἰς τὴν μαγείαν, καὶ τῶν δαιμόνων λατρευτὴς πρότερον· εἶτα τὴν ἀδυναμίαν αὐτῶν ἀναμαθὼν, ἵνικα πᾶσαν μεθοδείαν κινήσας, ἵνα ἐλκύσῃ πρὸς ἔρωτα τὴν Ἰουστίναν, ἀπε-

ΔΗΜΟΣΙΕΥΜΑ ΒΙΒΛΙΟΘΗΚΗΣ
Δημόσιο Κεντρικό Βιβλιοθήκη Λαμπρίου
Μουσείο Ιστορίας Πανεπιστημίου

κρούσθη τῷ τύπῳ τοῦ Σταυροῦ, ἐπέγνω τὴν ἀλήθειαν· καὶ τῆς δαιμονικῆς πλάνης ἀπαλλαγείς, προσῆλθε τῷ Χριστῷ, κατέκαυσε πάσας τὰς μαγικὰς αὐτοῦ βίβλους, ἐβαπτίσθη, καὶ τὸν τῆς πατρίδος αὐτοῦ ἐπισκοπικὸν θρόνον διεδέξατο ὕστερον. Συλληφθεὶς δὲ μετὰ τῆς Ἰουστίνης ὑπὸ τοῦ Κόμητος τῆς Δαμασκοῦ, καὶ πολλὰς παρ' αὐτοῦ βασάνους ὑπομείναντες, ἀπεσταλησαν τελευταῖον πρὸς Διοκλητιανὸν ἐν Νικομηδείᾳ, ὅπου ἀπετμήθησαν τὴν κεφαλήν, περὶ τὸ 304 ἔτος.

Ἀπολυτίκιον, Ἦχος δ'.

Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος, τῶν Ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὔρες θεόπνευστε, εἰς θεωρίας ἐπίβασιν· διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίστει ἐνήθλησας μέχρις αἵματος, Ἱερομάρτυς Κυπριανέ. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος α'. Χορὸς ἀγγελικός.

Ἐκ τέχνης μαγικῆς, ἐπισρέψας θεόφρον, πρὸς γνῶσιν θεϊκήν, ἀνεδείχθης τῷ κόσμῳ, ἀκέστωρ σοφώτατος, τὰς ἰάσεις δωρούμενος, τοῖς τιμῶσί σε, Κυπριανὲ σὺν Ἰουστίνῃ· μεθ' ἧς πρέσβευε τῷ φιλανθρώπῳ Δεσπότῃ, σωθῆναι τοὺς δούλους σου.

✠ 3. Τῶ ἁγίω Ἱερομάρτυρος Διονυσίω τῶ Ἀρεοπαγίτω.

Οὗτος ἦν Ἀθηναῖος τὴν πατρίδα, ἀνὴρ ἐλλόγιμος, καὶ εἷς τῶν Βουλευτῶν τοῦ ἐκεῖ περιφήμου κριτηρίου, Ἀρείου πάγου, ἀφ' οὗ καὶ Ἀρεοπαγίτης, ἢ Ἀρειοπαγίτης ἐπονομάζεται. Ἐπίστευσε πρῶτος εἰς Χριστὸν τῷ 50 ἔτει, ὅτε ὁ Παῦλος ἐκήρυξεν εἰς Ἀθήνας, ὧν καὶ πρῶτος ἐπίσκοπος ὑπ' αὐτοῦ κατέστη, ὡς γνωμοδοτοῦσι τινές. Ὡς δὲ ἄλλοι λέγουσι, καὶ ἴσως πιθανῶς, διάδοχος δεύτερος τοῦ Ἱεροθέου, ὃν ὁ Διονύσιος οὗτος ὀνομάζει φίλον ἅμα καὶ διδάσκαλον ἑαυτοῦ, μετὰ τὸν θεῖον Παῦλον (περὶ θείων ὀνομάτων, Κεφ. γ'. 2). Ἐτελεύτησε δὲ μαρτυρικῶς ἐν αὐταῖς ταῖς Ἀθήναις, περὶ τὸ 96 ἔτος, κατὰ τὴν ἀρχαίαν παράδοσιν.

Ἀπολυτίκιον, Ἦχος δ'.

Χρηστότητα ἐκδιδαχθείς, καὶ νήφων ἐν πᾶσιν, ἀγαθὴν συνείδησιν ἱεροπρεπῶς ἐνδυσάμενος, ἤντλησας ἐκ τοῦ Σκεύους τῆς ἐκλογῆς τὰ ἀπόρρητα, καὶ τὴν πίστιν τηρήσας, τὸν ἴσον δρόμον τετέλεκας, Ἱερομάρτυς Διονύσιε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Δημοσίου - Μουσείο Τοπικών Ιστορικών

Κοντάκιον, Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Τὰς οὐρανίους διαβὰς πύλας ἐν πνεύματι, ὡς μαθητὴς τοῦ ὑπὲρ τρεῖς οὐρανοὺς φθάσαντος, Ἀποστόλε Διονύσιε τῶν ἀῤῥήτων, ἐπλουτίσθης πᾶσαν γνῶσιν καὶ κατηύγασας, τοὺς ἐν σκότει τῆς ἀγνοίας ἐγκαθεύδοντας· διὸ κράζομεν: Χαίροις Πάτερ παγκόσμιε.

✠ 4. Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἱεροθέου, ἐπισκόπου Ἀθηνῶν.

Κατὰ τὴν γνώμην τινῶν, Βουλευτὴς ἦν καὶ ὁ Ἱερόθεος ἐν τῷ Ἀρείῳ πάγῳ· προκατηχηθεὶς δὲ τὴν εἰς Χριστὸν πίστιν ὑπὸ τοῦ Παύλου, χειροτονεῖται Ἀθηνῶν ἐπίσκοπος· οὗτος δὲ πάλιν μυσταγωγεῖ τελεώτερα τὰ περὶ τοῦ Χριστοῦ τὸν θεῖον Διονύσιον, ὅς τις ἔπειτα τὰς συνοπτικὰς καὶ κεφαλαιώδεις ἐκείνου περὶ πίστεως διδασκαλίας ἀνέπτυξεν ἐπὶ τὸ σαφέστερον καὶ εὐκρινέστερον. Παρεγένετο δὲ καὶ οὗτος διὰ νεφέλης εἰς τῆς Θεοτόκου τὴν Κοίμησιν, ὅτε καὶ, μετὰ τοὺς ἱεροὺς Ἀποστόλους, ἔξαρχος ἦν τῶν θείων ὑμνῳδιῶν, "Ὅλος ἐκδημῶν, ὅλος ἐξιστάμενος ἑαυτοῦ, καὶ τὴν πρὸς τὰ ὑμνούμενα κοινωνίαν κτάσχων, καὶ παρὰ πάντων ὧν ἠκούετο καὶ ἑωρᾶτο, γνωρίμων τε καὶ μὴ γνωρίμων, θεόληπτος εἶναι, καὶ θεῖος ὑμνολόγος κρινόμενος,, ὡς ὁ αὐτὸς Διονύσιος λέγει (περὶ θείων ὀνομ. Κεφ. γ'. 2). Καλῶς δὲ καὶ θεοφιλῶς πολιτευσάμενος, ἀνεπαύσατο ἐν Κυρίῳ — Σημειωτέον ἐνταῦθα, ὅτι εἰς τὰ ἐν τῇ Κοιμήσει τῆς Θεοτόκου Ἄσματα ἠρανίσθησαν αὐτολεξεὶ πολλὰ ἐκ τοῦ ἀνωτέρου Κεφαλαίου τοῦ Διονυσίου.

Ἀπολυτίκιον, Ἦχος δ'.

Χρηστότητα ἐκδιδαχθείς. Ὅρα ἀνωτέρω.

Κοντάκιον, Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Τὸν ἱεράρχην Ἀθηνῶν ἀνευφημοῦμέν σε, ὡς μυηθέντες διὰ σοῦ ξένα καὶ ἄῤῥητα· ἀνεδείχθης γὰρ θεόληπτος ὑμνολόγος. Ἀλλὰ πρέσβευε παμμάκαρ Ἱερόθεε, ἐκ παντοίων συμπτωμάτων ἡμᾶς ῥύσασθαι, ἵνα κράζωμεν: Χαίροις Πάτερ θεόσοφε.

✠ 5. Τῆς ἁγίας Μάρτυρος Χαριτίνης.

Ἡ θλιβεῖσα ἐπὶ Διοκλητιανοῦ, ἐν ἔτει 290.

Ἀπολυτίκιον, Ἦχος δ'.

Ἡ ἀμνάς σου Ἰησοῦ, κράζει μεγάλη. Ὅρα σελ. 181.

✠ 6. Τοῦ ἁγίου καὶ ἐνδόξου Ἀποστόλου Θωμᾶ.

Οὗτος ἑρμηνεύεται ἑλληνιστὶ Δίδυμος· ὑπῆρχεν εἷς ἐκ τῶν Δώδεκα, Γαλιλαῖος τὴν πατρίδα· ἐκήρυξεν εἰς τοὺς Πάρθους, καὶ Πέρ-

ΔΗΜΟΣΙΕΥΣΙΣ ΒΙΒΛΙΟΘΗΚΗΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Λιβαδειάς - Μουσείο Ιστορικών Εκδόσεων Θρησκευτικού Περιεχομένου

σας, καὶ Μήδους, καὶ Ἰνδοὺς, ὑφ' ὧν καὶ μαρτυρικῶς ἐτελεύτησεν ἴσως ἐν τῇ πόλει Μελιαπούρ, ἢ Μαλιαπούρ, ὡς λέγουσι τινὲς, ἥτις καὶ Ἅγιος Θωμᾶς καλεῖται ἕως τῆς σήμερον, κειμένη κατὰ τὴν ἀνατολικὴν πλευρὰν τῆς Ἰνδικῆς χερσονήσου, Κορομανδέλ.

Κατάλυσις οἴνου καὶ ἐλαίου.

Ἀπολυτίκιον. Ἀπόστολε ἅγιε Θωμᾶ. Ὅρα σελ. 188.

Κοντάκιον, Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ὁ τῆς θείας χάριτος πεπληρωμένος, τοῦ Χριστοῦ Ἀπόστολος, καὶ ὑπηρέτης ἀληθὴς, ἐν μετανοίᾳ ἐκραύγαζε: Σύ μου ὑπάρχεις Θεός τε καὶ Κύριος.

✠ 7. Τῶν ἁγίων Μαρτύρων Σεργίου, καὶ Βάκχου.

Ἠθλησαν ἐπὶ βασιλέως Μαξιμιανοῦ, ἐν ἔτει 296.

Ἀπολυτίκιον, Ἦχος δ'.

Οἱ Μάρτυρές σου Κύριε. Ὅρα σελ. 182.

Κοντάκ. Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Τοὺς γενναίους Μάρτυρας, καὶ ἀδελφοὺς ἐν τῇ πίσει, συνελθόντες στέψωμεν, ἐν ἱεραῖς εὐφημίαις, Σέργιον τὸν τῆς Τριάδος στερρὸν ὁπλίτην, Βάκχοντε τὸν ἐν βασάνοις συγκαρτεροῦντα, τὸν Χριστὸν ὑμνολογοῦντας, τὸν ἀθλοθέτην καὶ ποιητὴν τοῦ παντός.

✠ 8. Τῆς ὁσίας Μητρὸς ἡμῶν Πελαγίας.

Ὑπῆρχεν ἐξ Ἀντιοχείας περὶ τὰ 284. ἐθνικὴ οὖσα πρότερον, καὶ ἀκολάστως ζῶσα· κατηχηθεῖσα δὲ καὶ βαπτισθεῖσα παρά τινος Νόννου ἐπισκόπου, ἀπῆλθεν εἰς τὸ ὄρος τῶν Ἐλαιῶν, ὅπου τὸ λοιπὸν τῆς ζωῆς ὁσίως βιώσασα, ἀνεπαύσατο ἐν εἰρήνῃ.

Ἀπολυτίκιον, Ἦχος πλ. δ'.

Ἐν σοὶ Μῆτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα· λαβοῦσα γὰρ τὸν σταυρὸν, ἠκολούθησας τῷ Χριστῷ, καὶ πράττουσα ἐδίδαξας ὑπεροράν μὲν σαρκὸς, παρέρχεται γάρ· ἐπιμελεῖσθαι δὲ ψυχῆς, πράγματος ἀθανάτου· διὸ καὶ μετὰ Ἀγγέλων συναγάλλεται, ὁσία Πελαγία τὸ πνεῦμά σου.

Κοντάκιον, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τὸ σῶμα τὸ σὸν νηστείαις κατατήξασα, ἀγρύπνοις εὐχαῖς, τὸν Κτίστην καθικέτευες, διὰ τὰς πράξεις τὰς σὰς, ὅπως λάβῃς τελείαν ἄφεσιν, ἣν καὶ εὑρες Μῆτερ σαφῶς, ὁδὸν μετανοίας ὑποδείξασα.

ΔΙΜΟΣΙΕΥΣΙΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημοσία Κεντρική Βιβλιοθήκη Λήμνου - Ιδρυμα Γεωργίου Κακλαμάνου Σαμοθράκης

✠ 9. Τοῦ ἁγίου Ἀποστόλου Ἰακώβου τοῦ Ἀλφαίου. καὶ τοῦ ὁσίου Πατρὸς ἡμῶν Ἀνδρονίκου.

Ὁ μὲν Ἀπόστολος ἦν ἐκ τῶν Δώδεκα· καὶ κηρύξας τὸν Χριστὸν εἰς πολλὰ ἔθνη, ὑπέμεινε θάνατον σταυρικόν. Ὁ δὲ Ἀνδρόνικος ἐξ Ἀντιοχείας ὑπάρχων, ἐτελεύτησεν ἀσκητικῶς περὶ τὰ 500.

Ἀπολυτίκιον τοῦ Ἀποστόλου, Ἦχος γ'.

Ἀπόστολε ἅγιε Ἰάκωβε. Ὅρα ἀνωτέρω.

Ἕτερον τοῦ Ὁσίου, Ἦχος α'.

Τοῦ λίθου σφραγισθέντος.

Τῆς ἐρήμου πολίτης καὶ ἐν σώματι ἄγγελος, καὶ θαυματουργὸς ἀνεδείχθης, θεοφόρε Πατὴρ ἡμῶν Ἀνδρόνικε· νηστείᾳ, ἀγρυπνίᾳ, προσευχῇ, οὐράνια χαρίσματα λαβών, θεραπεύεις τοὺς νοσοῦντας, καὶ τὰς ψυχὰς τῶν πίστει προστρεχόντων σοι. Δόξα τῷ δεδωκότι σοι ἰσχύν· δόξα τῷ σε στεφανώσαντι· δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Κοντάκ. Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὁ τῶν ἐθνῶν σαγηνευτὴς ὑπερθαύμαστος, καὶ μαθητῶν ἀναδειχθεὶς τιμιώτατος, τῶν Ἀποστόλων σύσκηνος Ἰάκωβος, κόσμῳ τῶν ἰάσεων διανέμει τὸν πλοῦτον, λύει περιστάσεων, τοὺς αὐτὸν εὐφημοῦντας· διὸ συμφώνως κράζομεν αὐτῷ: Σῶζε τοὺς πάντας, εὐχαῖς σου Ἀπόστολε.

✠ 10. Τῶν ἁγίων Μαρτύρων Εὐλαμπίου, καὶ Εὐλαμπίας τῆς ἀδελφῆς αὐτοῦ.

Ὑπῆρχον ἐκ Νικομηδείας· ἤθλησαν δὲ ἐπὶ Μαξιμιανοῦ, ἐν ἔτει 296.

Ἀπολυτίκιον, Ἦχος δ'.

Οἱ Μάρτυρές σου Κύριε. Ὅρα σελ. 182.

Κοντάκ. Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Τοὺς γενναίους Μάρτυρας, καὶ ἀδελφοὺς κατὰ σάρκα, τὸν σοφὸν Εὐλάμπιον, καὶ Εὐλαμπίαν τιμῶμεν. Οὗτοι γὰρ τῶν παρανόμων μηχανουργίας, ἤσχυναν, ἐν τῇ δυνάμει τοῦ σταυρωθέντος· ἀνεδείχθησαν διόπερ, Μαρτύρων δόξα, ὁμοῦ καὶ καύχημα.

✠ 11. Τοῦ ἁγίου Ἀποστόλου Φιλίππου, ἑνὸς τῶν ἑπτὰ

ΔΗΜΟΣΙΕΥΣΕΙΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Διακόνων· καὶ τοῦ ὁσίου Πατρὸς ἡμῶν Θεοφάνους τοῦ Γραπτοῦ.

Ὁ μὲν Φίλιππος ἦν ἐκ Καισαρείας τῆς Παλαιστίνης, ἔχων 4 θυγατέρας Προφήτιδας· ἐκήρυξεν εἰς Σαμάρειαν τῷ 35 ἔτει· ἀπήντησε καθ' ὁδὸν τῷ Εὐνούχῳ Κανδάκης τῆς βασιλίσσης Αἰθιόπων, ἀναγινώσκοντι τὸν Προφήτην Ἡσαΐαν, καὶ κατηχήσας ἐβάπτισεν· εἶτα ἐν Τράλλει τῆς Ἀσίας κηρύττων ἐτελεύτησεν. Ὁ δὲ Θεοφάνης ἦν Παλαιστῖνος τὸ γένος, ἀδελφὸς Θεοδώρου τοῦ Γραπτοῦ, μοναχοὶ καὶ οἱ δύο τῆς τοῦ ἁγίου Σάββα μονῆς. Ἐκωνομάσθησαν δὲ Γραπτοὶ, διότι Θεόφιλος, ὁ ἔσχατος τῶν Εἰκονομάχων βασιλέων, ἐγγράψας εἰς τὸ πρόσωπον αὐτῶν, διὰ πεπυρωμένου σιδήρου, 12 στίχους ἰαμβικούς, ἔπεμψεν αὐτοὺς εἰς ἐξορίαν, ὅπου καὶ ἀπέθανεν ὁ Θεόδωρος τῷ 833 ἔτει. Ὁ δὲ Θεοφάνης, ἐπιζήσας μετὰ τὸν ἐν ἔτει 842 θάνατον τοῦ Θεοφίλου, ἐψηφίσθη Νικαίας ἐπίσκοπος. Ἐποίησαν ἀμφότεροι πολλοὺς Κανόνας καὶ Ἄσματα, κοσμοῦντα τὴν Ἐκκλησίαν.

Ἀπολυτίκιον τοῦ Ἀποστόλου. Ἦχος γ'.

Ἀπόστολε ἅγιε Φίλιππε. Ὡς ἀνωτέρω.

Τοῦ Ὁσίου, Ἦχος πλ. δ'.

Ὀρθοδοξίας ὁδηγὲ, εὐσεβείας διδάσκαλε καὶ σεμνότητος, τῆς οἰκουμένης ὁ φωστὴρ, ἀρχιερέων θεόπνευστον ἐγκαλλώπισμα, Θεόφανες σοφὲ, ταῖς διδαχαῖς σου πάντας ἐφώτισας, λύρα τοῦ Πνεύματος. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκ. τοῦ Ἀπος. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Φωτισθεὶς ἐν Πνεύματι, τῷ παναγίῳ, τὰ τῆς γῆς πληρώματα, ταῖς σαῖς φωτίζεις διδαχαῖς, καὶ τῶν θαυμάτων λαμπρότησιν, ἱερομύσα Ἀπόστολε Φίλιππε.

## ΕΙΔΗΣΙΣ

Κατὰ τὴν ἑνδεκάτην τοῦ παρόντος Μηνὸς, εἰ τύχοι ἐν Κυριακῇ, ἢ τῇ πρώτῃ μετ' αὐτὴν ἐρχομένῃ, ψάλλεται ἡ Ἀκολουθία τῶν ἁγίων 350 Πατέρων, τῶν εἰς τὴν Οἰκουμενικὴν Ζ'. Σύνοδον ἐν Νικαίᾳ συνελθόντων τὸ δεύτερον κατὰ τῶν Εἰκονομάχων, ἐν ἔτει 787, ἐπὶ τῆς βασιλείας Εἰρήνης, καὶ τοῦ υἱοῦ αὐτῆς Κωνσταντίνου τοῦ Πορφυρογεννήτου.

✠ Κυριακὴ τῶν ἁγίων Πατέρων τῆς Οἰκουμενικῆς Ἑβδόμης Συνόδου.

Δημόσια Κεντρική Βιβλιοθήκη Λήξουριου - Μουσείο Τοπικών Ιακωβατων

Ἀπολ. Ἀναστάσιμον· καὶ τῶν Πατέρων, Ἦχος πλ. δ'.

Ὑπερδεδοξασμένος εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ φωστῆρας ἐπὶ γῆς, τοὺς Πατέρας ἡμῶν θεμελιώσας, καὶ δι' αὐτῶν πρὸς τὴν ἀληθινὴν πίστιν, πάντας ἡμᾶς ὁδηγήσας. Πολυεύσπλαγχνε δόξα σοι.

Κοντάκιον, Ἦχος πλ. δ'.

Τῶν Ἀποστόλων τὸ κήρυγμα, καὶ τῶν Πατέρων τὰ δόγματα, τῇ Ἐκκλησίᾳ μίαν τὴν πίστιν ἐσφράγισαν· ἣ καὶ χιτῶνα φοροῦσα τῆς ἀληθείας, τὸν ὑφαντὸν ἐκ τῆς ἄνω θεολογίας, ὀρθοτομεῖ καὶ δοξάζει τῆς εὐσεβείας τὸ μέγα Μυστήριον.

✠ 12. Τῶν ἁγίων Μαρτύρων Πρόβου, Ταράχου, καὶ Ἀνδρονίκου.

Ἠθλησαν ἐπὶ Διοκλητιανοῦ, ἐν ἔτει 296.

Ἀπολυτίκιον, Ἦχος πλ. ά.

Τῶν ἁγίων Μαρτύρων τὰ κατορθώματα, οὐρανῶν αἱ Δυνάμεις ὑπερεθαύμασαν· ὅτι ἐν σώματι θνητῷ, τὸν ἀσώματον ἐχθρὸν, τῇ δυνάμει τοῦ Σταυροῦ, ἀγωνισάμενοι καλῶς, ἐνίκησαν ἀοράτως· καὶ πρεσβεύουσι τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τριάδος ἡμῖν, τὴν δόξαν ἐφανέρωσαν, οἱ θεῖοι Χριστοῦ, ὁπλῖται καὶ Μάρτυρες, ὁ Ἀνδρόνικος Πρόβος τε, σὺν Ταράχῳ· πλάνην γὰρ ἤλεγξαν τῶν τυράννων τὴν δυσσεβῆ, τῇ πίστει γενναίως ἐναθλήσαντες.

✠ 13. Τῶν ἁγίων Μαρτύρων Κάρπου, Παπύλου, Ἀγαθοδώρου, καὶ Ἀγαθονίκης.

Ὧν ὁ μὲν Κάρπος ἦν ἐπίσκοπος τῆς ἐν Θυατείροις Ἐκκλησίας, ὁ δὲ Πάπυλος διάκονος, ὁ δὲ Ἀγαθόδωρος δοῦλος αὐτῶν, ἡ δὲ Ἀγαθονίκη ἀδελφὴ τοῦ Παπύλου· ἠθλησαν δὲ ἐπὶ Δεκίου, ἐν ἔτει 250.

Ἀπολυτίκιον, Ἦχος δ'.

Οἱ Μάρτυρές σε Κύριε ἐν τῇ ἀθλήσει. Ὅρα σελ. 182.

Κοντακ. Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὡς θησαυρὸν πολυτελῆ ὁ Δεσπότης, καὶ κρήνην βρύσαν κρουνοὺς ἰαμάτων, τοῖς ἐπὶ γῆς παρέσχετο

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Δήμου Πατρέων - Μουσείο Παπαλόου Εφορείας Αρχαιοτήτων

τὰ λείψανα ὑμῶν· νόσους μὲν καθαίροντα παθημάτων ποικίλας, χάριν δὲ βραβεύοντα, ταῖς ψυχαῖς ἀεννάως· διὸ συμφώνως πόθῳ τὴν ὑμῶν, Μάρτυρες θεῖοι, τελοῦμεν πανήγυριν.

✠ 14. **Τῶν ἁγίων Μαρτύρων Ναζαρίου, Γερβασίου, Προτασίου, καὶ Κελσίου· καὶ τοῦ ὁσίου Πατρὸς ἡμῶν Κοσμᾶ τοῦ Ἁγιοπολίτου καὶ Ποιητοῦ, ἐπισκόπου Μαϊουμᾶ.**

Οἱ μὲν Μάρτυρες ἤθλησαν πάντες ἐν Μεδιολάνοις ἐπὶ Νέρωνος, τῷ 64 ἔτει. — Ὁ δὲ Κοσμᾶς ἦν Ἁγοπολίτης, ὅ ἐστιν Ἱεροσολυμίτης τὴν πατρίδα, σύγχρονος καὶ συνηλικιώτης Ἰωάννου τοῦ Δαμασκηνοῦ (Δεκεμβρίου 4), μεθ' οὗ καὶ συνανετράφη, υἱοθετηθεὶς Σεργίῳ τῷ πατρὶ ἐκείνου, διὰ τὴν ὀρφανίαν αὐτοῦ, καὶ ὑπὸ τὸν αὐτὸν συνεμαθήτευσε διδάσκαλον. Περὶ δὲ τὸ 743 ἔτος προεχειρίσθη ἐπίσκοπος Μαϊουμᾶ, πόλεως παραθαλασσίου τῆς Παλαιστίνης, ἥτις πρότερον μὲν, ὑποκειμένη εἰς τὴν Γάζαν, ἐκαλεῖτο Γαζαίων λιμήν· ἐπὶ δὲ Κωνσταντίνου τοῦ Μεγάλου, κατασταθεῖσα ἀνεξάρτητος, ἐπωνομάσθη Κωνσαντία, ἐκ τοῦ ὀνόματος Κωνσταντίου τοῦ υἱοῦ αὐτοῦ (Σωζόμ. Ἐκκλ. Ἱστορ. Βιβλ. ε. 3). Ἐγένετο δὲ ὁ Κοσμᾶς ἄριστος ἁσματογράφος, ἀφ' οὗ καὶ Ποιητὴς καὶ Μελῳδὸς ἐπονομάζεται.

**Ἀπολυτίκιον τῶν Μαρτύρων, Ἦχος δ'.**

Οἱ Μάρτυρές σου Κύριε, ὡς ἀνωτέρω.

**Ἕτερον τοῦ Ὁσίου, Ἦχος πλ. δ'.**

Ὀρθοδοξίας ὁδηγὲ, εὐσεβείας διδάσκαλε καὶ σεμνότητος, τῆς οἰκουμένης ὁ φωστὴρ, ἀρχιερέων θεόπνευστον ἐγκαλλώπισμα, Κοσμᾶ σοφὲ, ταῖς διδαχαῖς σου πάντας ἐφώτισας, λύρα τοῦ Πνεύματος. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Κοντάκ. τῶν Μαρτύρων, Ἦχος β'. Τὰ ἄνω ζητῶν.**

Λαμπτῆρες φαιδροὶ, φανέντες θεῖοι Μάρτυρες, τὴν κτίσιν φωτὶ; θαυμάτων καταυγάζετε, νοσημάτων λύοντες, τὴν βαθεῖαν νύκτα ἑκάστοτε, καὶ Χριστῷ τῷ μόνῳ Θεῷ, πρεσβεύοντες δοῦναι ἡμῖν ἔλεος.

**Ἕτερον τοῦ Ὁσίου, Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.**

Κεκοσμημένος ἀρεταῖς Κοσμᾶ θεόπνευστε, τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ κόσμος γεγένησαι, καὶ τοῖς ἄσμασιν ἐκόσμησας ταύτην Μάκαρ. Ἀλλὰ πρέσβευε πρὸς Κύριον ῥυσθῆναι ἡμᾶς, ἐκ παντοίων μηχανῶν τοῦ

πολεμήτορος, τοὺς σοὶ κράζοντας: Χαίροις Πάτερ τρισόλβιε.

✠ 15. Τοῦ ἁγίου Μάρτυρος Λουκιανοῦ πρεσβυτέρου τῆς ἐν Ἀντιοχείᾳ Ἐκκλησίας.

Οὗτος ἦν Σαμοσατεὺς τὴν πατρίδα, εὐσεβῶν γονέων υἱός. Ἠνοίξεν ἐν Ἀντιοχείᾳ σχολεῖον Κατηχητικόν, διδάσκων τὰ ὀρθὰ τῆς πίστεως δόγματα, καὶ τὰ δυσνόητα τῶν θείων Γραφῶν σαφηνίζων. Μεθηρμήνευσεν ἐκ τοῦ Ἑβραϊκοῦ τὴν Παλαιὰν Διαθήκην, καὶ ἐξέδωκεν αὐτὴν ἄριστα γεγραμμένην, καὶ πάσης νοθεύσεως αἱρετικῆς καθαρεύουσαν. Ἀπελθὼν δὲ εἰς Νικομήδειαν πρὸς ἐνίσχυσιν τῶν πιστῶν εἰς τοὺς ὑπὲρ Χριστοῦ ἀγῶνας, διεβλήθη εἰς τὸν Μαξιμῖνον· πρὸς ὃν καὶ διαλεχθεὶς παῤῥησίᾳ, καὶ ὑπὲρ τῆς πίστεως τῶν Χριστιανῶν ἀπολογησάμενος, κατεδικάσθη εἰς φυλακὴν, ἐν ᾗ ὑπὸ τοῦ λιμοῦ καὶ τῆς δίψης ἐτελεύτησε, τῷ 311 ἔτει.

Ἀπολυτίκιον Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ὁ Μάρτυς σου Κύριε, ἐν τῇ ἀθλήσει αὐτοῦ, τὸ ςέφος ἐκομίσατο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· ἔχων γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλεν· ἔθραυσε καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση. Αὐτοῦ ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν.

✠ 16. Τοῦ ἁγίου Μάρτυρος Λογγίνου τοῦ Ἑκατοντάρχου.

Οὗτος ἦν ὁ ὑπὸ τὸν Πιλάτον ὑπηρετήσας εἰς τὰ πάθη τοῦ Σωτῆρος Χριστοῦ· ὃν καὶ τηρῶν ἐπὶ τοῦ Σταυροῦ, καὶ ἰδὼν τὸν σεισμὸν καὶ τὰ γενόμενα, ἀνεβόησε μετὰ φόβου: Ἀληθῶς Θεοῦ υἱὸς ἦν οὗτος (Ματθ. κζ'. 54). Μετὰ δὲ τὴν Ἀνάστασιν, καταλιπὼν τὴν στρατιωτικὴν τάξιν, ἀπῆλθεν εἰς Καππαδοκίαν τὴν πατρίδα αὐτοῦ, τὸν Χριστὸν κηρύττων· ὅπου συλληφθεὶς διὰ τῆς τοῦ Πιλάτου πρὸς Τιβέριον τὸν Καίσαρα ἐνεργείας, ἀπετμήθη τὴν κεφαλήν.

Ἀπολυτίκιον, Ὁ Μάρτυς σου Κύριε, ὡς ἀνωτέρω.

Κοντάκιον, Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Εὐφροσύνη γέγηθεν, ἡ Ἐκκλησία, ἐν τῇ μνήμῃ σήμερον, τοῦ ἀοιδίμου ἀθλητοῦ, Λογγίνου ἀνακραυγάζουσα: Σύμου τὸ κράτος, Χριστὲ καὶ στερέωμα.

✠ 17. Τοῦ ἁγίου Προφήτου Ὡσηέ· καὶ τοῦ ἁγίου Ὁσιομάρτυρος Ἀνδρέου τοῦ ἐν τῇ Κρίσει.

Οὗτος μὲν ἦν ἐκ τῆς νήσου Κρήτης, μονήρη βίον διάγων ἐν αὐτῇ. Ἐπὶ δὲ Κωνσταντίνου τοῦ Κοπρωνύμου, ἀπελθὼν εἰς Κωνσταντινούπολιν, καὶ πολλὰ παθὼν ὑπὲρ τῆς τῶν ἁγίων Εἰκόνων τιμῆς, τελευταῖον,

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Λιξουρίου — Μουσείο Γης Κεφαλονιάς Ιόνιο Πανεπιστήμιο

συρόμενος διὰ τῆς ἀγορᾶς ἐκ τῶν ποδῶν δεδεμένος, ἀπέκοψε τὸν ἕτερον κοπίδι μακελλικῇ ὑπό τινος ἰχθυοπώλου, καὶ οὕτω παρέθετο τὸ πνεῦμα τῷ Θεῷ, τῷ 761 ἔτει. Τὸ δὲ ἱερὸν αὐτοῦ λείψανον κατετέθη εἰς τόπον τινά, καλούμενον Κρίσιν.—Ὁ δὲ Ὡσηὲ ὑπῆρχεν ἐκ φυλῆς Ἰσσάχαρ, ἢ μᾶλλον ἐκ τῆς τοῦ Ῥουβὴμ, υἱὸς Βεηρεὶ πρῶτος τῇ τάξει τῶν ιβ΄. Ἐλασσόνων Προφητῶν, καὶ πάντων τῶν λοιπῶν ὁ ἀρχαιότατος. Προεφήτευσεν ὑπὲρ τὰ 60 ἔτη· ἔζησεν ὑπὲρ τὰ 80, μεταξὺ τῶν 810 καὶ 720 πρὸ Χριστοῦ. Ἡ προφητεία αὐτοῦ διαιρεῖται εἰς 14 κεφάλαια.

Ἀπολυτίκιον τοῦ Ὁσιομάρτυρος, Ἦχος δ΄.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἀσκητικῶς προγυμνασθεὶς ἐν τῷ ὄρει, τὰς νοητὰς τῶν δυσμενῶν παρατάξεις, τῇ πανοπλίᾳ ὤλεσας παμμάκαρ τοῦ Σταυροῦ. Αὖθις δὲ πρὸς ἄθλησιν ἀνδρικῶς ἀπεδύσω, κτείνας τὸν Κοπρώνυμον, τῷ τῆς πίστεως ξίφει· καὶ δι' ἀμφοῖν ἐστέφθης ἐκ Θεοῦ, Ὁσιομάρτυς Ἀνδρέα ἀοίδιμε.

Κοντάκιον, Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Ἑορτάζει σήμερον, ἡ βασιλεύουσα Πόλις, ἑορτὴν ὑπέρλαμπρον, τὴν φωτοφόρον σου μνήμην, ἅπασαν προσκαλουμένη πόλιν καὶ χώραν· χαίρει γὰρ ὡς κεκτημένη θησαυρὸν μέγαν, τὸ πολύαθλόν σου σῶμα, Ἀνδρέα Μάρτυς ὀρθοδοξίας φωστήρ.

✠ 18. Τοῦ ἁγίου Ἀποστόλου, καὶ Εὐαγγελιστοῦ Λουκᾶ.

Οὗτος ἦν Ἀντιοχεὺς τὴν πατρίδα, ἰατρὸς τὸ ἐπάγγελμα, μαθητὴς καὶ συνοδοιπόρος τοῦ Παύλου, οὗ τῇ ὑπαγορεύσει καὶ τὸ κατ' αὐτὸν συνέγραψεν Εὐαγγέλιον Ἑλληνιστὶ, μετὰ τὸν Ματθαῖον καὶ Μάρκον, περὶ τὸ 60 ἔτος ἀπὸ Χριστοῦ· εἶτα καὶ τὰς Πράξεις τῶν Ἀποστόλων, ἀφιερώσας ἀμφότερα τὰ Συγγράμματα εἰς τὸν τῆς Ἀχαΐας (κατὰ τὴν γνώμην τινῶν) ἡγεμόνα Θεόφιλον· καὶ ζήσας ὑπὲρ τὰ 80 ἔτη, ἀπέθανεν ἐν αὐτῇ τῇ Ἀχαΐᾳ, ἢ ἴσως ἐν Πάτραις, μητροπόλει τῆς ἐπαρχίας ταύτης. Τὸ ἔμβλημα τῆς εἰκόνος αὐτοῦ ἐστὶν ὁ Βοῦς, τὸ τρίτον τῶν συμβολικῶν ζώων τοῦ Ἰεζεκιὴλ (ά. 10), διὰ τὸ ἄρχεσθαι τὸ Εὐαγγέλιον αὐτοῦ ἀπὸ τῆς τοῦ παλαιοῦ Νόμου λατρείας, ἐν ᾗ τὰ μᾶλλον θυόμενα ζῶα ἦσαν βόες.

Κατάλυσις οἴνου καὶ ἐλαίου.

Ἀπολυτίκιον, Ἦχος γ΄.

Ἀπόστολε ἅγιε, καὶ Εὐαγγελιστὰ Λουκᾶ, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

ΑΝΟΙΧΤΗ ΒΙΒΛΙΟΘΗΚΗ

**Κοντάκιον, Ἦχος δ'. Ἐπεφάνης σήμερον.**

Μαθητὴς γενόμενος, τοῦ θείᾳ Λόγᾳ, σὺν τῷ Παύλῳ ἅπασαν, ἐφωταγώγησας τὴν γῆν, καὶ τὴν ἀχλὺν ἀπεδίωξας, τὲ θεῖον γράψας Χριστοῦ Εὐαγγέλιον.

**✠ 19. Τοῦ ἁγίου Προφήτου Ἰωὴλ· καὶ τῶ ἁγίου Μάρτυρος Οὐάρου.**

Οὗτος ἤθλησεν ἐπὶ Μαξιμιανοῦ, ἐν ἔτει 304. Ὁ δὲ Ἰωὴλ ὑπῆρχεν ἐκ φυλῆς Ρουβὴμ, υἱὸς Βαθουὴλ, 810-750 πρὸ Χριστοῦ· κατὰ δὲ τὸν Καλμέτην, περὶ τὰ 610 πρὸ Χριστοῦ. Ἡ προφητεία αὐτοῦ, εἰς 3 κεφάλαια διαιρουμένη, τάττεται ἡ δευτέρα μεταξὺ τῶν Ἐλασσόνων Προφητῶν.

**Ἀπολυτίκιον. Ὁ Μάρτυς σου Κύριε. Ὅρα σελ. 196.**

**✠ 20. Τοῦ ἁγίου Μεγαλομάρτυρος Ἀρτεμίου· καὶ τοῦ ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Γερασίμου τοῦ νέου Ἀσκητοῦ τοῦ ἐν τῇ νήσῳ Κεφαλληνίας.**

Ὁ μὲν Ἀρτέμιος ἦν ἐν τοῖς χρόνοις Κωνσταντίνου τοῦ Μεγάλου, καταστηθεὶς ὑπ' αὐτοῦ ἡγεμὼν τῆς Ἀλεξανδρείας, εἶτα καὶ τῷ τοῦ Πατρικίου ἀξιώματι τιμηθείς. Βασιλεύσαντος δὲ μετὰ ταῦτα Ἰουλιανοῦ τοῦ Παραβάτου, τῷ 361 ἔτει, καὶ τιμωροῦντος τοὺς Χριστιανούς, παῤῥησιασάμενος ὁ Ἀρτέμιος, ἤλεγξε τὴν ἀποστασίαν αὐτοῦ· διὸ καὶ πολλὰς πρότερον ὑπομείνας βασάνους, τελευταῖον ἀπετμήθη τὴν κεφαλήν. — Ὁ δὲ Γεράσιμος ἦν Πελοποννήσιος τὴν πατρίδα, υἱὸς Δημητρίου καὶ Καλῆς, Νοταράδων τοὐπίκλην, ὑφ' ὧν καὶ ἀνετράφη εὐσεβῶς, καὶ τὰ ἱερὰ ἐπαιδεύθη γράμματα. Ἀναχωρήσας δὲ τῆς ἑαυτοῦ πατρίδος, καὶ τόπους διαφόρους περιελθὼν τελευταῖον κατήντησεν εἰς Κεφαλληνίαν· ἔνθα, ἀνακαινίσας ναόν τινα παλαιὸν, καὶ περὶ αὐτὸν Παρθενῶνα οἰκοδομήσας, εἰσέτι καὶ νῦν σωζόμενον ἐν τόπῳ καλουμένῳ Ὀμαλᾶ, ἐτέλεσεν ἐκεῖ τὸν τῆς ζωῆς αὐτοῦ δρόμον ἀσκητικῶς τῷ 1579 ἔτει. Τὸ δὲ ἱερὸν αὐτοῦ λείψανον, ἀδιάφθορον διαμένον, πρόκειται τοῖς πιστοῖς εἰς ἁγιασμόν.

**Ἀπολυτίκιον τοῦ Μάρτυρος:**

Ὁ Μάρτυς σου, Κύριε, ὡς ἀνωτέρω.

**Καὶ τοῦ Ὁσίου, Ἦχος ά.**

Τῶν ὀρθοδόξων προστάτην, καὶ ἐν σαρκὶ ἄγγελον, καὶ θαυματουργὸν θεοφόρον νεοφανέντα ἡμῖν, ἐπαινέσωμεν πιστοὶ θεῖον Γεράσιμον· ὅτι ἀξίως παρὰ Θεοῦ ἀπείληφεν ἰαμάτων τὴν ἀένναον χάριν· ῥωννύσι τοὺς νοσοῦντας, δαιμονῶντας ἰᾶται. Διὸ καὶ τοῖς τιμῶσιν αὐτὸν βρύει ἰάματα.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Λεξουρίου
Μουσείο Ιονίων Νήσων

Κοντάκ. τοῦ Ἁγίου, Ἦχος β'. Τοὺς ἀσφαλεῖς.

Τὸν εὐσεβῆ καὶ στεφηφόρον Μάρτυρα, τὸν κατ' ἐχθρῶν νίκης ἀράμενον τρόπαια, συνελθόντες ἐπαξίως νῦν, ἐν ὑμνῳδίαις εὐφημήσωμεν, Ἀρτέμιον τὸν μέγιστον ἐν Μάρτυσι, θαυμάτων τε δοτῆρα πλουσιώτατον· πρεσβεύει γὰρ Κυρίῳ ὑπὲρ πάντων ἡμῶν.

Ἕτερον τοῦ Ὁσίου, Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Εὐχαρίστοις ἄσμασι τῶν Κεφαλλήνων ἡ νῆσος, προσκαλεῖται σήμερον τῶν ὀρθοδόξων τὰ πλήθη, μέγιστον νεοφανέντα ἐγκωμιάσαι, καύχημα ὀρθοδοξίας ἀναφανέντα, τὸν Γεράσιμον τὸν θεῖον, τὸν ῥύστην ταύτης ὁμοῦ καὶ πρόμαχον.

✠ 21. Τοῦ ὁσίου Πατρὸς ἡμῶν Ἱλαρίωνος τοῦ Μεγάλου.

Ἔζησεν ἔτη 80. ἀπέθανε κατὰ τὸ 333 ἔτος.

Ἀπολυτίκιον. Ταῖς τῶν δακρύων σου. Ὅρα σελ. 186.

Κοντάκιον, Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Ὡς φωστῆρα ἄδυτον, τοῦ νοητοῦ σε Ἡλίου, συνελθόντες σήμερον, ἀνευφημοῦμεν ἐν ὕμνοις· ἔλαμψας γὰρ τοῖς ἐν σκότει τῆς ἀγνωσίας, ἅπαντας ἀναβιβάζων πρὸς θεῖον ὕψος, Ἱλαρίων τοὺς βοῶντας· Χαίροις ᾧ Πάτερ, τῶν Ἀσκητῶν ἡ κρηπίς.

✠ 22. Τοῦ ἁγίου ἰσαποστόλου Ἀβερκίου, ἐπισκόπου Ἱεραπόλεως, τοῦ θαυματουργοῦ· καὶ τῶν ἁγίων Ἑπτὰ Παίδων τῶν ἐν Ἐφέσῳ, Μαξιμιλιανοῦ, Ἰαμβλίχου, Μαρτινιανοῦ, Διονυσίου, Ἀντωνίου, Ἐξακουσωδιανοῦ, καὶ Κωνσταντίνου.

Ὁ μὲν Ἀβέρκιος ἤκμασε περὶ τὰ 186. Οἱ δὲ Ἑπτὰ Παῖδες ὑπνώσαντες ἔν τινι σπηλαίῳ, ἐν ἔτει 250, ἐπὶ τῆς βασιλείας Δεκίου, ἐκοιμήθησαν 184 ἔτη, ἕως τῆς βασιλείας Θεοδοσίου τοῦ Μικροῦ· ὅτε ἀφυπνισθέντες, ἤτοι ἀναστάντες, καὶ πάλιν θεία κελεύσει μικρὸν νυστάξαντες, πρὸς Κύριον ἐξεδήμησαν, τῷ 434 ἔτει.

Ἀπολυτίκιον, Ἦχος δ'.

Κανόνα πίστεως, καὶ εἰκόνα πραότητος, ἐγκρατείας διδάσκαλον, ἀνέδειξέ σε τῇ ποιμνῃ σου, ἡ τῶν πραγμάτων ἀλήθεια· διὰ τοῦτο ἐκτήσω τῇ ταπεινώ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Γενική Βιβλιοθήκη Λάρισας - Πολυκεντρικό Ίδρυμα Ιωάννου Σ. Κωνσταντακοπούλου

σει τὰ ὑψηλά, τῇ πτωχείᾳ τὰ πλούσια. Πάτερ ἱεράρχα Ἀβέρκιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τῶν Μαρτύρων. Οἱ Μάρτυρές σου. Ὅρα σελ. 182.

Κοντάκ. Ἦχος πλ. δ'. Ὡς ἀπαρχὰς τῆς φύσεως.

Ὡς ἱερέα μέγιστον, καὶ Ἀποστόλων σύσκηνον, ἡ Ἐκκλησία γεραίρει σε ἅπασα, ἡ τῶν πιστῶν Ἀβέρκιε· ἣν ταῖς σαῖς ἱκεσίαις, περιφύλαττε Μάκαρ, ἀκαταγώνιστον, ἐξ αἱρέσεως πάσης, καὶ ἄσειστον παναοίδιμε.

✠ 23. Τοῦ ἁγίου Ἀποστόλου Ἰακώβου τοῦ Ἀδελφοθέου, πρώτου ἐπισκόπου Ἱεροσολύμων.

Οὗτος, κατά τινας μέν, ὑπῆρχεν υἱὸς Ἰωσὴφ τοῦ Μνήστορος ἐκ τῆς γυναικὸς, ἣν εἶχε πρὶν μνηστευθῇ τὴν Ἀειπάρθενον· ἐπομένως δὲ ἐλέγετο καὶ αὐτῆς υἱὸς, καὶ ἀδελφὸς τοῦ Κυρίου, ὡς καὶ αὐτοῦ νομιζομένου υἱοῦ τοῦ Ἰωσήφ (Ματθ. ιγ', 55). Κατ' ἄλλους δὲ, ἦν ἀνεψιὸς μὲν τοῦ Ἰωσήφ, υἱὸς δὲ τοῦ ἀδελφοῦ αὐτοῦ Κλεόπα ἢ Κλωπᾶ, τοῦ καὶ Ἀλφαίου καλουμένου, καὶ Μαρίας τῆς ἐκείνου γυναικὸς, ἥτις ἦν ἀδελφὴ, μᾶλλον δὲ πρωτεξαδέλφη τῆς Θεοτόκου· ἀλλὰ καὶ ἐκ τῆς γενεαλογίας ταύτης ἐλέγετο πάλιν τοῦ Κυρίου ἀδελφὸς διὰ τὴν συγγένειαν, κατὰ τὸ ἰδίωμα τῆς ἁγίας Γραφῆς.

Οὗτος οὖν ὁ Ἰάκωβος καλεῖται ὑπὸ τῶν Εὐαγγελιστῶν Μικρὸς (Μάρκ. ιέ. 40), πρὸς διαστολὴν Ἰακώβου τοῦ υἱοῦ Ζεβεδαίου, ὅς τις λέγεται Μέγας. Κατέστη πρῶτος Ἱεροσολύμων ἐπίσκοπος, τῷ 34 ἔτει, ὑπ' αὐτοῦ τοῦ Κυρίου προαχθεὶς ἐπὶ τοῦ ἐπισκοπικοῦ τούτου θρόνου, ὥς τινες λέγουσι· κατὰ δὲ τὸν Εὐσέβιον, ὑπὸ τῶν Ἀποστόλων. Ἐπωνομάσθη Ὀβλίας, τουτέστι Δίκαιος, διὰ τὴν ἄκραν αὐτοῦ ὁσιότητα καὶ δικαιοσύνην. Ἀναβὰς δὲ ἐπὶ τὸ πτερύγιον, ὅ ἐστι τὸ ἐξέχον μέρος τῆς στέγης τοῦ Ναοῦ, τὴν ἡμέραν τοῦ Πάσχα, ἐκ παρακινήσεως πάντων, ἔδωκεν ἐκεῖθεν ἣν ἐζήτουν παρ' αὐτοῦ μαρτυρίαν περὶ τοῦ Ἰησοῦ, κηρύξας φωνῇ μεγάλῃ: Ὅτι ὁ Ἰησοῦς κάθηται ἐκ δεξιῶν τῆς μεγάλης δυνάμεως, καὶ μέλλει ἔρχεσθαι ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ. Ἐπὶ τῇ μαρτυρίᾳ ταύτῃ πολλοὶ τῶν παρόντων ἀνεβόησαν: Ὡσαννὰ τῷ υἱῷ Δαυίδ. Ἀλλ' οἱ Γραμματεῖς καὶ Φαρισαῖοι ἔκραξαν: Ὢ! ὢ! καὶ ὁ Δίκαιος ἐπλανήθη· καὶ δι' ἐπιταγῆς Ἀννάνου τοῦ ἀρχιερέως, κρημνισθεὶς ἐκεῖθεν ὁ Ἀπόστολος, εἶτα λιθαζόμενος καὶ εὐχόμενος ὑπὲρ τῶν μιαιφόνων, συνετρίβη τὴν κεφαλὴν ξύλῳ γναφέως τινός, καὶ οὕτως ἐξέπνευσε τῷ 62 ἔτει (Εὐσέβ. Ἐκκλ. Ἱστορ. Βιβλ. β. κγ'.). — Τοῦ Ἰακώβου τούτου ἐστὶν ἡ πρὸς τοὺς ἐν τῇ διασπορᾷ Ἰουδαίους πρώτη τῶν Καθολικῶν Ἐπιστολή.

Κατάλυσις οἴνου καὶ ἐλαίου.

ΔΗΜΟΣΙΕΥΣΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Καλαμάτας
Μουσείο Ιστορικών Τοκωγλύφων

Ἀπολυτίκιον, Ἦχος πλ. δ'.

Ὡς τοῦ Κυρίου Μαθητὴς, ἀνεδέξω δίκαιε τὸ Εὐαγγέλιον· ὡς Μάρτυς ἔχεις τὸ ἀπαράτρεπτον· τὴν παῤῥησίαν ὡς Ἀδελφόθεος· τὸ πρεσβεύειν ὡς Ἱεράρχης. Ἱκέτευε Χριστὸν τὸν Θεὸν, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὁ τοῦ Πατρὸς μονογενὴς Θεὸς Λόγος, ἐπιδημήσας πρὸς ἡμᾶς ἐπ' ἐσχάτων, τῶν ἡμερῶν Ἰάκωβε θεσπέσιε, πρῶτόν σε ἀνέδειξε τῶν Ἱεροσολύμων, ποιμένα καὶ διδάσκαλον, καὶ πιστὸν οἰκονόμον, τῶν Μυστηρίων τῶν πνευματικῶν· ὅθεν σε πάντες τιμῶμεν Ἀπόστολε.

✠ 24. Τοῦ ἁγίου Μάρτυρος Ἀρέθα, καὶ τῶν σὺν αὐτῷ.

Ἠθλησαν τῷ 542 ἔτει, ἐν Νεγρᾷ πόλει τῆς Εὐδαίμονος Ἀραβίας.

Ἀπολυτίκιον, Ἦχος ά.

Τὰς ἀλγηδόνας τῶν Ἁγίων, ἃς ὑπὲρ σοῦ ἔπαθον, δυσωπήθητι Κύριε, καὶ πάσας ἡμῶν τὰς ὀδύνας, ἴασαι φιλάνθρωπε δεόμεθα.

Κοντάκιον, Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Εὐφροσύνης πρόξενος, ἡμῖν ἐπέστη, ἡ φωσφόρος σήμερον, τῶν Ἀθλοφόρων ἑορτή· ἣν ἐκτελοῦντες δοξάζομεν, τὸν ἐν ὑψίστοις ὑπάρχοντα Κύριον.

✠ 25. Τῶν ἁγίων Μαρτύρων καὶ Νοταρίων, Μαρκιανοῦ, καὶ Μαρτυρίου.

Ἐθανατώθησαν ὑπὸ τῶν Ἀρειανῶν, ἐν ἔτει 346.

Ἀπολυτίκιον, Ἦχος δ'.

Οἱ Μάρτυρές σου Κύριε. Ὅρα σελ. 182.

Κοντάκιον, Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἀγωνισάμενοι καλῶς ἀπὸ βρέφους, Μαρκιανὲ σὺν τῷ σοφῷ Μαρτυρίῳ, τὸν ἀποστάτην Ἄρειον καθείλετε, ἄτρωτον φυλάξαντες, τὴν ὀρθόδοξον Πίστιν, Παύλῳ ἑφεπόμενοι, τῷ σοφῷ διδασκάλῳ· ὅθεν σὺν τούτῳ εὕρατε ζωὴν, ὡς τῆς Τριάδος ὑπέρμαχοι ἄριστοι.

✠ 26. Τοῦ ἁγίου Μεγαλομάρτυρος Δημητρίου τοῦ Μυροβλήτου· καὶ ἡ ἀνάμνησις τοῦ μεγάλου Σεισμοῦ.

Οὗτος συνέβη ἐν Κωνσταντινουπόλει, κατὰ τὸ 741 ἔτος, τῷ 24 τῆς βασιλείας Λέοντος τοῦ Ἰσαύρου, καὶ πρώτου τῶν Εἰκονομάχων.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ἀπὸ τὴν Κεντρικὴν Βιβλιοθήκην Ἀριούπου - Ἀπὸ τὸ Ἱστορικὸν Ἀρχεῖον Ἀριούπου

Ὁ δὲ ἅγιος Δημήτριος ἦν Θεσσαλονικεὺς τὴν πατρίδα, εὐσεβῶν γονέων υἱὸς εὐσεβέστατος, καὶ διδάσκαλος τῆς πίστεως τοῦ Χριστοῦ· διὸ καὶ ἐλθόντος τοῦ Μαξιμιανοῦ εἰς Θεσσαλονίκην τῷ 290, συλληφθεὶς ὑπ' αὐτοῦ, ἐτηρεῖτο δέσμιος ἐν φυλακῇ. Ἀγώνων δὲ τελουμένων ἐν τῇ πόλει, ὁ μὲν Μαξιμιανὸς ἐκάθητο θεατής· βάρβαρος δέ τις αὐτοῦ φίλος καὶ ἐπίσημος παλαιστὴς, Λυαῖος τὸ ὄνομα, ἐπαιρόμενος εἰς τὸ μέγεθος τοῦ σώματος καὶ τὴν ῥώμην αὐτοῦ, ἐκόμπαζεν ἐν τῷ σταδίῳ, προσκαλῶν τοὺς πολίτας διαγωνίσασθαι πρὸς αὐτὸν, καὶ πάντας τοὺς συμπλεκομένους αὐτῷ καταβάλλων. Ταῦτα ἰδὼν νεανίας τις, Νέστωρ καλούμενος, καὶ γνώριμος τοῦ ἁγίου Δημητρίου, ἔρχεται πρὸς αὐτὸν ἐν τῇ φυλακῇ, τὰς εὐχὰς αὐτοῦ ἐξαιτούμενος πρὸς μονομαχίαν· ἃς καὶ λαβὼν διὰ τῆς σφραγίσεως τοῦ τιμίου Σταυροῦ, παῤῥησιάζεται εἰς τὸ στάδιον· καὶ εἰπὼν: Ὁ Θεὸς Δημητρίου, βοήθει μοι! συμπλέκεται τῷ Λυαίῳ, καὶ βαλὼν αὐτῷ καιρίαν πληγὴν κατὰ καρδίας, ἀφῆκεν ἄπνουν ἐπὶ τῆς γῆς τὸν πρώην μεγάλαυχον. Ὁ δὲ Μαξιμιανὸς εἰς ἄκρον λυπηθεὶς ἐπὶ τούτῳ, καὶ τὴν αἰτίαν μαθὼν, προσέταξεν ἀμέσως τὸν μὲν Δημήτριον λόγχαις τρωθῆναι ἐν ᾗ εὑρίσκετο φυλακῇ, τὸν δὲ Νέστορα τῷ ἰδίῳ ξίφει ἀναιρεθῆναι.

## Ἀργία, καὶ κατάλυσις οἴνου καὶ ἐλαίου.

## Ἀπολυτίκιον, Ἦχος γ'. Θείας πίστεως.

Μέγαν εὕρατο ἐν τοῖς κινδύνοις, σὲ ὑπέρμαχον ἡ οἰκουμένη, ἀθλοφόρε τὰ ἔθνη τροπούμενον. Ὡς οὖν Λυαίου καθεῖλες τὴν ἔπαρσιν, ἐν τῷ σταδίῳ θαῤῥύνας τὸν Νέστορα, οὕτως Ἅγιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

## Ἕτερον τοῦ Σεισμοῦ, Ἦχος πλ. δ'.

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν, ῥῦσαι ἡμᾶς τῆς φοβερᾶς τοῦ σεισμοῦ ἀπειλῆς, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ κατάπεμψον ἡμῖν, πλούσια τὰ ἐλέησου· πρεσβείαις τῆς Θεοτόκου, καὶ σῶσον ἡμᾶς.

## Κοντάκιον, Ἦχος β'. Αὐτόμελον.

Τοῖς τῶν αἱμάτων σου ῥείθροις Δημήτριε, τὴν Ἐκκλησίαν Θεὸς ἐπορφύρωσεν, ὁ δούς σοι τὸ κράτος ἀήττητον, καὶ περιέπων τὴν Πόλιν σου ἄτρωτον· αὐτῆς γὰρ ὑπάρχεις τὸ στήριγμα.

## ✠ 27. Τοῦ ἁγίου Μάρτυρος Νέστορος.

Ἠθλησεν ἐπὶ Μαξιμιανοῦ, ὡς εἴρηται ἀνωτέρω εἰς τὰς 26.

## Ἀπολυτίκιον, Ἦχος δ'.

Ὁ Μάρτυς σου Κύριε, ἐν τῇ ἀθλήσει. Ὅρα σελ. 172.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Ἀπόσπασμα Κεντρικῆς Βιβλιοθήκης Δημοσίων Μουσείου Τυπάλδων Ἰακωβάτων

Ἡ τὸ, Μέγαν εὕρατο ἐν τοῖς κινδύνοις, ὡς ἀνωτέρω.

Κοντάκιον, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Ἀθλήσας καλῶς, ἀθάνατον τὴν εὐκλειαν, κεκλήρωσαι νῦν· καὶ στρατιώτης ἄριστος, τῷ Δεσπότῃ γέγονας, ταῖς εὐχαῖς Δημητρίου τοῦ Μάρτυρος. Σὺν αὐτῷ ὢν Νέστορ σοφὲ, πρεσβεύων μὴ παύσῃ ὑπὲρ πάντων ἡμῶν.

✠ 28. Τῶν ἁγίων Μαρτύρων Τερεντίου, καὶ Νεονίλης τῆς συζύγου αὐτοῦ· καὶ τῶν ἑπτὰ τέκνων αὐτῶν Σαρβήλου, Νιτᾶ, Ἱέρακος, Θεοδούλου, Φωτίου, Βήλης, καὶ Εὐνίκης· καὶ τὸ ὁσίου Πατρὸς ἡμῶν Στεφάνου τοῦ Σαββαΐτου.

Τῶν μὲν Μαρτύρων ἄδηλος καὶ ἡ πατρὶς καὶ ὁ χρόνος, καθ' ὃν ἐμαρτύρησαν· ἀπετμήθησαν δὲ πάντες τὴν κεφαλὴν, πικρὰς πρότερον ὑπομείναντες βασάνους. — Ὁ δὲ Ὅσιος διανύσας τὸν βίον ἀσκητικῶς ἐν τῇ μονῇ τοῦ ἁγίου Σάββα, ἀφ' οὗ καὶ Σαββαΐτης ἐπονομάζεται, ἐν ᾗ καὶ ἀρχιερεὺς ἐχειροτονήθη, ἐτελεύτησε περὶ τὰ 790, καταλιπὼν εἰς τὴν Ἐκκλησίαν καὶ τινα Τροπάρια ἁσματικά.

Ἀπολυτ. τῶν Μαρτ. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Οἱ Μάρτυρές σε Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν, στεφάνους ἐκομίσαντο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· σχόντες γὰρ τὴν ἰσχύν σε, τοὺς τυράννους καθεῖλον· ἔθραυσαν καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση. Αὐτῶν ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν.

Τοῦ Ὁσίου, Ἦχος πλ. δ'.

Ὀρθοδοξίας ὁδήγει, εὐσεβείας διδάσκαλε καὶ σεμνότητος, τῆς οἰκουμένης ὁ φωστὴρ, ἀρχιερέων θεόπνευστον ἐγκαλλώπισμα, Στέφανε σοφὲ, ταῖς διδαχαῖς σου πάντας ἐφώτισας, λύρα τοῦ Πνεύματος. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

✠ 29. Τῆς ἁγίας Ὁσιομάρτυρος Ἀναστασίας τῆς Ῥωμαίας· καὶ τοῦ ὁσίου Πατρὸς ἡμῶν Ἀβραμίου.

Ἡ μὲν, νέα οὖσα τὴν ἡλικίαν, καὶ ἔν τινι μοναστηρίῳ διατρίβουσα, συνελήφθη ὑπὸ τῶν ἀσεβῶν· καὶ τὸν Χριστὸν παῤῥησίᾳ ὁμολογήσασα, καὶ πολυειδεῖς ὑπομείνασα βασάνους, ἀπετμήθη τὴν κεφαλὴν τῷ 256, ἐπὶ Οὐαλεριανοῦ καὶ Γαλιήνου. — Ὁ δὲ Ὅσιος ἐτελεύτησε περὶ τὸ 390.

Ἀπολυτίκιον, Ἦχος δ'.

Ἡ ἀμνάς σου Ἰησοῦ, κράζει μεγάλη. Ὅρα σελ. 181.

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπικών Λειτουργικών Βιβλίων

Τοῦ Ὁσίου, Ἦχος πλ. δ'.

Ἐν σοὶ Πάτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα· λαβὼν γὰρ τὸν σταυρὸν, ἠκολούθησας τῷ Χριστῷ, καὶ πράττων ἐδίδασκες, ὑπεροράν μὲν σαρκὸς, παρέρχεται γάρ· ἐπιμελεῖσθαι δὲ ψυχῆς, πράγματος ἀθανάτου· διὸ καὶ μετὰ Ἀγγέλων συναγάλλεται, ὅσιε Ἀβράμιε τὸ πνεῦμά σου.

Κοντ. τῆς Ἁγίας Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Παρθενίας ναμασι, καθηγνισμένη ὁσία, μαρτυρίου αἵμασιν, Ἀναστασία πλυθεῖσα, παρέχεις τοῖς ἐν ἀνάγκαις τῶν νοσημάτων, ἴασιν καὶ σωτηρίαν τοῖς προσιοῦσιν ἐκ καρδίας· ἰσχὺν γὰρ νέμει, Χριστὸς ὁ βρύων χάριν ἀένναον.

Ἕτερον τοῦ Ὁσίου, ὁμοίως.

Ἐν σαρκὶ ὡς ἄγγελος, ἐπὶ τῆς γῆς ἀνεδείχθης, καὶ ἀσκήσει γέγονας, πεφυτευμένος ὡς φοίνιξ, ὕδατι τῆς ἐγκρατείας κατατρυφήσας, ῥεύμασι τῶν σῶν δακρύων ῥῦπον ἐκπλύνας· διὰ τοῦτο καρποφόρος, θαυμάτων ὤφθης, θεῖε Ἀβράμιε.

✠ 30. Τῶν ἁγίων Μαρτύρων Ζηνοβίου, καὶ Ζηνοβίας τῆς ἀδελφῆς αὐτοῦ.

Ἠθλησαν ἐπὶ Διοκλητιανοῦ, κατὰ τὸ 290 ἔτος.

Ἀπολυτίκιον. Οἱ Μάρτυρές σου, ὡς ὄπισθεν.

Κοντάκ. Ἦχος πλ. δ'. Ὡς ἀπαρχὰς τῆς φύσεως.

Τὰς ἀληθείας Μάρτυρας, καὶ εὐσεβείας κήρυκας, τῶν ἀδελφῶν τὴν δυάδα τιμήσωμεν, ἐν θεοπνεύστοις ᾄσμασι, τὸν Ζηνόβιον ἅμα τῇ σοφῇ Ζηνοβίᾳ, ὁμοῦ βιώσαντας, καὶ διὰ μαρτυρίου δεξαμένους στέφος ἄφθαρτον.

✠ 31. Τῶν ἁγίων Ἀποστόλων ἐκ τῶν Ἑβδομήκοντα, Στάχυος, Ἀπελλοῦ, Ἀμπλίου, Οὐρβανοῦ, Ναρκίσσου, καὶ Ἀριστοβούλου· καὶ τοῦ ἁγίου Μάρτυρος Ἐπιμάχου.

Τῶν Ἀποστόλων τούτων ὁ μὲν Στάχυς ἐχρημάτισε πρῶτος ἐπίσκοπος Βυζαντίου, ὑπὸ τοῦ Ἀποστόλου Ἀνδρέου χειροτονηθείς· καὶ ποιμάνας τὸν λαὸν αὐτοῦ 16 ἔτη, ἀνεπαύσατο ἐν Κυρίῳ. Τῶν δὲ λοιπῶν ἄλλος ἄλλην ἐπισκοπὴν λαχόντες, καὶ ἀποστολικῶς ἐν αὐταῖς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

διαπρέψαντες, ἐτελεύτησαν ἐν εἰρήνῃ. — Ὁ δὲ Μάρτυς ὑπῆρχεν ἀπὸ τῆς Αἰγύπτου, διατρίβων κατὰ τὸ Πηλούσιον ὄρος ἀσκητικῶς· καταβὰς δὲ εἰς Ἀλεξάνδρειαν ἐν τοῖς χρόνοις Δεκίου, καὶ συλληφθεὶς ὑπὸ τοῦ ἄρχοντος Ἀπελλιανοῦ, ὑπέστη τὸν μαρτυρικὸν θάνατον, τῷ 251 ἔτει.

Ἀπολυτίκιον τῶν Ἀποστόλων, Ἦχος γ΄.

Ἀπόστολοι ἅγιοι, πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Τοῦ Μάρτυρος, Ἦχος δ΄.

Ὁ Μάρτυς σου Κύριε, ἐν τῇ ἀθλήσει αὐτοῦ.

Ὥρα σελ. 196.

Κοντάκ. Ἦχος πλ. δ΄. Ὡς ἀπαρχὰς τῆς φύσεως.

Ὡς ἱερὰ κειμήλια τοῦ παναγίου Πνεύματος, καὶ τοῦ Ἡλίου τῆς δόξης αὐγάσματα, χρεωστικῶς ὑμνήσωμεν, τοὺς σοφοὺς Ἀποστόλους, Ἀπελλῆν Οὐρβανόν τε καὶ Ἀριστόβουλον, Ἀμπλίαν Νάρκισσον καὶ Στάχυν, οὓς ἡ χάρις συνήγαγε τοῦ Θεοῦ ἡμῶν.

## ΜΗΝ ΝΟΕΜΒΡΙΟΣ.

Ἔχων ἡμέρας 30. Ἡ ἡμέρα ἔχει ὥρας 10. καὶ ἡ νὺξ ὥρας 14.

Ϛ 1. Τῶν ἁγίων καὶ θαυματουργῶν Ἀναργύρων, Κοσμᾶ καὶ Δαμιανοῦ· καὶ τῆς ὁσίας μητρὸς αὐτῶν Θεοδότης.

Οὗτοι κατήγοντο ἐκ τῆς Ἀσίας, πατέρα ἔχοντες ἀσεβῆ· μετὰ δὲ τὸν θάνατον αὐτοῦ, ἄθεον λαβοῦσα ἡ φιλόχριστος αὐτῶν μήτηρ Θεοδότη, ἀνέθρεψεν αὐτοὺς εὐσεβῶς, καὶ πᾶσαν ἰδέαν ἀρετῆς καὶ ἐπιστήμης ἐξεπαίδευσεν, ἐξαιρέτως δὲ τὴν ἰατρικήν· ἣν καὶ ἐπάγγελμα ποιησάμενοι, περιήρχοντο θεραπεύοντες πᾶσαν νόσον, καὶ πᾶσαν μαλακίαν, καὶ πᾶσιν ὁμοῦ ἀνθρώποις καὶ κτήνεσι τὰς ἰάσεις παρέχοντες δωρεάν, ἀφ' οὗ καὶ Ἀνάργυροι ἐπωνομάσθησαν. Καὶ οὕτω τὸν δρόμον τῆς ζωῆς ἑαυτῶν τελέσαντες, ἐκοιμήθησαν ἐν εἰρήνῃ.

Κατάλυσις οἴνου καὶ ἐλαίου.

Ἀπολυτίκιον, Ἦχος πλ. δ΄.

Ἅγιοι Ἀνάργυροι καὶ θαυματουργοί, ἐπισκέψασθε τὰς ἀσθενείας ἡμῶν· δωρεὰν ἐλάβετε, δωρεὰν δότε ἡμῖν.

Κοντάκιον, Ἦχος β΄.

Οἱ τὴν χάριν λαβόντες τῶν ἰαμάτων, ἐφαπλοῦτε τὴν ῥῶσιν τοῖς ἐν ἀνάγκαις, Ἰατροὶ θαυματουργοὶ ἔν-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Αρξουρίου
Σύμπλεγμα Δημοτικών Βιβλιοθηκών

δοξοι· Ἀλλὰ τῇ ὑμῶν ἐπισκέψει, καὶ τῶν πολεμίων τὰ θράση κατευνάσατε, τὸν κόσμον ἰώμενοι ἐν τοῖς θαύμασιν.

✠ 2. Τῶν ἁγίων Μαρτύρων Ἀκινδύνου, Πηγασίου, Ἀφθονίου, Ἐλπιδηφόρου, καὶ Ἀνεμποδίστου.

Ἤθλησαν ἐν Περσίδι, κατὰ τὸ 330 ἔτος, ἐπὶ Σαβωρίου, ἢ Σαπωρίου Β'. βασιλέως Περσῶν.

Ἀπολυτίκιον, Ἦχος β'.

Ἀθλοφόροι Κυρίου, μακαρία ἡ γῆ, ἡ πιανθεῖσα τοῖς αἵμασιν ὑμῶν· καὶ ἅγιαι αἱ σκηναί, αἱ δεξάμεναι τὰ πνεύματα ὑμῶν· ἐν σταδίῳ γὰρ τὸν ἐχθρὸν ἐθριαμβεύσατε, καὶ Χριστὸν μετὰ παῤῥησίας ἐκηρύξατε. Αὐτὸν ὡς ἀγαθὸν ἱκετεύσατε, σωθῆναι δεόμεθα τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος α'. Χορὸς ἀγγελικός.

Ὡς ἄστρα ἀπλανῆ, τῷ Ἡλίου τῆς δόξης, ἀνέλαμψαν τῇ γῇ, οἱ Χριστῷ Στρατιῶται, τὸν ζόφον διώκοντες, τῶν παθῶν καὶ πηγάζοντες, χάριν ἄφθονον, ἀνεμποδίστως τοῖς πᾶσι, καὶ ἀκίνδυνον, τὴν σωτηρίαν δωροῦνται, ἐλπίδι τῆς πίστεως.

✠ 3. Τῶν ἁγίων Μαρτύρων Ἀκεψιμᾶ, Ἰωσὴφ, καὶ Ἀειθαλᾶ· καὶ τὰ Ἐγκαίνια τοῦ ναοῦ τοῦ ἁγίου Μεγαλομάρτυρος Γεωργίου, τοῦ ἐν Λύδδῃ, ἤτοι ἡ κατάθεσις τοῦ σώματος αὐτοῦ.

Ὁ μὲν Ἀκεψιμᾶς καὶ οἱ μετ' αὐτοῦ ἤθλησαν τῷ 330, ἐπὶ Σαβωρίου, ἢ Σαπωρίου Β'. βασιλέως Περσῶν· τὰ δὲ Ἐγκαίνια ἐγένοντο ἐπὶ τοῖς χρόνοις Κωνσταντίνου τοῦ Μεγάλου.

Ἀπολυτίκιον τοῦ ἁγίου Γεωργίου Ἦχος δ'.

Ὡς τῶν αἰχμαλώτων ἐλευθερωτὴς, καὶ τῶν πτωχῶν ὑπερασπιστὴς, ἀσθενούντων ἰατρὸς, βασιλέων ὑπέρμαχος. Τροπαιοφόρε Μεγαλομάρτυς Γεώργιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τῶν Μαρτύρων. Οἱ Μάρτυρές σου Κύριε. Ὅρα σελ. 203.

Κοντάκιον, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τὰ θεῖα σοφὲ, ἀμερίπτως ἱερούργησας· θυσία δεκτὴ, ἐγένου παμμακάριστε· τοῦ Χριστοῦ γὰρ ἔπιες, τὸ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λαρίσσης
Μουσείο Ιστορίας Ελληνικού Εκπαιδευτικού Συστήματος

ποτήριον ἐνδόξως ἅγιε, Ἀκεψιμᾶ σὺν τοῖς συνάθλοις σου πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

## Ἕτερον τοῦ Μεγαλομάρτυρος, Ἦχος πλ. δ'.

### Τῇ ὑπερμάχῳ στρατηγῷ.

Τῇ ὑπερμάχῳ καὶ ταχείᾳ ἀντιλήψει σου, προσπεφευγότες οἱ πιστοὶ καθικετεύομεν, λυτρωθῆναι παρὰ σοῦ Χριστοῦ Ἀθλοφόρε, καὶ σκανδάλων τοῦ ἐχθροῦ τοὺς ἀνυμνοῦντάς σε, καὶ παντοίων ἐκ κινδύνων καὶ κακώσεων· ἵνα κράζωμεν: Χαίροις Μάρτυς Γεώργιε.

✠ 4. Τοῦ ὁσίου Πατρὸς ἡμῶν Ἰωαννικίου τοῦ Μεγάλου· καὶ τῶν ἁγίων Ἱερομαρτύρων, Νικάνδρου ἐπισκόπου Μύρων, καὶ Ἑρμαίου πρεσβυτέρου.

Οὗτοι, πολλοὺς τῶν ἀπίστων ἐπιστρέφοντες εἰς τὴν πίστιν τοῦ Χριστοῦ, διεβλήθησαν εἰς τὸν τῆς πόλεως Κόμητα Λιβάνιον· ὑφ' οὗ μετὰ πολλὰς ἄλλας βασάνους, κατεκλείσθησαν ζῶντες εἰς τάφον, καὶ οὕτω τὰ πνεύματα αὐτῶν εἰς χεῖρας Θεοῦ παρέθεντο. — Ὁ δὲ Ὅσιος ἐγεννήθη ἐν Βιθυνίᾳ, κατὰ τὸ 740 ἔτος, πατέρα ἔχων Μυριτρίκην καλούμενον, μητέρα δὲ Ἀναστασώ· καὶ κατ' ἀρχὰς μὲν τῆς ἀνδρικῆς αὐτοῦ ἡλικίας διέπρεψεν ἐν τοῖς στρατιωτικοῖς, καὶ βασιλικῶν τιμῶν ἠξιώθη διὰ τὰς ἀνδραγαθίας αὐτοῦ· ὕστερον δὲ πάντων καταφρονήσας, ἀπῆλθεν εἰς τὸ ὄρος τοῦ Ὀλύμπου· ὅπου διανύσας τὸν ὑπόλοιπον βίον ἀσκητικῶς, καὶ μέγας εἰς τὴν ἀρετὴν γενόμενος, ἀνεπαύσατο ἐν Κυρίῳ, περὶ τὸ 834, ζήσας τὰ πάντα ἔτη 94. Τοῦ Ὁσίου τούτου ἐστὶν ἡ συντομωτάτη ἐκείνη Εὐχή: Ἡ ἐλπίς μου ὁ Πατήρ, κ. τ. λ.

## Ἀπολυτίκιον, Ἦχος πλ. δ'.

Ταῖς τῶν δακρύων σου ῥοαῖς τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας· καὶ τοῖς ἐκ βάθους στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας· καὶ γέγονας φωστὴρ, τῇ οἰκουμένῃ λάμπων τοῖς θαύμασιν, Ἰωαννίκιε Πατὴρ ἡμῶν ὅσιε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

## Τοῦ Ἱερομάρτυρος, Ἦχος δ'.

Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος, τῶν Ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὖρες θεοτευστε, εἰς θεωρίας ἐπίβασιν· διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίστει ἐνήθλησας μέχρις αἵ-

Ψηφιακή Κεντρική Βιβλιοθήκη Χίου - Μουσείο Ελληνικής Λαογραφίας

ματος, Ἱερομάρτυς Νίκανδρε. Πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἐν τῇ μνήμῃ σήμερον τῇ ἱερᾷ σου, συνελθόντες ἅπαντες, ἐκδυσωποῦμεν οἱ πιστοὶ, Ἰωαννίκιε ὅσιε, παρὰ Κυρίου εὑρεῖν ἡμᾶς ἔλεος.

✠ 5. Τῶν ἁγίων Μαρτύρων Γαλακτίωνος, καὶ Ἐπιστήμης τῆς συζύγου αὐτοῦ.

Ὁ μὲν ὑπῆρχεν υἱὸς Κλειτοφῶντος καὶ Λευκίππης, ἀσεβῶν μὲν ὄντων ἀμφοτέρων τοπρότερον, ὕστερον δὲ τὴν εὐσέβειαν διδαχθέντων παρά τινος μοναχοῦ, Ὀνουφρίου καλουμένου. Ἡ δὲ Ἐπιστήμη, ἐξ ἀπίστων γονέων γεννηθεῖσα καὶ αὐτὴ, ἐβαπτίσθη διὰ τὸ πρὸς τὸν Γαλακτίωνα συνοικέσιον. Ἤθλησαν δὲ ἐπὶ Δεκίου, περὶ τὸ 250 ἔτος.

Ἀπολυτίκ. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Οἱ Μάρτυρές σε Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν, στεφάνους ἐκομίσαντο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· σχόντες γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλον· ἔθραυσαν καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση. Αὐτῶν ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν.

✠ 6. Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Παύλου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τοῦ ὁμολογητοῦ.

Οὗτος ἦν Θεσσαλονικεὺς τὴν πατρίδα, πρεσβύτερος πρῶτον τῆς ἐν Κωνσταντινουπόλει Ἐκκλησίας, εἶτα καὶ ἐπίσκοπος αὐτῆς· ἀνὴρ ἐλλόγιμος, διδακτικὸς, ἀγαθὸς τὰ θεῖα, καὶ βίου χριστοῦ μαρτυρούμενος· ζηλωτὴς θερμότατος τῆς ἐν Νικαίᾳ Συνόδου, καὶ τῆς τοῦ Ὁμοουσίου πίστεως μέχρι θανάτου ἀνδρικώτατος ὑπερασπιστής. Ἀλλὰ δι' αὐτὸ τοῦτο ἅπαξ καὶ δὶς ἐξωσθεὶς τοῦ θρόνου ὑπὸ τοῦ ἀρειανίζοντος Κωνσταντίου, υἱοῦ Κωνσταντίνου τοῦ Μεγάλου, ἐξωρίσθη τελευταῖον περὶ τὸ 351 εἰς Κουκουσὸν τῆς Ἀρμενίας, ὅπου, ἐξ ἐπιβουλῆς τῶν Ἀρειανῶν, ἀπέπνιξαν αὐτὸν οἱ εἰς τὴν ἐξορίαν ἀπαγαγόντες.

Ἀπολυτίκιον, Ἦχος γ'. Αὐτόμελον.

Θείας πίστεως ὁμολογία, ἄλλον Παῦλόν σε τῇ Ἐκκλησίᾳ, ζηλωτὴν ἐν ἱερεῦσιν ἀνέδειξε· συνεκβοᾷ σοι καὶ Ἄβελ πρὸς Κύριον, καὶ Ζαχαρίου τὸ αἷμα τὸ δίκαιον. Πάτερ ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Κοντάκιον. Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Ἀστράψας ἐν γῇ, ὡς ἄστρον οὐρανόφωτον, τὴν καθολικὴν φωτίζεις Ἐκκλησίαν νῦν, ὑπὲρ ἧς καὶ ἤθλησας, τὴν ψυχήν σου Παῦλε προθέμενος, καὶ ὡς Ζαχαρίου καὶ Ἄβελ, τρανῶς βοᾷ σου τὸ αἷμα πρὸς Κύριον.

✠ 7. Τῶν ἁγίων τριάκοντα τριῶν Μαρτύρων, τῶν ἐν Μελιτινῇ· καὶ τοῦ ὁσίου Πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Λαζάρου, τοῦ ἐν τῷ Γαληνίῳ ὄρει.

Οἱ μὲν ἤθλησαν ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, ἐν ἔτει 290. Ὁ δὲ ἤσκησεν ἐπὶ Κωνσταντίνου τοῦ Μονομάχου, βασιλεύσαντος τῷ 1045.

Ἀπολυτίκιον τῶν Μαρτύρων.

Οἱ Μάρτυρές σου Κύριε, ὡς ἀνωτέρω.

Τοῦ Ὁσίου. Ἦχος πλ. δ'. Ταῖς τῶν δακρύων σου ῥοαῖς.

Ταῖς ἐπαγρύπνοις προσευχαῖς, ἐν ὀχετοῖς δακρύων τὸν στύλον κατέβρεχες· καὶ τοῖς ἐκ βάθους στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας· καὶ γέγονας ποιμὴν, τοῖς προσιοῦσι νέμων συγχώρησιν, ὅσιε Πατὴρ ἡμῶν Λάζαρε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ὡς φωστῆρα μέγιστον ἡ Ἐκκλησία, τὸ Χριστὸ δοξάζει σε, μετ' εὐφροσύνης ψαλμικῶς· διὸ μὴ παύσῃ πρεσβεύων Χριστῷ, δοθῆναι πᾶσι πταισμάτων συγχώρησιν.

✠ 8. Ἡ Σύναξις τοῦ Ἀρχιστρατήγου Μιχαὴλ, καὶ τῶν λοιπῶν Ἀσωμάτων Δυνάμεων.

Οἱ Ἄγγελοι πάντες, κατὰ τὸν Ἀπόστολον, εἰσὶ πνεύματα λειτουργικὰ, εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν (Ἑβρ. ά. 14). Αὐτοὺς κατέστησεν ὁ Θεὸς παντὸς ἔθνους καὶ λαοῦ ἐπιστάτας, καὶ πρὸς τὸ συμφέρον ὁδηγούς (Λευϊτ. λβ'. 8). Εἰς αὐτοὺς προστάσσει φυλάττειν τοὺς ἐλπίζοντας ἐπ' αὐτὸν, ἵνα μηδὲν αὐτοὺς βλάψῃ, μηδὲ εἰς τὰ σκηνώματα αὐτῶν προσεγγίσῃ κακόν (Ψαλμ. υ'. 9-11.). Αὐτοὶ ἐν οὐρανοῖς διαπαντὸς βλέπουσι τὸ πρόσωπον τοῦ Θεοῦ, τὸν Τρισάγιον αὐτῷ ἀναπέμποντες ὕμνον, καὶ πρεσβεύοντες πρὸς αὐτὸν ὑπὲρ ἡμῶν, καθὼς καὶ χαίρουσιν ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι (Ἡσ. ς'. 2-3. Ματθ. ιή. 10. Λουκ. ιέ. 7. Πράξ. ιβ'. 15). Ἐνὶ λόγῳ, αὐτοὶ ὑπηρέτησαν τῷ Θεῷ πρὸς ἡμετέραν εὐεργεσίαν τοσαῦτα, ὥστε γέμουσιν ἐκ τῆς τούτων ἱστορίας αἱ σελίδες τῶν ἁγίων Γραφῶν.

Διὰ ταῦτα οὖν ἡ ὀρθόδοξος Ἐκκλησία, εὐλόγως τιμῶσα τοὺς θείους τούτους λειτουργοὺς, καὶ ἡμῶν προστάτας καὶ φύλακας, ἐπιτελεῖ σήμερον τὴν παροῦσαν Σύναξιν, ὅ ἐστι συνάθροισιν ἡμῶν εἰς κοινὴν αὐτῶν ἑορτὴν καὶ ὑμνῳδίαν· ἐξαιρέτως δὲ τῶν Ἀρχαγγέλων Μιχαὴλ καὶ Γαβριὴλ, ὡς ὀνομαστὶ εἰς τὰς Γραφὰς ἀναφερομένων, ὧν τὸ μὲν Μιχαὴλ ἑρμηνεύεται, Τίς ὡς Θεός· τὸ δὲ Γαβριὴλ, Δύναμις Θεοῦ. Καὶ ὁ μὲν ἀριθμὸς τῶν Ἀγγέλων ἐστὶν ἀόριστος παρὰ τῇ θείᾳ Γραφῇ, λέγοντος τοῦ Δανιὴλ, ὅτι χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ (τῷ Θεῷ), καὶ μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ (Ζ'. 10)· πάντες ὅμως διαιροῦνται εἰς ἐννέα τάγματα, καλούμενα: Θρόνοι, Χερουβὶμ, Σεραφὶμ, Κυριότητες, Δυνάμεις, Ἐξουσίαι, Ἀρχαὶ, Ἀρχάγγελοι, καὶ Ἄγγελοι.

## Ἀργία, καὶ Κατάλυσις οἴνου καὶ ἐλαίου.

Ἀπολυτ. Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ. Τῶν οὐρανίων στρατιῶν Ἀρχιστράτηγοι, δυσωποῦμεν ὑμᾶς ἡμεῖς οἱ ἀνάξιοι, ἵνα ταῖς ὑμῶν δεήσεσι τειχίσητε ἡμᾶς, σκέπῃ τῶν πτερύγων, τῆς αὐλοῦ ὑμῶν δόξης, φρουροῦντες ἡμᾶς προσπίπτοντας, ἐκτενῶς καὶ βοῶντας: Ἐκ τῶν κινδύνων λυτρώσασθε ἡμᾶς, ὡς Ταξιάρχαι τῶν ἄνω Δυνάμεων.

## Κοντάκιον, Ἦχος β'.

Ἀρχιστράτηγοι Θεοῦ, λειτουργοὶ θείας δόξης, τῶν ἀνθρώπων ὁδηγοὶ καὶ ἀρχηγοὶ Ἀσωμάτων, τὸ συμφέρον ἡμῖν αἰτήσασθε, καὶ τὸ μέγα ἔλεος, ὡς τῶν Ἀσωμάτων Ἀρχιστράτηγοι.

## ✠ 9. Τῶν ἁγίων Μαρτύρων Ὀνησιφόρου, καὶ Πορφυρίου καὶ τῆς ὁσίας Μητρὸς ἡμῶν Ματρώνης.

Οἱ μὲν ἠθλησαν ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, τῷ 290 ἔτει. Ἡ δὲ Ὁσία ὑπῆρχεν ἐκ Πέργης τῆς Παμφυλίας, περὶ τὰ 466. συζευχθεῖσα δὲ ἀνδρὶ, καὶ θυγάτριον ἐξ αὐτοῦ γεννήσασα, τοῦτο μὲν παρέδωκε, μετὰ τὸν θάνατον τοῦ ἀνδρὸς, εἰς γνώριμόν τινα γυναῖκα· αὐτὴ δὲ διήνυσε τὸν βίον ἀσκητικῶς, ζήσασα ἕως 100 ἐτῶν.

## Ἀπολυτίκιον τῶν Μαρτύρων.

Οἱ Μάρτυρές σου Κύριε. Σελ. 182.

## Τῆς Ὁσίας, Ἦχος πλ. δ'.

Ἐν σοὶ Μῆτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα· λαβοῦσα γὰρ τὸν σταυρὸν, ἠκολούθησας τῷ Χριστῷ, καὶ πράττουσα ἐδίδασκες, ὑπερορᾶν μὲν σαρκὸς, πα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

ρέρχεται γάρ· ἐπιμελεῖσθαι δὲ ψυχῆς, πράγματος ἀθανάτου· διὸ καὶ μετὰ Ἀγγέλων συναγάλλεται, ὁσία Ματρώνα τὸ πνεῦμά σου.

✠ 10. Τῶν ἁγίων Ἀποστόλων ἐκ τῶν Ἑβδομήκοντα, Ὀλυμπᾶ, Ῥοδίωνος, Ἐράστου, Σωσιπάτρου, καὶ Κουάρτου· καὶ τοῦ ἁγίου Μάρτυρος Ὁρέστου.

Τούτων ὁ μὲν Ὀλυμπᾶς καὶ ὁ Ῥοδίων, ἢ Ἡρωδίων (Ῥωμ. ις'. 11), ἀκολουθήσαντες τῷ Ἀποστόλῳ Πέτρῳ εἰς Ῥώμην, ἀπετμήθησαν τὴν κεφαλὴν ὑπὸ Νέρωνος, περὶ τὰ 66 ἔτη. Οἱ δὲ λοιποὶ ἐτελεύτησαν ἐν εἰρήνῃ, γενόμενοι ἐπίσκοποι, Ἰκονίου μὲν ὁ Σωσίπατρος, Βηρυτοῦ δὲ ὁ Κούαρτος, ὁ δὲ Ἔραστος τῆς Πανεάδος, ἢ Πανειάδος (ἥτις καὶ Καισάρεια Φιλίππου μετωνομάσθη), οἰκονόμος χρηματίσας πρότερον τῆς ἐν Κορίνθῳ Ἐκκλησίας (Ῥωμ. ις'. 23) — Ὁ δὲ Μάρτυς ἦν ἐκ Τυάνων τῶν ἐν Καππαδοκίᾳ, ἐν τοῖς χρόνοις Διοκλητιανοῦ· τρυπηθεὶς δὲ τοὺς ἀστραγάλους δι' ἥλων (καρφίων) μακρῶν, καὶ ἵππῳ ἀγρίῳ προσδεθεὶς, βιαίως ὑπ' αὐτοῦ συρόμενος, ἀφῆκε τὸ πνεῦμα, τῷ 289 ἔτει.

Ἀπολυτίκιον τῶν Ἀποστόλων, Ἦχος γ'.

Ἀπόστολοι ἅγιοι, πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν. Τοῦ Μάρτυρος. Ὁ Μάρτυς σου Κύριε. Ὅρα σελ. 196.

Κοντάκιον, Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἐπεφάνη σήμερον, τῶν Ἀποστόλων, ἡ σεπτὴ πανήγυρις, παρεχομένη ἐμφανῶς, πταισμάτων πᾶσι τὴν ἄφεσιν, τοῖς ἐκτελοῦσιν αὐτῶν τὸ μνημόσυνον.

✠ 11. Τῶν ἁγίων Μαρτύρων Μηνᾶ, Βίκτωρος, καὶ Βικεντίας· καὶ τῆς ἁγίας Μάρτυρος Στεφανίδος· καὶ τοῦ ὁσίου Πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ, Θεοδώρου τοῦ Στουδίτου.

Ὁ μὲν Μηνᾶς, Αἰγύπτιος ὢν τὴν πατρίδα, ἤθλησεν ἐν Κοτυαείῳ τῆς Φρυγίας τῷ 296, ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ. Ὁ δὲ Βίκτωρ καὶ ἡ Στεφανὶς ἐν Ἰταλίᾳ τῷ 160, ἐπὶ Ἀντωνίνου. Ὁ δὲ Βικέντιος ἐν Ἱσπανίᾳ τῷ 235, ἐπὶ Μαξιμίνου — Ὁ δὲ Θεόδωρος ἐγεννήθη ἐν Κωνσταντινουπόλει τῷ 759, ἐκ γονέων εὐσεβῶν, Φωτεινοῦ καὶ Θεοκτίστης· ἐνεδύθη τὸ μοναδικὸν σχῆμα ἐκ νεότητος, ἐν τῇ τῶν Σακκουδιτῶν λεγομένῃ μονῇ, ἧς καὶ Ἡγούμενος ἐγένετο τῷ 795. Μεταβὰς ἔπειτα εἰς τὴν τοῦ Στουδίου, οὕτω καλουμένην ἀπὸ τοῦ κτίτορος αὐτῆς, Στουδίου ὑπάτου Ῥωμαίου, ἐπωνομάσθη ἐκ τούτου Στουδίτης. Ἐφάνη ἔνθερμος ζηλωτὴς τῶν πατρικῶν παραδόσεων· ἠγωνίσατο μέχρι θανάτου ὑπὲρ τῆς τῶν ἁγίων Εἰκόνων τιμῆς· ὑπέμεινε τρεῖς ἐξορίας διὰ τὸν εὐσεβῆ αὐτοῦ ζῆλον· ἀλλ' εἰς τὴν τρίτην, εἰς ἣν κατεδίκασεν

αὐτὸν Λέων ὁ Ἀρμένιος, ἐνεκαρτέρησε γενναίως ῥαβδιζόμενος, καὶ δεσμούμενος, καὶ μεταφερόμενος ἀπὸ σκοτεινῆς εἰς ἄλλην σκοτεινοτέραν φυλακήν, ἑπτὰ ἔτη ὁλόκληρα. Τελευταῖον, ἀνακληθεὶς ἐκ τῆς ἐξορίας ὑπὸ Μιχαὴλ τοῦ Τραυλοῦ, καὶ λαβὼν μικρὰν ἄνεσιν τῶν μακρῶν αὐτοῦ πόνων, ἀνεπαύσατο ἐν Κυρίῳ τῷ 826 ἔτει, τῇ 11 Νοεμβρίου, ἡμέρᾳ Κυριακῇ, ὅτε οἱ περιεστῶτες αὐτοῦ μαθηταὶ, τὰ γόνατα κεκλιμένοι, ἔψαλλον τὸν Ἄμωμον. Τινὲς λέγουσιν, ὅτι αὐτὸς ὁ ἴδιος, μετὰ τὴν μετάληψιν τῶν ἀχράντων Μυστηρίων, ἤρξατο ψάλλειν τοῦτον τὸν Ψαλμὸν· φθάσας δὲ εἰς τὸν στίχον αὐτοῦ: Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου, ὅτι ἐν αὐτοῖς ἔζησάς με (ριή. 93), ἀφῆκε τὸ πνεῦμα, ζήσας ἔτη 67 — Πρὸς τοῖς ἄλλοις αὐτοῦ ἱεροῖς συγγράμασιν, ἐποίησε μετὰ τοῦ ἰδίου αὐταδέλφου Ἰωσὴφ καὶ ὅλον σχεδὸν τὸ κατανυκτικὸν βιβλίον τοῦ Τριῳδίου (Ἰουλ. 14.).

Ἀπολυτίκιον, Ἦχος δ΄.

Οἱ Μάρτυρές σε Κύριε, ἐν τῇ ἀθλήσει. Ὅρα σελ. 208.

Τοῦ Ὁσίου, Ἦχος πλ. δ΄.

Ὀρθοδοξίας ὁδηγὲ, εὐσεβείας διδάσκαλε καὶ σεμνότητος, τῆς οἰκουμένης ὁ φωστὴρ, τῶν μοναζόντων θεόπνευστον ἐγκαλλώπισμα, Θεόδωρε σοφὲ, ταῖς διδαχαῖς σου πάντας ἐφώτισας, λύρα τοῦ Πνεύματος. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον τῶν Μαρτύρων. Ἦχος πλ. δ΄. Ὡς ἀπαρχάς.

Ὡς εὐσεβείας Μάρτυρας, καὶ ἀθλητὰς θεόφρονας, ἡ Ἐκκλησία γεραίρει δοξάζουσα, τοὺς θείους ἄθλους σήμερον, Μηνᾶ τοῦ ἀθλοφόρου, Βίκτωρος τοῦ γενναίου, καὶ Βικεντίου τοῦ γενναιόφρονος· καὶ ποθοῦσα κραυγάζει, δοξάζουσα τὸν φιλάνθρωπον.

Κοντάκ. τοῦ Ὁσίου, Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Τὸν ἀσκητικὸν, ἰσάγγελόν τε βίον σου, τοῖς ἀθλητικοῖς, ἐφαίδρυνας παλαίσμασι, καὶ Ἀγγέλοις σύσκηνος, θεομάκαρ ὤφθης Θεόδωρε, σὺν αὐτοῖς Χριστῷ τῷ Θεῷ, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

✠ 12. Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου, ἀρχιεπισκόπου Ἀλεξανδρείας, τοῦ Ἐλεήμονος· καὶ τοῦ ὁσίου Πατρὸς ἡμῶν Νείλου.

Ὁ μὲν Ἰωάννης ἦν Κύπριος τὸ γένος, ἐκ πόλεως Ἀμαθοῦντος, υἱὸς Ἐπιφανίου τοῦ τῆς Κύπρου ἄρχοντος· ἐγεννήθη τῷ 555. ἐτέθη ἐπὶ

ΔΗΜΟΣΙΕΥΣΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Συμβόλων Ιακωβιτών

τὸν ἀρχιεπισκοπικὸν θρόνον τῷ 608. ἀπέθανε τῷ 619, ἐτῶν 64. Ὁ δὲ Νεῖλος ἦν Κωνσταντινουπολίτης τὴν πατρίδα, μαθητὴς τοῦ Χρυσοστόμου, ἔπαρχος τῆς πόλεως ταύτης πρότερον, εἶτα ἀσκητὴς τοῦ ὄρους Σινᾶ. Ἔγραψεν Ἐπιστολὰς καὶ Ἀσκητικὰ διάφορα· ἀπέθανε περὶ τὰ 451.

Κατάλυσις οἴνου καὶ ἐλαίου.

Ἀπολυτίκιον, Ἦχος πλ. δ΄.

Ἐν τῇ ὑπομονῇ σου ἐκτήσω τὸν μισθόν σου, Πάτερ ὅσιε, ταῖς προσευχαῖς ἀδιαλείπτως ἐγκαρτερήσας, τοὺς πτωχοὺς ἀγαπήσας, καὶ τούτοις ἐπαρκέσας. Ἀλλὰ πρέσβευε Χριστῷ τῷ Θεῷ, Ἰωάννη Ἐλεήμον μακάριε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τοῦ Ὁσίου, Ἦχος πλ. δ΄.

Ταῖς τῶν δακρύων σου ροαῖς, τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας· καὶ τοῖς ἐκ βάθους στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας· καὶ γέγονας φωστὴρ, τῇ οἰκουμένῃ λάμπων τοῖς θαύμασι, Νεῖλε Πατὴρ ἡμῶν ὅσιε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Τὸν πλοῦτον τὸν σὸν, ἐσκόρπισας τοῖς πένησι, καὶ τῶν οὐρανῶν, τὸν πλοῦτον νῦν ἀπείληφας, Ἰωάννη πάνσοφε· διὰ τοῦτο πάντες σε γεραίρομεν, ἐκτελοῦντες τὴν μνήμην σου, τῆς Ἐλεημοσύνης ὦ ἐπώνυμε.

Κοντάκ. τοῦ Ὁσίου, Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.

Τὰς φρυγανώδεις τῶν παθῶν τῶν ἐκ τοῦ σώματος, ἐπαναζάσεις τμητικῶς Νεῖλε μακάριε, ἐν ἀγρύπνῳ σου συνέκοψας ἱκεσίᾳ. Ἀλλ' ὡς ἔχων παῤῥησίαν πρὸς τὸν Κύριον, ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον· ἵνα κράζω σοι: Χαίροις Πάτερ παγκόσμιε.

✠ 13. Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τοῦ Χρυσοστόμου.

Ὁ μέγας οὗτος τῆς οἰκουμένης Διδάσκαλος ἐγεννήθη ἐν Ἀντιοχείᾳ τῇ Μεγάλῃ, τῷ 344 ἔτει, ἐκ γονέων εὐσεβῶν, Σεκούνδου καὶ Ἀνθούσης· ἐμαθήτευσε παρὰ Λιβανίῳ τῷ σοφιστῇ, καὶ Ἀνδραγαθίῳ τῷ φιλοσόφῳ· ἐμόνασε πρῶτον ἐν τοῖς κατ' Ἀντιόχειαν ἡσυχαστηρίοις,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

εἶτα ἐχειροτονήθη πρεσβύτερος τῆς τῶν Ἀντιοχέων Ἐκκλησίας, τῷ 383. ἀνεβιβάσθη εἰς τὸν ἀρχιεπισκοπικὸν τῆς Κωνσταντινουπόλεως θρόνον, τῇ 15 Δεκεμβρίου τοῦ 398. ἐξωρίσθη τῷ 403 ὑπὸ Ἀρκαδίου καὶ Εὐδοξίας· ἀλλὰ μετ' ὀλίγον ἀνεκλήθη πάλιν εἰς τὸν θρόνον αὐτοῦ. Μετὰ δὲ μῆνας 7 ἢ 8 ἐξορισθεὶς ἐκ δευτέρου, τῇ 10 Ἰουνίου τοῦ 404, καὶ πολλὰ παθὼν ἐν ἐξορίᾳ ὑπὲρ τὰ τρία ἔτη, ἐκ τόπου εἰς τόπον μετακομιζόμενος, ἀπέθανε, καθ' ὁδὸν ἐν Κομάνοις, τῇ 14 Σεπτεμβρίου τοῦ 407, ζήσας τὰ πάντα ἔτη 63. Ἐπωνομάσθη Χρυσόστομος, διὰ τὴν εὐφράδειαν αὐτοῦ. Συνέγραψε τοσαῦτα, καὶ εἰς τοσοῦτον τὴν θείαν Γραφὴν ἐσαφήνισεν, ὡς οὐδεὶς ποτε τῶν ἄλλων τῆς Ἐκκλησίας Πατέρων. Τὰ σωζόμενα αὐτοῦ εἰσὶ 1447 Λόγοι, καὶ 249 Ἐπιστολαί. Εἰκοσιδύο Διδάσκαλοι τῆς Ἐκκλησίας ἔπλεξαν ἐγκώμιον εἰς αὐτόν.

Εἰδέναι δὲ χρὴ ὅτι, διὰ τὴν ἐν τῇ 14 Σεπτεμβρ. ἑορτὴν τοῦ Σταυροῦ, μετετέθη ἡ μνήμη αὐτοῦ εἰς τὴν σήμερον, καθ' ἣν ἴσως συνέβη ἡ ἀνάκλησις αὐτοῦ ἀπὸ τῆς πρώτης ἐξορίας.

## Ἀργία, καὶ Κατάλυσις οἴνου καὶ ἐλαίου.

### Ἀπολυτίκιον, Ἦχος πλ. δ'.

Ἡ τοῦ στόματός σου καθάπερ πυρσὸς ἐκλάμψασα χάρις, τὴν οἰκουμένην ἐφώτισεν, ἀφιλαργυρίας τῷ κόσμῳ θησαυροὺς ἐναπέθετο, τὸ ὕψος ἡμῖν τῆς ταπεινοφροσύνης ὑπέδειξεν. Ἀλλὰ σοῖς λόγοις παιδεύων, Πάτερ Ἰωάννη Χρυσόστομε, πρέσβευε τῷ Λόγῳ Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

### Κοντάκιον, Ἦχος πλ. β'. Τὴν ὑπὲρ ἡμῶν.

Ἐκ τῶν οὐρανῶν, ἐδέξω τὴν θείαν χάριν, καὶ διὰ τῶν σῶν, χειλέων πάντας διδάσκεις, προσκυνεῖν ἐν Τριάδι τὸν ἕνα Θεόν, Ἰωάννη Χρυσόστομε, παμμακάριστε ὅσιε. Ἐπαξίως εὐφημοῦμέν σε· ὑπάρχεις γὰρ καθηγητὴς, ὡς τὰ θεῖα σαφῶν.

## ✠ 14. Τοῦ ἁγίου καὶ πανευφήμου Ἀποστόλου Φιλίππου.

Οὗτος ἦν εἷς τῶν Δώδεκα, ἐκ Βηθσαϊδὰ τῆς Γαλιλαίας, συμπολίτης Ἀνδρέου, καὶ Πέτρου, πεπαιδευμένος τὰ τοῦ νόμου διδάγματα, καὶ εἰς τὴν μελέτην τῶν προφητικῶν βιβλίων σχολάζων· διὸ, καὶ ὅτε ὁ Ἰησοῦς ἐκάλεσεν αὐτὸν εἰς τὸ Ἀποστολικὸν ἀξίωμα, ζητήσας ἀμέσως εὑρίσκει τὸν Ναθαναὴλ, καὶ λέγει αὐτῷ: Ὃν ἔγραψε Μωσῆς ἐν τῷ νόμῳ, καὶ οἱ Προφῆται, εὑρήκαμεν Ἰησοῦν τὸν υἱὸν τοῦ Ἰωσὴφ, τὸν ἀπὸ Ναζαρέτ (Ἰωάν. α. 46.). Κηρύξας δὲ τὸν Θεάνθρωπον τοῦτον Ἰησοῦν εἰς πολλὰ μέρη τῆς Μι-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

κρὰς Ἀσίας, καὶ πολλὰ παθὼν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ, τελευταῖον σταυροῦται κατακεφαλῆς ἐν Ἱεραπόλει τῆς Φρυγίας.

Ἀργία, καὶ ἰχθύος Κατάλυσις.

Ἀπολυτίκιον, Ἦχος γ΄.

Ἀπόστολε ἅγιε Φίλιππε, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Κοντάκ. Ἦχος πλ. δ΄. Ὡς ἀπαρχὰς τῆς φύσεως.

Ὁ μαθητὴς καὶ φίλος σου, καὶ μιμητὴς τοῦ πάθους σου, τῇ οἰκουμένῃ Θεόν σε ἐκήρυξεν, ὁ θεηγόρος Φίλιππος. Ταῖς αὐτοῦ ἱκεσίαις, ἐξ ἐχθρῶν παρανόμων τὴν Ἐκκλησίαν σου, διὰ τῆς Θεοτόκου συντήρησον πολυέλεε.

Τῇ 15. Τῶν ἁγίων Μαρτύρων καὶ ὁμολογητῶν, Γουρίου, Σαμωνᾶ, καὶ Ἀβίβου.

Τούτων ὁ μὲν Γουρίας καὶ Σαμωνᾶς ἠθλησαν ἐπὶ Διοκλητιανοῦ τῷ 288. Ὁ δὲ Ἄβιβος, διάκονος ὤν, ἐν ἡμέραις Λικινίου, τῷ 316.

Ἀπὸ ταύτης τῆς ἡμέρας ἀρχόμεθα τῆς Νηστείας τῶν Χριστουγέννων.

Ἀπολυτίκιον, Ἦχος πλ. α΄.

Τὰ θαύματα τῶν ἁγίων σου Μαρτύρων, τεῖχος ἀκαταμάχητον ἡμῖν θωρησάμενος, Χριστὲ ὁ Θεός, ταῖς αὐτῶν ἱκεσίαις, βουλὰς ἐθνῶν διασκέδασον, τῆς Βασιλείας τὰ σκῆπτρα κραταίωσον, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Κοντάκιον, Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Ἐξ ὕψους σοφοὶ, τὴν χάριν κομισάμενοι, τῶν ἐν πειρασμοῖς, προΐστασθε πανεύφημοι· διὸ κόρην Ἅγιοι, ἐκ θανάτου πικροῦ ἐρρύσασθε· ὑμεῖς γὰρ ὄντως ὑπάρχετε, Ἐδέσης ἡ δόξα, καὶ τοῦ κόσμου χαρά.

Τῇ 16. Τῶ ἁγίου Ἀποστόλου, καὶ Εὐαγγελιστοῦ Ματθαίου.

Οὗτος ἐκαλεῖτο καὶ Λευὶς, υἱὸς Ἀλφαίου, Γαλιλαῖος τὴν πατρίδα, τελώνης τὸ ἐπάγγελμα. Συνέγραψε πρῶτος ἐν Παλαιστίνῃ τὸ κατ' αὐτὸν Εὐαγγέλιον Ἑβραϊστὶ, 8, ἢ 9, ἢ, κατ' ἄλλους, 15 ἔτη μετὰ τὴν τοῦ Σωτῆρος Ἀνάληψιν. Ζωγραφούμενος ἔχει πλησίον αὐτοῦ Ἀνθρώπου μορφὴν, τοῦ πρώτου τῶν συμβολικῶν ζώων τοῦ Ἰεζεκιὴλ (α΄. 10.), διὰ τὸ ἄρχεσθαι τὸ Εὐαγγέλιον αὐτοῦ ἀπὸ τῆς κατὰ σάρκα γενεαλογίας τοῦ Ἰησοῦ Χριστοῦ. Ἦν δὲ εἷς ἐκ τῶν Δώδεκα.

Κατάλυσις οἴνου καὶ ἐλαίου.

ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
Ιερά Μεγίστη Βασιλική Μονή Λεβαδείου - Μουσείο Υμνολόγων Κακοβατών

Ἀπολυτίκιον, Ἦχος γ΄.

Ἀπόστολε ἅγιε, καὶ Εὐαγγελιστὰ Ματθαῖε, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Κοντάκιον, Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τοῦ τελωνίου τὸν ζυγὸν ἀπορρίψας, δικαιοσύνης τῷ ζυγῷ προσηρμόσθης, καὶ ἀνεδείχθης ἔμπορος πανάριστος, πλεῖστον κομισάμενος τὴν ἐξ ὕψους σοφίαν· ὅθεν ἀνεκήρυξας, ἀληθείας τὸν λόγον, καὶ τῶν ῥαθύμων ἤγειρας ψυχάς, καθυπογράψας τὴν ὥραν τῆς Κρίσεως.

✠ 17. Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου, ἐπισκόπου Νεοκαισαρείας, τοῦ Θαυματουργοῦ.

Ἐγεννήθη ἐν Νεοκαισαρείᾳ τῆς Καππαδοκίας, ἐκ γονέων ἀπίστων· ἐμαθήτευσεν ἐν Ἀθήναις, ἐν Ἀλεξανδρείᾳ, ἐν Βηρυτῷ, καὶ τελευταῖον ἐν Καισαρείᾳ πέντε ἔτη ὑπὸ τὸν Ὠριγένην, ὑφ᾽ οὗ καὶ τὴν εἰς Χριστὸν ἐδιδάχθη πίστιν. Εἶτα, τῷ 240 ἔτει, γενόμενος ἐπίσκοπος τῆς ἑαυτοῦ πατρίδος, εὗρεν ἐν αὐτῇ 17 μόνον Χριστιανούς· ἀποθανὼν δὲ περὶ τὰ 265, ἀφῆκε σχεδὸν τοσούτους μόνον ἀπίστους· ἅπας δὲ ὁ χρόνος τῆς ἐπισκοπῆς αὐτοῦ ὑπῆρξε παραδόξων θαυμάτων συνέχεια, ἀφ᾽ οὗ ἔλαβε καὶ τὴν ἐπωνυμίαν Θαυματουργὸς, προσαγορευόμενος καὶ παρ᾽ αὐτῶν τῶν ἐχθρῶν τῆς ἀληθείας, Δεύτερος Μωσῆς (Βασίλ. ὁ Μ. Κεφ. κθ΄. περὶ τοῦ ἁγίου Πνεύματος).

Ἀπολυτίκιον, Ἦχος πλ. δ΄.

Ἐν προσευχαῖς γρηγορῶν, ταῖς τῶν θαυμάτων ἐργασίαις ἐγκαρτερῶν, ἐπωνυμίαν ἐκτήσω τὰ κατορθώματα. Ἀλλὰ πρέσβευε Χριστῷ τῷ Θεῷ, Πάτερ Γρηγόριε, φωτίσαι τὰς ψυχὰς ἡμῶν, μήποτε ὑπνώσωμεν ἐν ἁμαρτίαις εἰς θάνατον.

Κοντάκιον, Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Θαυμάτων πολλῶν, δεξάμενος ἐνέργειαν, σημείοις φρικτοῖς, τοὺς δαίμονας ἐπτόησας, καὶ τὰς νόσους ἤλασας, τῶν ἀνθρώπων πάνσοφε Γρηγόριε· διὸ καλῇ θαυματουργὸς, τὴν κλῆσιν ἐξ ἔργων κομισάμενος.

✠ 18. Τῶν ἁγίων Μαρτύρων Πλάτωνος, καὶ Ῥωμανοῦ.

Ὁ μὲν Πλάτων ἤθλησεν ἐπὶ ἡγεμόνος Ἀγριππίνου, ἐν ἔτει 296, ἀπὸ τῆς χώρας τῶν Γαλατῶν καταγόμενος, ἐκ πόλεως Ἀγκύρας. Ὁ δὲ Ῥωμανὸς ἦν Ἀντιοχεὺς τὴν πατρίδα, ἐν τοῖς χρόνοις Μαξιμιανοῦ.

Παρασταθεὶς δὲ ἐνώπιον Ἀσκληπιάδου τοῦ ἐπάρχου, καὶ παρακινούμενος ὑπ' αὐτοῦ εἰς τὴν τῶν εἰδώλων προσκύνησιν, ἠτήσατο ἀχθῆναι νήπιον ἐκ τῆς ἀγορᾶς, ἵνα ἐκεῖνο γένηται κριτὴς τῆς προκειμένης ὑποθέσεως. Ἐρωτηθὲν οὖν τὸ νήπιον: Τίνα Θεὸν δεῖ προσκυνεῖν; ἀπεκρίνατο: Τὸν Θεὸν τῶν Χριστιανῶν. Καὶ αὐτὸ μὲν δέρεται πρῶτον ἀνηλεῶς, διὰ προσταγῆς τοῦ τυράννου, εἶτα ἀποτέμνεται τὴν κεφαλήν. Ὁ δὲ Μάρτυς, ἐκκοπεὶς τὴν γλῶσσαν, καὶ ῥιφεὶς εἰς φυλακήν, τελευταῖον ἀποπνίγεται ἐν αὐτῇ τῷ 305 ἔτει — Ἐπ' ὀνόματι τοῦ Ῥωμανοῦ τούτου ἔκτισεν ἔπειτα ἐν Κωνσταντινουπόλει ναὸν περικαλλῆ ἡ ἁγία Ἑλένη.

Εἰ οὐκ ἔστιν Ἀλληλουϊα,

Ἀπολυτίκιον. Οἱ Μάρτυρές σου Κύριε. Σελ. 208.

✠ 19. Τοῦ ἁγίου Προφήτου Ἀβδιοὺ· καὶ τοῦ ἁγίου Μάρτυρος Βαρλαάμ.

Τοῦ μὲν Προφήτου ἐστὶν ἄδηλος παρὰ τῇ Θείᾳ Γραφῇ καὶ ἡ πατρὶς καὶ ὁ χρόνος, καθ' ὃν ἤκμασε· διὸ τινὲς μὲν λέγουσιν, ὅτι οὗτός ἐστιν ὁ Ἀβδιοὺ, ὁ τοῦ Ἀχαὰβ οἰκονόμος, ὁ ἀπὸ τῆς ὀργῆς τῆς Ἰεζάβελ κατακρύψας ἐν σπηλαίῳ τοὺς 100 Προφήτας, καὶ ἐν ἄρτῳ καὶ ὕδατι διατρέφων αὐτούς. (Γ'. Βασ. ιη'. 4.)· καὶ ὅτι ὕστερον ἐγένετο μαθητὴς Ἠλιοὺ τοῦ Προφήτου, περὶ τὰ 903 πρὸ Χ. Ὁ δὲ Καλμέτης καὶ οἱ τούτου ὀπαδοὶ κρίνουσιν αὐτὸν, ὡς ἐκ τῶν λόγων τῆς ἰδίας προφητείας, μικρόν τι μεταγενέστερον τοῦ Ἰωὴλ (Ὀκτωβρ. 19.). Λέγεται δὲ ὁ αὐτὸς καὶ Ὀβδιοὺ, καὶ Ἀβδίας, ἢ Ὡβαδίας. Ἡ δὲ προφητεία αὐτοῦ, εἰς ἓν μόνον κεφάλαιον περιεχομένη, τάττεται ἡ τετάρτη μεταξὺ τῶν Ἐλασσόνων Προφητῶν — Ὁ δὲ Βαρλαὰμ ὑπῆρχεν ἐκ κώμης τινὸς τῆς κατὰ Συρίαν Ἀντιοχείας, γέρων τὴν ἡλικίαν, καὶ τὴν τέχνην γεωργός· ἤθλησε δὲ ἐν τοῖς χρόνοις Διοκλητιανοῦ.

Εἰ οὐκ ἔστιν Ἀλληλουϊα,

Ἀπολυτ. τοῦ Προφήτου: Τοῦ Προφήτου σου Ἀβδιά. Σ. 174.

Ἕτερον τοῦ Μάρτυρος: Ὁ Μάρτυς σου Κύριε. Σελ. 196.

✠ 20. Προεόρτια τῆς ἐν τῷ Ναῷ Εἰσόδου τῆς ὑπεραγίας Θεοτόκου· καὶ μνήμη τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν, Γρηγορίου τοῦ Δεκαπολίτου, καὶ Πρόκλου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.

Ὁ μὲν Γρηγόριος ὑπῆρχεν ἀπὸ τῆς ἐν Κοιλο-Συρίᾳ Δεκαπόλεως, υἱὸς Σεργίου καὶ Μαρίας, ἀκμάσας ἐν τοῖς χρόνοις τῶν εἰκονομάχων, περὶ τὰ 837 — Ὁ δὲ Πρόκλος ἦν ἐν ἡμέραις Θεοδοσίου τοῦ Μικροῦ· ἐχρημάτισε μαθητὴς καὶ γραφεὺς τοῦ Χρυσοστόμου· ἀνεβιβάσθη εἰς τὸν ἀρχιεπισκοπικὸν τῆς Κωνσταντινουπόλεως θρόνον τῷ 434, ἐδέξατο μετὰ θριάμβου τοῦ Θείου Διδασκάλου αὐτοῦ τὸ ἱερώτατον λείψανον ἐν τῇ ἀνακομιδῇ (Ἰανουαρ. 27.)· ἐτελεύτησεν ἐν εἰρήνῃ τῷ 447.

ΗΜΟΔΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

Ἀπολυτίκιον τῶν Ἁγίων, Ἦχος δ΄.

Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὁ ποιῶν ἀεὶ μεθ' ἡμῶν κατὰ τὴν σὴν ἐπιείκειαν, μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν· ἀλλὰ ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ κυβέρνησον τὴν ζωὴν ἡμῶν.

Προεόρτιον, Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Χαρὰν προμνηςεύεται πᾶσιν ἡ Ἄννα νυνὶ, τῆς λύπης ἀντίθετον καρπὸν βλαςήσασα, τὴν μόνην Ἀειπάρθενον· ἣν περ δὴ καὶ προσάγει, τὰς εὐχὰς ἐκπληροῦσα, σήμερον γηθομένη, ἐν Ναῷ τοῦ Κυρίου, ὡς ὄντως Ναὸν τοῦ Θεοῦ Λόγου, καὶ Μητέρα ἀγνήν.

Κοντάκιον τοῦ Πρόκλου, Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἐπαξίως σήμερον, πανηγυρίζει, ἡ πασῶν τῶν πόλεων, τιμιωτέρα ἀληθῶς, ἐν τῇ σεπτῇ μεταστάσει σου, Πάτερ Πατέρων, παμμάκαρ Πρόκλε σοφέ.

Προεόρτιον ὅμοιον.

Εὐφροσύνης σήμερον ἡ οἰκουμένη, ἐπληρώθη ἅπασα, ἐν τῇ εὐσήμῳ ἑορτῇ, τῆς Θεοτόκου κραυγάζουσα: Αὕτη ὑπάρχει σκηνὴ ἐπουράνιος.

ΤΑ ΕΙΣΟΔΙΑ ΤΗΣ ΘΕΟΤΟΚΟΥ



Φ 21. Ἡ ἐν τῷ Ναῷ Εἴσοδος τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου.

Κατὰ τὴν παράδοσιν τῆς Ἐκκλησίας, ἡ Θεοτόκος προσηνέχθη τῷ Ναῷ τριετίζουσα, ἔνθα τῷ Θεῷ ἀφιερωθεῖσα, διέτριψεν ἔνδεκα,

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημοτική Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδειων Ιδρυμάτων

δώδεκα ὁλόκληρα ἔτη, μέχρι τοῦ 14, ἢ 15 τῆς ἡλικίας αὐτῆς· καὶ τότε, ὡς κόρη τελεία, ἐκ κοινῆς τῶν ἱερέων βουλῆς, τῶν γονέων αὐτῆς ἤδη πρὸ τριῶν ἐτῶν τεθνηκότων, ἐμνηστεύθη τῷ Ἰωσήφ.

Ἀργία, καὶ ἰχθύος Κατάλυσις

Ἀπολυτίκιον, Ἦχος δ'.

Σήμερον τῆς εὐδοκίας Θεοῦ τὸ προοίμιον, καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας ἡ προκήρυξις· ἐν Ναῷ τοῦ Θεοῦ, τρανῶς ἡ Παρθένος δείκνυται, καὶ τὸν Χριστὸν τοῖς πᾶσι προκαταγγέλλεται. Αὐτῇ καὶ ἡμεῖς μεγαλοφώνως βοήσωμεν: Χαῖρε τῆς οἰκονομίας τὸ Κτίσου ἡ ἐκπλήρωσις.

Κοντάκ. Ἦχος ὁ αὐτός. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὁ καθαρώτατος Ναὸς τοῦ Σωτῆρος, ἡ πολυτίμητος παστὰς καὶ Παρθένος, τὸ ἱερὸν θησαύρισμα τῆς δόξης τοῦ Θεοῦ, σήμερον εἰσάγεται ἐν τῷ Οἴκῳ Κυρίου, τὴν χάριν συνεισάγουσα, τὴν ἐν Πνεύματι Θείῳ· ἣν ἀνυμνοῦσιν Ἄγγελοι Θεοῦ: Αὕτη ὑπάρχει σκηνὴ ἐπουράνιος.

✻ 22. Τῶν ἁγίων Ἀποστόλων Φιλήμονος, Ἀπφίας, Ἀρχίππου, καὶ Ὀνησίμου· καὶ τῆς ἁγίας Μάρτυρος Κικιλίας καὶ τῶν σὺν αὐτῇ, Βαλλεριανοῦ καὶ Τιβουρτίου.

Ὁ μὲν Φιλήμων ἦν ἐκ Κολασσῶν, ἢ Κολοσσῶν πόλεως τῆς Φρυγίας, ἀνὴρ πλούσιος καὶ εὐγενής· ἡ δὲ Ἀπφία, σύζυγος αὐτοῦ· ὁ δὲ Ἄρχιππος, ἐπίσκοπος τῆς ἐν Κολασσαῖς Ἐκκλησίας, Παύλου τοῦ Ἀποστόλου μαθηταὶ καὶ οἱ τρεῖς. Ὁ δὲ Ὀνήσιμος, δοῦλος ὢν τοῦ Φιλήμονος ἄπιστος, κλέψας τι τῶν σκευῶν αὐτοῦ, ἐδραπέτευσεν εἰς Ῥώμην· ἀλλ' εὑρὼν αὐτὸν ἐκεῖ ὁ Ἀπόστολος, καὶ εἰς τὴν ὁδὸν τῆς ἀρετῆς, καὶ τὴν ἐπίγνωσιν τῆς ἀληθείας ὁδηγήσας, ἀπέστειλεν αὐτὸν πρὸς τὸν κύριον αὐτοῦ Φιλήμονα, γράψας καὶ ἐπιστολὴν πρὸς αὐτὸν τῷ 61 ἔτει, (ἥτις ἐστὶ μία τῶν 14 ἐπιστολῶν τοῦ Παύλου) συνιστῶν δι' αὐτῆς τὸν Ὀνήσιμον τοῦτον. Ἐτελεύτησαν δὲ πάντες μαρτυρικῶς, ὑπὸ τῶν εἰδωλολατρῶν λιθοβοληθέντες — Ἡ δὲ Κικιλία ἦν ἐκ Ῥώμης, προγόνους ἔχουσα λαμπρούς· μνηστευθεῖσα δὲ τῷ Βαλλεριανῷ, εἵλκυσεν αὐτὸν εἰς τὴν τοῦ Χριστοῦ πίστιν· αὐτὸς δὲ πάλιν Τιβούρτιον τὸν ἑαυτοῦ ἀδελφόν. Ἠθλησαν δὲ ἐπὶ Διοκλητιανοῦ τῷ 288 ἔτει.

Ἀπολυτίκιον, Ἦχος γ'.

Ἀπόστολοι ἅγιοι πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Δόξα, καὶ νῦν, τῆς Ἑορτῆς.

✻ 23. Τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν, Γρηγορίου ἐ-

ΑΝΟΙΚΤΗ ΒΙΒΛΙΟΘΗΚΗ
Ανοικτή Κυπριακή Βιβλιοθήκη Ληξουρίου - Μουσείο Παπάδων Ιακωβάτων

πισκόπου Ἀκραγαντίνων, καὶ Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου.

Ὁ μὲν Γρηγόριος ὑπῆρχεν ἐκ τῆς Ἀκράγαντος, πόλεως τῆς Σικελίας, υἱὸς γονέων εὐσεβῶν, Χαρίτωνος καὶ Θεοδότης· ἤκμασε δὲ ἐπὶ τῆς βασιλείας Ἰουστινιανοῦ τοῦ Ῥινοτμήτου, περὶ τὰ 685 — Ὁ δὲ Ἀμφιλόχιος ἦν Καππαδόκης τὸ γένος, ἀσκήσει καὶ θείᾳ γνώσει διαλάμπων ἐκ νεότητος. Προεχειρίσθη ἐπίσκοπος τῷ 344 ἔτει· ἠγωνίσατο γενναίως κατὰ τῆς βλασφημίας Εὐνομίου, Μακεδονίου τοῦ Πνευματομάχου, καὶ τῶν τοῦ Ἀρείου ὀπαδῶν· ἐπαρουσίασεν εἰς τὴν ἐν Κωνσταντινουπόλει Β'. Οἰκουμενικὴν Σύνοδον τῶν 150 Πατέρων, ἐπὶ Θεοδοσίου τοῦ Μεγάλου συγκροτηθεῖσαν, ἐν ἔτει 381. καὶ φθάσας εἰς γῆρας βαθύ, ἀνεπαύσατο ἐν εἰρήνῃ, περὶ τὰ 395.

Ἀπολυτίκιον, Ἦχος δ'.

Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν ὁ ποιῶν. Ὅρα σελ. 218.

Ἀπὸ γ'. Ὠδῆς Κοντάκ. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Φωτοβόλοις λάμψεσιν, ἡ Ἐκκλησία, τοῦ ἁγίου Πνεύματος, φωταγωγεῖ τοὺς τὴν φαιδρὰν, ἐπιτελοῦντάς σου κοίμησιν, ὅσιε Πάτερ παμμάκαρ Γρηγόριε.

Ἀφ' ἑκτης, Ἦχος α'. Χορὸς ἀγγελικός.

Ὡς λίαν ἐκλεκτὸς, τῷ Θεῷ ἐγνωσμένος, τῇ θείᾳ ἀληθῶς, προκεχείρισαι ψήφῳ, ποιμὴν ἀξιάγαστος, εἰς πολλῶν περιποίησιν· ὅθεν ἄριστος, ἀρχιερεὺς δεδειγμένος, πᾶσαν αἵρεσιν, εὐσεβοφρόνως καθεῖλες, πιστῶν προϊστάμενος.

✠ 24. Τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν καὶ Ἱερομαρτύρων, Κλήμεντος Ῥώμης, καὶ Πέτρου Ἀλεξανδρείας.

Ὁ μὲν Κλήμης ἐδιδάχθη τὴν πίστιν τοῦ Χριστοῦ ὑπὸ τοῦ Ἀπ. Πέτρου· ἐγένετο ἐπίσκοπος Ῥώμης τῷ 91 ἔτει, τρίτος μετὰ τὴν τῶν Ἀποστόλων ἀναίρεσιν· ἐτελεύτησε μαρτυρικῶς περὶ τὸ 100 ἔτος, ἐπὶ Τραϊανοῦ — Ὁ δὲ Πέτρος, ἐπιφανέστατα προεδρεύσας τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας 12 ἔτη, καὶ, διά τε τὸν ἐνάρετον αὐτοῦ βίον, καὶ τὴν τῶν ἱερῶν λόγων ἄσκησιν, θεῖόν τι χρῆμα ἐπισκόπων καὶ διδασκάλων τῆς ἐν Χριστῷ θεοσεβείας ὑπάρχων, κατὰ τὸν Εὐσέβιον (Ἱστορ. Ἐκκλ. βιβλ. ἡ. 13. καὶ θ'. 6.), ἀπετμήθη τὴν κεφαλὴν ἐπὶ Μαξιμίνου, τῷ 311 ἔτει.

Ἀπολυτίκιον. Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὡς ἀνωτέρω.

Κοντάκιον, Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἐκκλησίας ἄσειστοι, καὶ θεῖοι πύργοι, εὐσεβείας ἔνθεοι, στύλοι οἱ ὄντως κραταιοὶ, Κλήμη σὺν Πέτρῳ πανεύφημοι, ὑμῶν πρεσβείαις φρουρήσατε ἅπαντας.

ΔΗΜΟΣΙΕΥΤΟ ΒΙΒΛΙΟΘΗΚΗ

✠ 25. Τῆς ἁγίας Μεγαλομάρτυρος καὶ παν-σόφου Αἰκατερίνης· καὶ τοῦ ἁγίου Μάρτυρος Μερκουρίου.

Οὗτος ἤθλησεν ἐπὶ Οὐαλεριανοῦ τῷ 255 ἔτει, ἐξ Ἀνατολῶν καταγόμενος, υἱὸς Γορδιανοῦ τινος, Σκύθου τὸ γένος — Ἡ δὲ Αἰκατερίνα ὑπῆρχεν ἐκ τῆς Ἀλεξανδρείας, θυγάτηρ Κώνστου, ἢ Κέσου, παρθένος περικαλλὴς, σωφρονεστάτη, καὶ ἔνδοξος πλούτῳ καὶ γένει καὶ παιδείᾳ· ἥτις, διὰ μὲν τοῦ σταθεροῦ αὐτῆς φρονήματος, ἐξενίκησε τὴν ἐμπαθῆ καὶ ἀκόλαστον ψυχὴν Μαξιμίνα τοῦ τῆς Ἀλεξανδρείας τυράννου· διὰ δὲ τῆς εὐγλωττίας, ἐπεστόμισε τοὺς πρὸς αὐτὴν διαλεγομένους ῥήτορας. Ἐστέφθη δὲ τῷ μαρτυρικῷ στεφάνῳ περὶ τὸ 305 ἔτος.

Ἐν ταύτῃ τῇ ἡμέρᾳ ἀποδίδοται τῶν Εἰσοδίων ἡ Ἑορτή.

Ἀργία, καὶ Κατάλυσις οἴνου καὶ ἐλαίου.

Ἀπολυτίκιον τῆς Ἁγίας, Ἦχος δ'.

Ἡ ἀμνάς σου Ἰησοῦ, κράζει μεγάλη. Ὅρα σελ. 181.

Τοῦ Ἁγίου. Ὁ Μάρτυς σου Κύριε. Ὅρα σελ. 172.

Κοντάκιον τῆς Ἁγίας, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Χορείαν σεπτὴν, ἐνθέως φιλομάρτυρες, ἐγείρατε νῦν, γεραίροντες τὴν πάνσοφον Αἰκατερίναν· αὕτη γὰρ ἐν σταδίῳ τὸν Χριστὸν ἐκήρυξε, καὶ τὸν ὄφιν ἐπάτησε, ῥητόρων τὴν γνῶσιν καταπτύσασα.

Τοῦ Ἁγίου, ὅμοιον.

Τὰ θεῖα σοφὲ, καλῶς μυσαγωγούμενος, θυσία δεκτὴ, ἐγένου παναοίδιμε· τοῦ Χριστοῦ γὰρ ἔπιες, προθυμότατα τὸ ποτήριον· διὰ τοῦτο Μερκούριε, πρεσβεύεις ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

✠ 26. Τῶν ὁσίων Πατέρων ἡμῶν, Ἀλυπίου τοῦ Κιονίτου, καὶ Νίκωνος τοῦ Μετανοεῖτε.

Τούτων ὁ μὲν Ἀλύπιος ἦν ἐξ Ἀδριανουπόλεως τῆς Βιθυνίας· καὶ ζήσας ἐπί τινος κίονος (στύλου) ἔτη 53, ἐτελεύτησε περὶ τὰ 608, ὑπάρχων ἐτῶν 100 — Ὁ δὲ Νίκων κατήγετο ἐξ Ἀρμενίας, υἱὸς μεγιστάνου τινός. Καταλιπὼν δὲ τὴν γονεῖς καὶ πατρίδα, περιήρχετο τὰ ἀνατολικὰ μέρη, βοῶν πρὸς πάντας τὸ, Μετανοεῖτε, ἀφ' ὃ καὶ τὴν ἐπωνυμίαν ἔλαβε. Τέλος δὲ, καταντήσας εἰς Λακεδαίμονα τῆς Πελοποννήσου, καὶ ναὸν ἐκεῖ ἀνεγείρας Χριστῷ τῷ Σωτῆρι ἡμῶν, καὶ ἐν αὐτῷ μέχρι τέλους μονάσας, ἀπῆλθε πρὸς Κύριον περὶ τὰ τέλη τοῦ Θ'. αἰῶνος.

Ἀπολυτίκιον τοῦ Ἀλυπίου, Ἦχος α'.

Ὑπομονῆς στύλος γέγονας, ζηλώσας τοὺς προπάτορας ὅσιε· τὸν Ἰὼβ ἐν τοῖς πάθεσι, τὸν Ἰωσὴφ ἐν

ΜΟΔΙΣΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Αριστοτέλειο Πανεπιστήμιο Θεσσαλονίκης
Μονοτονικό Σύστημα

τοῖς πειρασμοῖς, καὶ τὴν τῶν Ἀσωμάτων πολιτείαν, ὑπάρχων ἐν σώματι. Ἀλύπιε Πατὴρ ἡμῶν ὅσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἕτερον τοῦ Νίκωνος, Ἦχος γ'. Θείας πίστεως.

Χαίρει ἔχουσα, ἡ Λακεδαίμων, θείαν λάρνακα, τῶν σῶν λειψάνων, ἀναβρύουσαν πηγὰς τῶν ἰάσεων, καὶ διασώζουσαν πάντας ἐκ θλίψεων, τοὺς σοὶ προστρέχοντας Πάτερ ἐκ πίστεως. Νίκων ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

✠ 27. Τοῦ ἁγίου Μεγαλομάρτυρος Ἰακώβου τοῦ Πέρσου.

Οὗτος ἦν ἐκ πόλεως Βυθλαβᾶ, περιφανὴς τὸ γένος, φίλος ἄκρος καὶ ἔντιμος παρὰ Ἰσδιγέρδῃ, ἢ Ἰεσδζεγίρδη Α'. τῶν Περσῶν βασιλεῖ, βασιλεύσαντι τῷ 399-420. Χριστιανὸς δὲ ὢν ἐκ προγόνων, ἠρνήσατο τὸν Χριστὸν, δελεασθεὶς τῇ τοῦ βασιλέως φιλίᾳ καὶ κολακείᾳ. Τοῦτο μαθοῦσα ἡ μήτηρ αὐτοῦ καὶ ἡ σύζυγος, ἐμήνυσαν αὐτῷ διὰ γραμμάτων, ὅτι οὐδεμίαν τοῦ λοιποῦ κοινωνίαν ἔχουσι πρὸς αὐτὸν, ὡς προτιμήσαντα τῆς ἀγάπης τοῦ Χριστοῦ τὴν πρόσκαιρον δόξαν. Ὁ δὲ πλυγεὶς τὴν ψυχὴν ὑπὸ τῶν λόγων τούτων, καὶ εἰς ἑαυτὸν ἐλθὼν, ἀπεκλαίετο ἐφ' οἷς ἥμαρτε, καὶ ἦν ἀποστρεφόμενος τὴν πρὸς τὸν βασιλέα σχέσιν. Διὸ εἰς ἄκρον ἐκεῖνος ὀργισθεὶς, ψηφίζει κατ' αὐτοῦ πικρότατον θάνατον, οἷον ὐδὲ κατὰ θηρίου τις ἐψηφίσατο ἄν, κατατμηθῆναι δηλονότι τὸ σῶμα αὐτοῦ, κατὰ μίαν ἑκάστην ἁρμονίαν τῶν χειρῶν καὶ τῶν ποδῶν. Καὶ οὕτω μεληδὸν ὁ γενναδας κατακοπεὶς μέχρι τῶν μηρῶν καὶ τῶν ὤμων, τελευταῖον ἀποτέμνεται καὶ τὴν κεφαλήν.

Ἀπολυτίκιον, Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ὁ Μάρτυς σε Κύριε, ἐν τῇ ἀθλήσει αὐτοῦ, τὸ στέφος ἐκομίσατο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· ἔχων γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλεν· ἔθραυσε καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση. Αὐτοῦ ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Πεισθεὶς τῇ καλῇ, συζύγῳ καρτερόψυχε, καὶ τὸ φοβερὸν Κριτήριον πτοούμενος, τῶν Περσῶν τὸ πρόσταγμα, ᾗ τὸν φόβον Ἰάκωβε κατέπτυσας, ᾗ ἐδείχθης Μάρτυς σεπτὸς, τὸ σῶμα ὡς κλῆμα συντεμνόμενος.

✠ 28. Τοῦ ἁγίου Ὁσιομάρτυρος Στεφάνου τοῦ Νέου καὶ τοῦ ἁγίου Μάρτυρος Εἰρηνάρχου.

ΔΗΜΟΣΙΕΥΣΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Λήξουρίου

Ὁ μὲν Ὅσιος ἐγεννήθη ἐν Κωνσταντινουπόλει τῷ 714, ἐκ γονέων εὐσεβῶν, Ἰωάννου καὶ Ἄννης· ἤσκησεν ἐκ νεότητος ἐν τῇ κατὰ τὴν Βιθυνίαν τοῦ ἁγίου Αὐξεντίου μονῇ, ἥτις κειμένη ἐπὶ τόπου ὑψηλοῦ, ἐκαλεῖτο: Βουνὸς τοῦ ἁγ. Αὐξ. ἐγένετο προεστὼς τῶν ἐν αὐτῇ μοναχῶν· ἠκούσθη πανταχοῦ τῶν πνευματικῶν αὐτοῦ ἀγώνων ἡ φήμη, καὶ τῶν ἀρετῶν αὐτοῦ ἡ εὐωδία ἔσυρε πολλοὺς πρὸς αὐτόν. Ἐτελεύτησε δὲ μαρτυρικῶς, διὰ τὴν τῶν ἁγίων Εἰκόνων προσκύνησιν, ἐπὶ Κωνσταντίνου τοῦ Κοπρωνύμου· ὑφ' οὗ πρῶτον μὲν κατεδικάσθη, ἔνδεκα μῆνας, εἰς δεσμὰ καὶ φυλακάς· εἶτα, συρόμενος κατὰ γῆς καὶ λιθαζόμενος, ὡς ὁ Πρωτομάρτυς Στέφανος, ἀφ' οὗ καὶ Νέος Στέφανος ἐπωνομάσθη, τύπτεται ξύλῳ κατὰ τοῦ μήνιγγος, καὶ συντριβεὶς τὴν κεφαλὴν, ἀφῆκε τὸ πνεῦμα, τῷ 766 ἔτει — Ὁ δὲ Εἰρήναρχος ἦν ἐκ Σεβαστείας, ἐν τοῖς χρόνοις Διοκλητιανοῦ, ὑπηρέτης ὑπάρχων ἐν τῇ νεότητι αὐτοῦ εἰς τὰς τιμωρίας τῶν ἁγίων Μαρτύρων. Βλέπων δέ ποτε βασανιζομένας ὑπὲρ Χριστοῦ ἑπτὰ γυναῖκας, καὶ τὴν ἀνδρίαν αὐτῶν θαυμάζων, ὅτι ἀσθενεῖς οὖσαι ἐκ φύσεως, ὅμως ἐνδρίζοντο κατὰ τοῦ τυράννου, καὶ κατῃσχύνον αὐτὸν, φωτίζεται ὑπὸ τῆς θείας χάριτος, καὶ τὸν Χριστὸν παῤῥησίᾳ ὁμολογήσας, καὶ διὰ πυρὸς καὶ ὕδατος δοκιμασθεὶς, ἀπετμήθη τὴν κεφαλὴν μετὰ τῶν ἁγίων Γυναικῶν, τῷ 298 ἔτει.

Ἀπολυτίκ. Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἀσκητικῶς προγυμνασθεὶς ἐν τῷ ὄρει, τὰς νοητὰς τῶν δυσμενῶν παραπάξεις, τῇ πανοπλίᾳ ὤλεσας παιμμάκαρ τοῦ Σταυροῦ. Αὖθις δὲ πρὸς ἄθλησιν, ἀνδρικῶς ἀπεδύσω, κτείνας τὸν Κοπρώνυμον, τῷ τῆς πίστεως ξίφει· καὶ δι' ἀμφοῖν ἐστέφθης ἐκ Θεοῦ, Ὁσιομάρτυς ἀοίδιμε Στέφανε.

Τοῦ Μάρτυρος. Ὁ Μάρτυς σου Κύριε, ὡς ἀνωτέρω.

Κοντάκιον, Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Τὸν τῆς Τριάδος ἐραστὴν καὶ θεῖον Στέφανον, ἀνευφημήσωμεν πιστῶς ᾠδαῖς φιλέορτοι, ἐκ καρδίας, ὡς τιμήσαντα χαρακτῆρα, τὸν ὡραῖον τοῦ Δεσπότου καὶ Μητρὸς αὐτοῦ· καὶ συμφώνως νῦν ἐκ πόθου ἐκβοήσωμεν, τούτῳ χαίροντες: Χαίροις Πάτερ ἀοίδιμε.

✠ 29. Τῶν ἁγίων Μαρτύρων Παραμόνου, καὶ Φιλουμένου.

Τοῦ μὲν Παραμόνου ἀθλήσαντος ἐπὶ Δεκίου βασιλέως, ἐν ἔτει 250. τοῦ δὲ Φιλουμένου, ἐπὶ βασιλέως Αὐρηλιανοῦ, τῷ 270.

Εἰ ἐκ ἔστιν Ἀλληλούϊα, Οἱ Μάρτυρές σου Κύριε. Σελ. 208.

✠ 30. Τοῦ ἁγίου ἐνδόξου καὶ πανευφήμου Ἀποστόλου Ἀνδρέου τοῦ Πρωτοκλήτου.

Ἀπόστολος Κεντρική Βιβλιοθήκη Δημοσίευσης
Μουσείο Τυπάδων Ιακωβιτών

Οὗτος ἦν ἐκ Βηθσαϊδὰ τῆς Γαλιλαίας, υἱὸς Ἰωνᾶ, ἀδελφὸς τοῦ Κορυφαίου Πέτρου, μαθητὴς Ἰωάννου τοῦ Βαπτιστοῦ πρότερον· εἶτα, ἀκούσας τὴν περὶ τοῦ Ἰησοῦ μαρτυρίαν αὐτοῦ, δακτυλοδεικτοῦντος καὶ λέγοντος: Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου (Ἰωάν. α. 36.), ἠκολούθησεν εὐθὺς τῷ Ἰησοῦ, καὶ ἐγένετο μαθητὴς αὐτοῦ πρῶτος, ἀφ' οὗ καὶ Πρωτόκλητος τῶν Ἀποστόλων ἐπωνομάσθη. Μετὰ δὲ τὴν τοῦ Σωτῆρος Ἀνάληψιν, κηρύξας αὐτὸν εἰς διάφορα μέρη, καὶ πολλὰ παθὼν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ, ἐτελεύτησεν ἐν Πάτραις τῆς Ἀχαΐας, σταυρωθεὶς κατακεφαλῆς.

Ἀργία, καὶ Κατάλυσις οἴνου καὶ ἐλαίου.

Ἀπολυτίκιον, Ἦχος δ'.

Ὡς τῶν Ἀποστόλων Πρωτόκλητος, καὶ τοῦ Κορυφαίου αὐτάδελφος, τῷ Δεσπότῃ τῶν ὅλων Ἀνδρέα ἱκέτευε, εἰρήνην τῇ οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Κοντάκ. Ἦχος β'. Τὴν ἐν πρεσβείαις ἀκοίμητον.

Τὸν τῆς ἀνδρείας ἐπώνυμον θεηγόρον, καὶ μαθητῶν τὸν Πρωτόκλητον τοῦ Σωτῆρος, Πέτρου τὸν σύγγονον εὐφημήσωμεν· ὅτι ὡς πάλαι τοῦτο, καὶ νῦν ἡμῖν ἐκήρυξεν: Εὑρήκαμεν δεῦτε τὸν ποθούμενον.

## ΜΗΝ ΔΕΚΕΜΒΡΙΟΣ.

Ἔχων ἡμέρας 31. Ἡ ἡμέρα ἔχει ὥρας 9, καὶ ἡ νὺξ ὥρας 15.

✠ 1. Τοῦ ἁγίου Προφήτου Ναούμ.

Εἰ οὐκ ἔστιν Ἀλληλούϊα, Ἀπολυτίκιον, Ἦχος β'.

Τῷ Προφήτου σε Ναοὺμ τὴν μνήμην Κύριε ἑορτάζοντες, δι' αὐτοῦ σε δυσωποῦμεν: Σῶσον τὰς ψυχὰς ἡμῶν.

✠ 2. Τοῦ ἁγίου Προφήτου Ἀββακούμ. Ὁμοίως.

✠ 3. Τοῦ ἁγίου Προφήτου Σοφονίου. Ὡσαύτως.

Καὶ οἱ τρεῖς οὗτοι Προφῆται ἐκ τοῦ ἀριθμοῦ τῶν ιβ'. Ἐλασσόνων ὑπάρχουσι, καὶ ἑκάστου ἡ προφητεία εἰς 3 διαιρεῖται κεφάλαια. Ἦσαν δὲ ὁ μὲν Ναούμ, Ἐλκεσαῖος τὴν πατρίδα, ἐκ φυλῆς Συμεών, ἑβδομος τῇ τάξει· προεφήτευσεν ἐν τοῖς χρόνοις Ἐζεκίου, μετὰ τὴν τῆς Σαμαρείας καταστροφήν, τῷ ηϡι πρὸ Χριστοῦ γενομένην. Ὁ δὲ Ἀββακούμ, ὅστις καὶ Ἀβακοὺμ καὶ Ἀμβακοὺμ εὑρίσκεται γεγραμ-

μένος, τῇ μὲν τάξει ἐστὶν ὄγδοος, ἡ δὲ πατρὶς καὶ ἡ φυλὴ αὐτοῦ ἄδηλος παρὰ τῇ θείᾳ Γραφῇ· προεφήτευσεν ἐν τοῖς χρόνοις Ἰωαχὶμ, τοῦ καὶ Ἰεχονίου καλουμένου, πρὶν τῆς εἰς Βαβυλῶνα μετοικεσίας τοῦ λαοῦ, τῷ 599 πρὸ Χριστοῦ γενομένης. Τοῦ Ἀββακοὺμ τούτου ἐστὶν ἡ Δ'. τῆς Στιχολογίας Ὠδή: Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην, κ. τ. λ. Ὁ δὲ Σοφονίας, ἔννατος ὑπάρχων τῇ τάξει, ἦν υἱὸς Χουσὶ, ἐκ γένους Λευϊτικοῦ, ἢ, κατ' ἄλλους, δισέγγονος Ἐζεκίου τοῦ βασιλέως· προεφήτευσεν ἐν ἡμέραις Ἰωσίου, βασιλεύσαντος τῷ 641-610 πρὸ Χριστοῦ.

✠ 4. Τῆς ἁγίας Μεγαλομάρτυρος Βαρβάρας· καὶ τοῦ ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Ἡ μὲν Βαρβάρα ὑπῆρχεν ἐκ Νικομηδείας, ἐν τοῖς χρόνοις Μαξιμιανοῦ, θυγάτηρ εἰδωλολάτρου τινὸς Διοσκόρου τὸ ὄνομα, ὅστις ἀπανθρώπως βασανίσας αὐτὴν διὰ τὴν τοῦ Χριστοῦ πίστιν, τελευταῖον ἀπεκεφάλισεν ἰδίαις χερσὶ, τῷ 290 ἔτει.

Ὁ δὲ Ἰωάννης ἦν ἐκ Δαμασκοῦ τῆς Συρίας, υἱὸς γονέων πλουσίων καὶ εὐσεβῶν. Ἐγεννήθη περὶ τὸ 676 ἔτος· συναπετράφη μετὰ τοῦ Κοσμᾶ, τοῦ ὑπὸ τοῦ πατρὸς αὐτοῦ, Σεργίου τὸ ὄνομα, υἱοθετηθέντος (Ὀκτωβ. 14), καὶ μετ' αὐτοῦ ἐμαθήτευσε παρά τινι μοναχῷ, Κοσμᾷ καὶ αὐτῷ καλουμένῳ, αἰχμαλωτισθέντι μὲν ὑπὸ τῶν Σαρακηνῶν ἐκ τῶν μερῶν τῆς Ἰταλίας, ἐξαγορασθέντι δὲ ὑπὸ τοῦ πατρὸς αὐτοῦ. Ἐγένετο φιλόσοφος μέγας, καὶ τοῦ κατ' αὐτὸν αἰῶνος ὁ Φωστήρ. Τιμηθεὶς ὑπὸ τῶν Καλίφων (διαδόχων τοῦ Μωάμεθ) εἰς τὸ τοῦ Συμβούλου ἀξίωμα, κατέλιπεν αὐτὸ μετ' ὀλίγον, καὶ ἐνεδύσατο τὸ μοναχικὸν σχῆμα ἐν τῇ τοῦ ἁγίου Σάββα μονῇ, ἔνθα καὶ πρεσβύτερος ἐχειροτονήθη. Ἠγωνίσατο ἀνδρικῶς διὰ τῶν συγγραμμάτων αὐτοῦ, κατὰ τῶν Εἰκονομάχων Λέοντος τοῦ Ἰσαύρου, καὶ τοῦ υἱοῦ αὐτοῦ Κωνσταντίνου τοῦ Κοπρωνύμου. Ἐπωνομάσθη Χρυσορρόας, διὰ τὴν τῶν λόγων αὐτῶν ῥητορείαν καὶ εὐφράδειαν, καθ' ὁμωνυμίαν τοῦ τῇ Δαμασκῷ παραῤῥέοντος ποταμοῦ, Χρυσορρόα καὶ αὐτοῦ καλουμένου. Ὑπῆρξεν ὁ ἀρχηγὸς τῆς Συστηματικῆς Θεολογίας, καὶ τῆς Σχολαστικῆς ὁ πατὴρ, ἐκθέμενος ἀκριβῶς τὴν ὀρθόδοξον πίστιν· καὶ ζήσας τὰ πάντα ἔτη 84, ἐτελεύτησεν ἐν εἰρήνῃ τῷ 760 ἔτει. Μεταξὺ τῶν Θεολογικῶν αὐτοῦ συγγραμμάτων, οἱ ποιητικοὶ καὶ πεζοὶ αὐτοῦ Ὕμνοι, καὶ τὰ μελίῤῥυτα Ἄσματα, κοσμοῦσι τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ.

Κατάλυσις οἴνου καὶ ἐλαίου, Ἀπολυτ. Ἦχος δ'.

Βαρβάραν τὴν ἁγίαν τιμήσωμεν· ἐχθρὸς γὰρ τὰς παγίδας συνέτριψε, καὶ ὡς στρουθίον ἐρρύσθη ἐξ αὐτῶν, βοηθείᾳ καὶ ὅπλῳ τοῦ Σταυροῦ ἡ πάνσεμνος.

Τοῦ Ὁσίου, Ἦχος πλ. δ'.

Ὀρθοδοξίας ὁδήγε, εὐσεβείας διδάσκαλε καὶ σεμνότητος, τῆς οἰκουμένης ὁ φωστὴρ, τῶν μοναζόντων

Ψηφιοποίηση: Ινστιτούτο Εκπαιδευτικής Πολιτικής
Δημόσια Κεντρική Βιβλιοθήκη Λήξουρίου - Μουσείο Τυπολογίων Κεφαλληνίας

θεόπνευστον ἐγκαλλώπισμα, Ἰωάννη σοφέ, ταῖς διδαχαῖς σου πάντας ἐφώτισας, λύρα τῶ Πνεύματος. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντ. τῆς Ἁγ. Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῷ ἐν Τριάδι εὐσεβῶς ὑμνουμένῳ, ἀκολουθήσασα σεμνὴ Ἀθληφόρε, τὰ τῶν εἰδώλων ἔλιπες σεβάσματα· μέσον δὲ τοῦ σκάμματος, ἐναθλοῦσα Βαρβάρα, τυράννων οὐ κατέπτηξας, ἀπειλὰς ἀνδρειόφρον, μεγαλοφώνως κράζουσα σεμνή: Τριάδα σέβω τὴν μίαν Θεότητα.

Τοῦ Ὁσίου, ὅμοιον.

Τὸν ὑμνογράφον καὶ σεπτὸν Ἰωάννην, τῆς Ἐκκλησίας παιδευτὴν καὶ φωστῆρα, καὶ τῶν ἐχθρῶν ἀντίπαλον, ὑμνήσωμεν πιστοί· ὅπλον γὰρ ἁράμενος τὸν Σταυρὸν τοῦ Κυρίου, πᾶσαν ἀπεκρούσατο τῶν αἱρέσεων πλάνην· καὶ ὡς θερμὸς προστάτης εἰς Θεὸν, πᾶσι παρέχει πταισμάτων συγχώρησιν.

✠ 5. Τοῦ ὁσίου καὶ θεοφόρου Πατρὸς ἡμῶν Σάββα τοῦ Ἡγιασμένου.

Ἐγεννήθη τῷ 439 ἔτει ἐν Μουταλάσκῃ, κώμῃ τῆς Καππαδοκίας μικρᾷ· εἰσῆλθε παιδιόθεν εἰς τὸν μοναδικὸν βίον τὸ στάδιον, ὑπὸ γυμνασιάρχῃ Εὐθυμίῳ τῷ Μεγάλῳ· ἐγένετο προστάτης πολλῶν μοναχῶν, καὶ καθηγητὴς τῶν ἐν Παλαιστίνῃ μοναστηρίων· ἀπῆλθε πρέσβυς πρὸς τοὺς ἐν Κωνσταντινουπόλει βασιλεῖς, Ἀναστάσιον καὶ Ἰουστινιανὸν, ὑπὲρ τῆς ὀρθοδόξου πίστεως, καὶ τῶν δογμάτων τῆς ἐν Χαλκηδόνι Συνόδου· καὶ ζήσας ἔτη 94, ἐτελεύτησε τῷ 533. Τὸ σωζόμενον Τυπικὸν τῆς ἐκκλησιαστικῆς Ἀκολουθίας ἐκ τῆς μονῆς τοῦ Ὁσίου τούτου ἔλαβε τὴν ἀρχήν.

Ἀργία, καὶ Κατάλυσις οἴνου καὶ ἐλαίου.

Ἀπολυτίκιον, Ἦχος πλ. δ'.

Ταῖς τῶν δακρύων σου ῥοαῖς, τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας· καὶ τοῖς ἐκ βάθους στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας· καὶ γέγονας φωστὴρ, τῇ οἰκουμένῃ λάμπων τοῖς θαύμασι, Σάββα Πατὴρ ἡμῶν ὅσιε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Ὡς ἀπὸ βρέφους τῷ Θεῷ, θυσία ἄμωμος, προσενεχθεὶς δι' ἀρετῆς Σάββα μακάριε, τῷ σὲ πρὶν γεν-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Βιβλιοθήκη Ελευσίνας - Μουσείο Τσίρκα Ελευσίνας

νηθῆναι ἐπισταμένῳ, ἐχρημάτισας Ὁσίων ἐγκαλλώπισμα, πολιστής τε τῆς ἐρήμου ἀξιέπαινος· διὸ κράζω σοι: Χαίροις Πάτερ ἀοίδιμε.

✠ 6. Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Νικολάου, ἐπισκόπου Μύρων τῆς Λυκίας, τοῦ Θαυματουργοῦ.

Ἤκμασεν ἐπὶ Κωνσταντίνου τοῦ Μεγάλου· ὑπῆρξεν εἷς τῶν 318 ἁγίων Πατέρων τῆς ἐν Νικαίᾳ Α'. Οἰκουμενικῆς Συνόδου, ἐν ἔτει 325. ἀπέθανε περὶ τὰ 330.

Ἀργία, καὶ Κατάλυσις οἴνου καὶ ἐλαίου.

Ἀπολυτίκιον, Ἦχος δ'.

Κανόνα πίστεως, καὶ εἰκόνα πραότητος, ἐγκρατείας διδάσκαλον, ἀνέδειξέ σε τῇ ποίμνῃ σου ἡ τῶν πραγμάτων ἀλήθεια· διὰ τοῦτο ἐκτήσω τῇ ταπεινώσει τὰ ὑψηλά, τῇ πτωχείᾳ τὰ πλούσια. Πάτερ Ἱεράρχα Νικόλαε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Ἐν τοῖς Μύροις Ἅγιε, ἱερουργὸς ἀνεδείχθης· τοῦ Χριστοῦ γὰρ ὅσιε, τὸ Εὐαγγέλιον πληρώσας, ἔθηκας τὴν ψυχήν σου ὑπὲρ λαοῦ σου, ἔσωσας τοὺς ἀθώους ἐκ τοῦ θανάτου· διὰ τοῦτο ἡγιάσθης, ὡς μέγας μύστης Θεοῦ τῆς χάριτος.

✠ 7. Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἀμβροσίου, ἐπισκόπου Μεδιολάνων.

Ἐγεννήθη ἐν Γαλλίᾳ τῷ 340. ἐγένετο Βουλευτὴς τῆς ἐν Ῥώμῃ Συγκλήτου· εἶτα τῷ 374, τῇ 7 Δεκεμβρίου, ἀνεβιβάσθη εἰς τὸν ἐπισκοπικὸν θρόνον· συνέγραψε Λατινιστὶ πολλά· καὶ ζήσας ἔτη 57, ἀπέθανε τῇ 4 Ἀπριλίου, παραμονῇ τοῦ Πάσχα, ἐν ἔτει 397.

Ἀπολυτίκιον, Ἦχος δ'.

Κανόνα πίστεως, καὶ εἰκόνα πραότητος. Ὅρα ἀνωτέρω.

✠ 8. Τοῦ ὁσίου Πατρὸς ἡμῶν Παταπίου.

Ὑπῆρχεν ἐκ Θηβῶν τῆς Αἰγύπτου· ἠσκήσεν ἔτη πολλὰ ἐν τῇ ἐρήμῳ· ἀπελθὼν εἰς Κωνσταντινούπολιν, ἐτέλεσε θαύματα καὶ ἰάσεις τῶν ἀσθενούντων πολλάς· ἐτελεύτησεν ἐν εἰρήνῃ.

Ἀπολυτίκιον, Ἦχος πλ. δ'.

Ἐν σοὶ Πάτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα· λαβὼν γὰρ τὸν σταυρόν, ἠκολούθησας τῷ Χριστῷ,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

καὶ πράττων ἐδίδαξκες, ὑπερορᾶν μὲν σαρκὸς, παρέρχεται γάρ· ἐπιμελεῖσθαι δὲ ψυχῆς, πράγματος ἀθανάτου· διὸ καὶ μετὰ Ἀγγέλων συναγάλλεται, ὅσιε Πατάπιε τὸ πνεῦμά σου.

Κοντάκιον, Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Τὸν ναόν σου Ἅγιε, πνευματικὸν ἰατρεῖον, οἱ λαοὶ εὐράμενοι, μετὰ σπουδῆς προσιόντες, ἴασιν τῶν νοσημάτων λαβεῖν αἰτοῦνται, λύσιν τε τῶν ἐν τῷ βίῳ πλημμελημάτων· σὺ γὰρ πάντων τῶν ἐν ἀνάγκαις, προστάτης ὤφθης, Πατάπιε ὅσιε.

Ἡ ΣΥΛΛΗΨΙΣ ϯ ΑΓΙΑΣ ΑΝΝΗΣ ϯ ΜΡΣ ϯ ΘΚΥ·



✠ 9. Ἡ Σύλληψις τῆς ἁγίας καὶ Θεοπρομήτορος Ἄννης.

Κατὰ τὴν ἀρχαίαν τῆς Ἐκκλησίας παράδοσιν, ἄτεκνος ἦν καὶ στεῖρα ἡ Θεοπρομήτωρ Ἄννα, καὶ προβεβηκυῖα τὴν ἡλικίαν, αὐτή τε καὶ ὁ σύζυγος αὐτῆς Ἰωακείμ· διὸ καὶ λυπούμενοι διὰ τὴν ἑαυτῶν ἀτεκνίαν, εὐήουτο τοῦ Θεοῦ μεθ' ὑποσχέσεως, ἵνα, ἐὰν παράσχῃ αὐτοῖς καρπὸν κοιλίας, προσενέγκωσιν αὐτῷ δῶρον τὸ γεννηθέν. Ὁ δὲ Θεὸς ἐπακούσας τῆς δεήσεως αὐτῶν, ἐμήνυσεν αὐτοῖς δι' Ἀγγέλου τὴν ἐξ αὐτῶν τῆς Παρθένου γέννησιν· καὶ οὕτω συλλαβοῦσα ἡ Ἄννα ἐκ θείας ἐπαγγελίας, κατὰ τοὺς νόμους τῆς φύσεως, ἠξιώθη γενέσθαι μήτηρ τῆς Μητρὸς τοῦ Κυρίου ἡμῶν. (Ὅρα καὶ εἰς τὰς 8 Σεπτεμβρίου).

Σημείωσαι, ὅτι ἐκ ταύτης τῆς ἡμέρας, καθ' ἣν γίνεται τὰ χειμερινὰ ἡλιοστάσιον, ἄρχεται ὁ Ἥλιος στρέφεσθαι πρὸς τὰ βόρεια μέρη, καὶ αὐξάνειν τὴν ἡμέραν εἰς ἡμᾶς.

Ἀργία, καὶ Κατάλυσις οἴνου καὶ ἐλαίου.

Ἀπολυτίκιον, Ἦχος δ'.

Σήμερον τῆς ἀτεκνίας δεσμὰ διαλύονται· τὸ Ἰσαακεῖμ γὰρ καὶ τῆς Ἄννης εἰσακούων Θεὸς, παρ' ἐλπίδα τεκεῖν αὐτοὺς, σαφῶς ὑπισχνεῖται Θεοπαίδα· ἐξ ἧς αὐτὸς ἐτέχθη ὁ ἀπερίγραπτος, βροτὸς γεγονὼς, δι' Ἀγγέλου κελεύστας βοῆσαι αὐτῇ· Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

Κοντάκιον, Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἑορτάζει σήμερον ἡ οἰκουμένη, τὴν τῆς Ἄννης Σύλληψιν, γεγενημένην ἐκ Θεοῦ· καὶ γὰρ αὐτὴ ἀπεκύησε, τὴν ὑπὲρ λόγον τὸν Λόγον κυήσασαν.

✠ 10. Τῶν ἁγίων Μαρτύρων Μηνᾶ τοῦ Καλλικελάδου, Ἑρμογένους, καὶ Εὐγράφου.

Ὁ μὲν Μηνᾶς ἦν Ἀθηναῖος τὴν πατρίδα, κατὰ τὸν Συναξαριστὴν, ἀνὴρ ἀξιωματικὸς, πεπαιδευμένος καὶ εὐγλωττος, ἀφ' οὗ καὶ Καλλικέλαδος ἐπωνομάσθη. Ὁ δὲ Εὔγραφος γραμματεὺς αὐτοῦ, Χριστιανοὶ ἐκ προγόνων ἀμφότεροι. Ὁ δὲ Ἑρμογένης, ἔπαρχος τὸ ἀξίωμα, γεννηθεὶς ἐν ἀπιστίᾳ, προσῆλθεν εἰς τὴν πίστιν τοῦ Χριστοῦ, διὰ τῶν τοῦ ἁγίου Μηνᾶ θαυμάτων. Ἠθλησαν δὲ καὶ οἱ τρεῖς ἐν Ἀλεξανδρείᾳ ἐπὶ Μαξιμίου, τῷ 235 ἔτει.

Ἀπολυτίκιον, Ἦχος πλ. δ'. Τὸ προσταχθέν.

Διὶ ἐγκρατείας τῶν παθῶν τὰς πυριφλέκτους, ἀποσβεσάντες ὁρμὰς καὶ τὰς κινήσεις, τοῦ Χριστοῦ οἱ Μάρτυρες ἔλαβον τὴν χάριν, τὰς νόσους ἀποδιώκειν τῶν ἀσθενῶν, καὶ ζῶντες καὶ μετὰ τέλος θαυματουργεῖν· ὄντως θαῦμα παράδοξον! ὅτι ὀστέα γυμνὰ, ἐκβλύζουσιν ἰάματα. Δόξα τῷ μόνῳ Θεῷ ἡμῶν.

Κοντάκιον, Ἦχος ά. Χορὸς ἀγγελικός.

Μηνᾶν τὸν θαυμαστὸν, Ἑρμογένην τὸν θεῖον, καὶ Εὔγραφον ὁμοῦ, ἱεραῖς μελῳδίαις, τιμήσωμεν ἅπαντες, ὡς τιμήσαντας Κύριον, καὶ ἀθλήσαντας, ὑπὲρ αὐτοῦ καὶ χορείαν, τὴν ἀσώματον, ἐν οὐρανοῖς πεφθακότας, καὶ θαύματα βλύζοντας.

Ἕτερον, Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Τῆς στρατείας ἥρπασε, σὲ τῆς προσκαίρου, καὶ ἀφθάρτου ἔδειξε, συγκληρονόμον ὦ Μηνᾶ, σὺν τοῖς

ΑΘΗΝΑ Ψηφιακή Βιβλιοθήκη
Ακαδημία Κεντρική Βιβλιοθήκη Λεξουρίου - Μουσείο Τυπολογίας Ιακωβάτων

συνάθλοις σου Κύριος, ὁ παρασχών σοι τὸν ἄφθαρτον στέφανον.

✠ 11. Τοῦ ὁσίου Πατρὸς ἡμῶν Δανιὴλ τοῦ Στυλίτου.

Ὑπῆρχεν ἐκ Μαρουθὰ τῆς Μεσοποταμίας, ἐπὶ τῶν βασιλέων Λέοντος τοῦ Μεγάλου, Ζήνωνος, καὶ Βατιλίσκου· ἔζησεν ἐπὶ στύλου, ἐγγὺς τῆς Κωνσταντινουπόλεως· ἐβοήθησε τῇ Ἐκκλησίᾳ, πολεμουμένῃ ὑπὸ τῶν Εὐτυχιανῶν· ἀπέθανε τῷ 490, ἐτῶν 80.

Ἀπολυτίκιον, Ἦχος ά.

Ὑπομονῆς στύλος γέγονας, ζηλώσας τοὺς προπάτορας ὅσιε· τὸν Ἰὼβ ἐν τοῖς πάθεσι, τὸν Ἰωσὴφ ἐν τοῖς πειρασμοῖς, καὶ τὴν τῶν Ἀσωμάτων πολιτείαν, ὑπάρχων ἐν σώματι. Δανιὴλ Πατὴρ ἡμῶν ὅσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τὰ ἄνω ποθῶν, τῶν κάτω μεθιστάμενος, καὶ ἄλλον οὐρανὸν, τὸν Στύλον τεκτηνάμενος, δι' αὐτοῦ ἀπήστραψας, τῶν θαυμάτων τὴν αἴγλην Ὅσιε. Εἰς ἀεὶ Χριστῷ τῷ Θεῷ πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ΕΙΔΗΣΙΣ.

Κατὰ τὴν αὐτὴν ἑνδεκάτην τοῦ παρόντος, εἰ τύχοι ἐν Κυριακῇ, ἢ τῇ πρώτῃ μετ' αὐτὴν ἐρχομένῃ, διὰ τὸ ἐγγίζειν τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ Γέννησιν, μνείαν ποιούμεθα τῶν πρὸ νόμου, καὶ ἐν νόμῳ κατὰ σάρκα Προπατόρων αὐτοῦ· ἐξαιρέτως δὲ τοῦ Πατριάρχου Ἀβραὰμ, εἰς ὃν πρῶτον ἐδόθη ἡ ἐπαγγελία, εἰπόντος τοῦ Θεοῦ πρὸς αὐτόν: Ἐνευλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη τῆς γῆς (Γεν. ιβ'. 3. καὶ κβ'. 18).

Ἐδόθη δὲ ἡ ἐπαγγελία αὕτη, 2039 ἔτη πρὸ Χριστοῦ, ὅτε ὁ μὲν Ἀβραὰμ ἦν ἐτῶν 75. ὁ δὲ Θεὸς, καλέσας αὐτὸν, προσέταξεν ἵνα ἐγκαταλίπῃ πατρίδα, γονεῖς, καὶ συγγενεῖς, καὶ ἀπέλθῃ εἰς τὴν γῆν τῶν Χαναναίων, εἰς ἣν ὅταν ἔφθασεν, εἶπεν ὁ Θεὸς πρὸς αὐτόν: Τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην (αὐτ. 7)· διὰ τοῦτο ἡ γῆ ἐκείνη, ἐπονομασθεῖσα: Γῆ τῆς Ἐπαγγελίας, ἐγένετο ἔπειτα τῶν Ἑβραίων ἡ πατρὶς, ἥτις ἐστὶν ἡ ὑπὸ τῶν ἱστορικῶν καλουμένη Παλαιστίνη. Ἐκεῖ ὁ Ἀβραὰμ, μετὰ παρέλευσιν ἐτῶν 24, διετάχθη παρὰ Θεοῦ τῆς Περιτομῆς τὸν νόμον· τὸ δὲ ἑκατοστὸν ἔτος

τῆς ἡλικίας αὐτοῦ, καὶ ἐννενηκοστὸν τῆς γυναικὸς αὐτοῦ Σάρρας, ἐγέννησε τὸν Ἰσαάκ· καὶ ζήσας τὰ πάντα ἔτη 175, ἐτελεύτησεν ἐν εἰρήνῃ, πρεσβύτης καὶ πλήρης ἡμερῶν.

## ✠ Κυριακὴ τῶν ἁγίων Προπατόων ✠

### Ἀπολ. Ἀναστάσιμον· καὶ τῶν Προπατόρων, Ἦχος β΄.

Ἐν πίστει τοὺς Προπάτορας ἐδικαίωσας τὴν ἐξ ἐθνῶν δι' αὐτῶν προμνηςευσάμενος Ἐκκλησίαν. Καυχῶνται ἐν δόξῃ οἱ Ἅγιοι, ὅτι ἐκ σπέρματος αὐτῶν, ὑπάρχει καρπὸς εὐκλεὴς, ἡ ἀσπόρως τεκοῦσά σε. Ταῖς αὐτῶν ἱκεσίαις Χριστὲ ὁ Θεὸς, ἐλέησον ἡμᾶς.

### Ἀπὸ γ΄. Ὠδῆς, ἡ Ὑπακοὴ, Ἦχος β΄.

Εἰς δρόσον τοῖς Παισὶ τὸ πῦρ μετεβάλλετο, ὁ θρῆνος εἰς χαρὰν ταῖς Γυναιξὶν ἐνηλλάσσετο· Ἄγγελος γὰρ ἐν ἀμφοτέροις διηκόνει τοῖς θαύμασι, τοῖς μὲν εἰς ἀνάπαυσιν μεταποιήσας τὴν κάμινον, ταῖς δὲ τὴν Ἀνάστασιν καταμηνύσας τριήμερον. Ὁ ἀρχηγὸς τῆς ζωῆς ἡμῶν, Κύριε δόξα σοι.

### Κοντάκιον, Ἦχος β΄. Αὐτόμελον.

Χειρόγραφον εἰκόνα μὴ σεβαστθέντες, ἀλλ' ἀγράφῳ οὐσίᾳ θωρακισθέντες, τρισμακάριοι ἐν τῷ σκάμματι τοῦ πυρὸς ἐδοξάσθητε· ἐν μέσῳ δὲ φλογὸς ἀνυποστάτου ἱστάμενοι, Θεὸν ἐπεκαλεῖσθε· Τάχυνον, ὦ οἰκτίρμον, καὶ σπεῦσον ὡς ἐλεήμων, εἰς τὴν βοήθειαν ἡμῶν, ὅτι δύνασαι βουλόμενος.

## ✠ 12. Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Σπυρίδωνος, ἐπισκόπου Τριμυθοῦντος τῆς ἐν Κύπρῳ, τοῦ Θαυματουργοῦ.

Ὁ θεοφόρος οὗτος τῆς Ἐκκλησίας Πατὴρ, ὁ μέγας τῶν Κερκυραίων προστάτης, καὶ τῶν ὀρθοδόξων ἁπάντων τὸ καύχημα, ἦν Κύπριος τὴν πατρίδα, ἁπλοῦς τὸν τρόπον, καὶ τὴν καρδίαν ταπεινὸς, ποιμὴν προβάτων ὑπάρχων πρότερον· ὅτε καὶ γυναικὶ συζευχθεὶς, ἐγέννησεν ἐξ αὐτῆς θυγάτριον, τὴν κλῆσιν Εἰρήνην. Μετὰ δὲ τὴν ἐκείνης ἀποβίωσιν, προχειρισθεὶς ἐπίσκοπος Τριμυθοῦντος, ἐγένετο καὶ λογικῶν προβάτων ποιμήν. Συγκροτηθείσης τῆς ἐν Νικαίᾳ Α΄. Οἰκουμενικῆς Συνόδου, παρουσιάσας ἐν αὐτῇ καὶ αὐτὸς, ἐπεστόμισε διὰ τῶν ἁπλουστάτων αὐτοῦ λόγων τοὺς ἐπὶ σοφίᾳ μέγα φρονοῦντας Ἀρειανούς. Ἐτέλεσε διὰ τῆς ἐνοικούσης αὐτῷ θείας χάριτος τοσαῦτα θαύματα, ὥστε ἔλαβε τὴν ἐπωνυμίαν Θαυματουργός. Ποιμαίνας

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

δὲ τὸ ποίμνιον αὐτοῦ εὐσεβῶς καὶ θεαρέστως, ἀνεπαύσατο ἐν Κυρίῳ περὶ τὸ 350 ἔτος, καταλιπὼν ἐν τῇ οἰκείᾳ πατρίδι τὸ ἱερὸν αὐτοῦ λείψανον, παραμύθιον τῶν πιστῶν, καὶ πηγὴν ἰαμάτων.

Περὶ δὲ τὰ μέσα τοῦ Ζ'. αἰῶνος, διὰ τὰς τότε τῶν Βαρβάρων ἐπιδρομὰς, μετεκομίσθη εἰς Κωνσταντινούπολιν, ὅπου διέμεινε τιμώμενον καὶ ὑπ' αὐτῶν τῶν Βασιλέων. Πρὸ δὲ τῆς ἁλώσεως αὐτῆς, γενομένης τῷ 1453 ἔτει, τῇ 29 Μαΐου, ἱερεύτις, τὴν κλῆσιν Γεώργιος, τὴν ἐπωνυμίαν Καλοχαιρέτης, ἐφημέριος ἐν τῷ ναῷ, ἔνθα τὸ ἱερὸν τοῦτο κατέκειτο λείψανον, ὁμοῦ καὶ τὸ τῆς ἁγίας Θεοδώρας τῆς Αὐγούστης, λαβὼν αὐτὰ, διὰ τὸν ἐπικείμενον κίνδυνον, καὶ διὰ τῆς Σερβίας περιελθὼν, κατῆλθε μέχρι τῆς Ἄρτης· κἀκεῖθεν, αὐξανομένων καθ' ἑκάστην τῶν τοῦ γένους ἡμῶν συμφορῶν, μετέβη εἰς Κέρκυραν, περὶ τὸ 1460 ἔτος. Καὶ τὸ μὲν λείψανον τῆς ἁγίας Θεοδώρας ἐδωρήθη εἰς τῶν Κερκυραίων τὸ κοινὸν· τὸ δὲ τοῦ ἁγίου Σπυρίδωνος μένει μέχρι τῆς σήμερον, κατὰ δικαίωμα κληρονομικὸν, πολύτιμος θησαυρὸς εἰς τοὺς αὐτοῦ ἀπογόνους, στήριγμα τῶν πιστῶν εἰς τὴν ὀρθοδοξίαν, καὶ θαῦμα τῶν ὁρώντων ὑπερφυές· ὅτι καὶ μετὰ παρέλευσιν 1500 ἐτῶν, διαμένον ἀδιάφθορον, σώζει καὶ αὐτὴν ἔτι τοῦ δέρματος τὴν ἐλαστικότητα. Ὄντως, Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ! (Ψαλμ. ξζ'. 35).

Ἀργία, καὶ Κατάλυσις οἴνου καὶ ἐλαίου.

Ἀπολυτίκιον: Κανόνα πίστεως. Ὅρα σελ. 227.

Ἕτερον, Ἦχος α'. Τοῦ λίθου σφραγισθέντος.

Τῆς Συνόδου τῆς πρώτης ἀνεδείχθης ὑπέρμαχος, καὶ θαυματουργὸς θεοφόρε Σπυρίδων Πατὴρ ἡμῶν· διὸ ἱερᾷ σὺ ἐν τάφῳ προσφωνεῖς, καὶ ὄφιν εἰς χρυσοῦν μετέβαλες· καὶ ἐν τῷ μέλπειν τὰς ἁγίας σου εὐχάς, Ἀγγέλους ἔσχες συλλειτουργοῦντάς σοι Ἱερώτατε. Δόξα τῷ σὲ δοξάσαντι· δόξα τῷ σὲ στεφανώσαντι· δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Κοντάκιον, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τῷ πόθῳ Χριστοῦ, τρωθεὶς ἱερώτατε, τὸν νοῦν πτερωθεὶς, τῇ αἴγλῃ τοῦ Πνεύματος, πρακτικῇ θεωρίᾳ τὴν πρᾶξιν εὗρες θεόπνευστε, θυσιαστήριον θεῖον γεώμενος, αἰτούμενος πᾶσι θείαν ἔλλαμψιν.

✠ 13. Τῶν ἁγίων Μαρτύρων Εὐστρατίου, Αὐξεντίου, Εὐγενίου, Μαρδαρίου, καὶ Ὀρέστου· καὶ τῆς ἁγίας Μάρτυρος Λουκίας τῆς παρθένου.

Οἱ μὲν πέντε Μάρτυρες ἦσαν Καππαδόκαι τὸ γένος, ἐν τοῖς χρό-

ΔΗΜΟΣΙΕΥΣΙΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λήξουριου - Μουσείο Τυπολογίων Ιακώβατων

νοις Διοκλητιανοῦ, κρυφίως τὸν Χριστὸν ἐκ προγόνων σεβόμενοι· παρρησιασάμενοι δὲ, καὶ πολυειδῶς βασανισθέντες ὑπὸ Λυσίου τοῦ ἡγεμόνος, οἱ μὲν τρεῖς ἐτελεύτησαν ἐν ταῖς βασάνοις. Ὁ δὲ Εὐστράτιος καὶ Ὀρέστης ἐπιζήσαντες, ἐπέμφθησαν εἰς Σεβάστειαν πρὸς Ἀγρικόλαον, τὸν πᾶσαν τὴν Ἀνατολὴν διοικοῦντα, οὗ τῇ προστάξει ἐτελειώθησαν διὰ πυρὸς τῷ 296. Ἦν δὲ ὁ Εὐστράτιος ἀνὴρ ἐλλόγιμος καὶ ῥητορικὸς, πρῶτος τῶν τοῦ Λυσίου ἀξιωματικῶν, καὶ τῆς ἐπαρχίας αὐτοῦ Χαρτοφύλαξ, ὁ Λατινιστὶ λεγόμενος ἐν τῷ Συναξαριστῇ, Σκρινιάριος. Εἰς τὸ ὄνομα τούτου ἐπιγράφεται ἡ ἐν τῷ Μεσονυκτικῷ τοῦ Σαββάτου λεγομένη Εὐχή: Μεγαλύνων μεγαλύνω σε Κύριε.... Ἡ δὲ ἐν τῇ Γ'. Ὥρᾳ καὶ ἀλλαχοῦ λεγομένη ἑτέρα Εὐχή: Δέσποτα Θεὲ, Πάτερ παντοκράτορ,.... ἀποδίδοται εἰς τὸν Μαρδάριον — Ἡ δὲ Λουκία, ἥτις Ἑλληνιστὶ μεθερμηνεύεται Φωτεινὴ, ὑπῆρχεν ἐκ Συρακουσῶν τῆς Σικελίας· μνηστευθεῖσα δὲ ἀνδρὶ, εἶτα τὴν διὰ γάμου κοινωνίαν αὐτοῦ ἀποστρεφομένη, μὴ βουλομένου πιστεῦσαι εἰς τὸν Χριστὸν, διαβάλλεται ὑπὸ τοῦ ἰδίου μνηστῆρος Πασχασίῳ τῷ ἄρχοντι, καὶ ἀποτέμνεται τὴν κεφαλὴν, περὶ τὸ 304 ἔτος.

Ἀπολυτίκιον. Οἱ Μάρτυρές σου Κύριε. Ὅρα σελ. 208.

Κοντάκιον, Ἦχος β'. Τὴν ἐν πρεσβείαις ἀκοίμητον.

Φωστὴρ ἐφάνης λαμπρότατος Χριστοκήρυξ, τοῖς ἐν σκότει τῆς ἀγνωσίας καθημένοις· πίστιν ὡς δόρυ δὲ περιθέμενος, τῶν δυσμενῶν τὰ θράση οὐκ ἐπτοήθης Εὐστράτιε, ῥητόρων ὑπάρχων εὐγλωττότερος.

✠ 14. Τῶν ἁγίων Μαρτύρων Θύρσου, Λευκίου, Καλλινίκου, Φιλήμονος, Ἀπολλωνίου, Ἀρριανοῦ καὶ τῶν σὺν αὐτῷ.

Οὗτοι οἱ μὲν τρεῖς πρῶτοι ἠθλησαν ἐπὶ Δεκίου, τῷ 250. οἱ δὲ λοιποὶ ἐπὶ Διοκλητιανοῦ, τῷ 290.

Εἰ οὐκ ἔστιν Ἀλληλούϊα, Οἱ Μάρτυρές σου Κύριε, ὡς ἄνω.

✠ 15. Τοῦ ἁγίου Ἱερομάρτυρος Ἐλευθερίου.

Οὗτος ἦν Ῥωμαῖος τὴν πατρίδα· ἀπορφανισθεὶς δὲ παιδιόθεν τοῦ ἰδίου πατρός, προσηνέχθη ὑπὸ τῆς μητρὸς αὐτοῦ Ἀνθίας εἰς τὸν τῆς Ῥώμης ἐπίσκοπον Ἀνίκητον, ἢ, ὡς ἄλλοι καλοῦσιν αὐτὸν, Ἀνέγκλητον, ἢ Ἀνάκλητον· ὑφ' οὗ καὶ τὰ ἱερὰ ἐπαιδεύθη γράμματα (τὴν θείαν Γραφὴν), καὶ νεώτατος ἔτι ὢν τὴν ἡλικίαν, ἐπίσκοπος τοῦ Ἰλλυρικοῦ κατέστη, διὰ τὴν ὑπερβάλλουσαν αὐτοῦ ἀρετὴν, καὶ πολλοὺς τῶν ἀπίστων ἐπέστρεψεν εἰς Χριστὸν, διὰ τῆς ἑαυτοῦ διδασκαλίας. Σκληρατάτου δὲ κινηθέντος κατὰ τῶν Χριστιανῶν διωγμοῦ ἐπὶ Ἀδριανοῦ τοῦ Αἰλίου, συλληφθεὶς ὑπὸ τῶν τυράννων, καὶ πολλὰς ὑπὲρ Χριστοῦ ὑπομείνας βασα-

νους, τέλος ἀναιρεῖται ὑπὸ δύο στρατιωτῶν. Ἡ δὲ φιλόχριστος μήτηρ Ἀνθία, ἐναγκαλισθεῖσα τὸ λείψανον τοῦ υἱοῦ, καὶ μητρικῶς αὐτὸ καταφιλοῦσα, ξίφει καὶ αὐτὴ τὴν κεφαλὴν ἀποτέμνεται, περὶ τὸ 126 ἔτος.

## Κατάλυσις οἴνου καὶ ἐλαίου.

### Ἀπολυτίκιον, Ἦχος δ'.

Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος, τῶν Ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὗρες θεόπνευστε, εἰς θεωρίας ἐπίβασιν· διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίστει ἐνήθλησας μέχρις αἵματος, Ἱερομάρτυς Ἐλευθέριε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

### Κοντάκιον, Ἦχος β'. Τοὺς ἀσφαλεῖς.

Ὡς καλλονὴν τῶν ἱερέων ὅσιε, καὶ προτροπὴν τῶν ἀθλοφόρων ἅπαντες, εὐφημοῦμεν καὶ αἰτοῦμέν σε; Ἱερομάρτυς Ἐλευθέριε: Τοὺς πόθῳ σου τὴν μνήμην ἑορτάζοντας, κινδύνων πολυτρόπων ἐλευθέρωσον, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

✠ 16. Τοῦ ἁγίου Προφήτου Ἀγγαίου.

Ἐγεννήθη ἐν Βαβυλῶνι, κατὰ τὸν καιρὸν τῆς αἰχμαλωσίας τῶν Ἰουδαίων· ἤρξατο προφητεύειν ἐν Ἱερουσαλὴμ, μετὰ τὴν ἐκεῖθεν ἐπάνοδον αὐτῶν, ἐν ἡμέραις Ζοροβάβελ, τῷ δευτέρῳ ἔτει Δαρείου τοῦ Ὑστάσπου, βασιλέως Περσῶν περὶ τὰ 520 πρὸ Χριστοῦ. Ἡ προφητεία αὐτοῦ, εἰς 2 κεφάλαια διηρημένη, τάττεται ἡ δεκάτη μεταξὺ τῶν Ἑλασσόνων Προφητῶν.

Εἰ ἐκ ἔξιν Ἀλληλούϊα. Τῶ Προφήτω Ἀγγαίω. Σελ. 224.

✠ 17. Τοῦ ἁγίου Προφήτου Δανιὴλ, καὶ τῶν ἁγίων Τριῶν Παίδων, Ἀνανίου, Ἀζαρίου καὶ Μισαὴλ· καὶ τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Διονυσίου Ἀρχιεπισκόπου Αἰγίνης, τοῦ ἐκ τῆς νήσου Ζακύνθου.

Τούτων ὁ μὲν Ἱεράρχης ἦν γέννημα καὶ θρέμμα τῆς Ζακύνθου εὐσεβῶν καὶ πλουσίων γονέων υἱὸς, Μωκίου καὶ Παυλίνης τὴν κλῆσιν. Εἰσῆλθεν ἐκ νεότητος εἰς τὴν κατὰ τὰς Στροφάδας νήσους βασιλικὴν μονὴν, καὶ τὸ μοναδικὸν ἐνεδύσατο σχῆμα. Προεχειρίσθη ἔπειτα Ἀρχιεπίσκοπος Αἰγίνης, ἧς καὶ ἐκόσμησε τὸν θρόνον ἐπὶ χρόνον ἱκανόν. Μετὰ ταῦτα, ὑποστρέψας εἰς τὴν ἑαυτοῦ πατρίδα, καὶ διαβιώσας ὁσίως τὸ λοιπὸν, ἐτελεύτησεν ἐν εἰρήνῃ τὸ 1624 ἔτος, καταλιπὼν τὸ ἱερὸν αὐτοῦ λείψανον εἰς τὸς ἑαυτοῦ συμπολίτας, ἀρετῆς καὶ εὐσεβείας ὑπόδειγμα.

ΔΗΜΟΣΙΕΥΣΙΣ ΒΙΒΛΙΟΘΗΚΗΣ

Ὁ δὲ Προφήτης μετὰ τῶν Τριῶν Παίδων, καὶ οἱ τέσσαρες οὗτοι κατήγοντο ἐκ τῆς βασιλικῆς τοῦ Ἰούδα φυλῆς. Τῷ δὲ 599 πρὸ Χριστοῦ, ἐπὶ τῆς βασιλείας Ἰωακὶμ, ἢ Ἰωαχὶμ, τοῦ καὶ Ἰεχονίου καλουμένου (Α΄. Παραλειπ. γ΄. 16. καὶ Β΄. λς΄. 8), παιδάρια ἔτι ὄντες, ἀπήχθησαν μετὰ καὶ ἄλλων Ἰουδαίων, εἰς Βαβυλῶνα αἰχμάλωτοι ὑπὸ τοῦ Ναβουχοδονόσορ· ὑφ' οὗ ἐκλεχθέντες μεταξὺ τῶν λοιπῶν αἰχμαλώτων, εἰς ὑπουργίαν αὐτοῦ, καὶ μετονομασθέντες ὁ μὲν Δανιὴλ Βαλτάσαρ, ὁ δὲ Ἀνανίας Σεδρὰχ, ὁ δὲ Μισαὴλ Μισὰχ, Ἀβδεναγὼ δὲ ὁ Ἀζαρίας, ἀνετράφησαν ἐν τῇ βασιλικῇ αὐλῇ, τὴν Χαλδαϊκὴν σοφίαν διδασκόμενοι, εἰς ἣν καὶ ὑπερέβησαν, μετὰ παρέλευσιν τριῶν ἐτῶν, πάντας τοὺς σοφοὺς τῶν Χαλδαίων. (Δανιὴλ ά.)

Μετὰ ταῦτα ὁ μὲν Δανιὴλ, μειράκιον ἔτι ὤν, ἑρμηνεύσας τὴν μυστηριώδη ἐκείνην εἰκόνα, ἣν εἶδε Ναβουχοδονόσορ εἰς τὸν ὕπνον αὐτοῦ, συγκειμένην μὲν ἐκ διαφόρων μετάλλων, συντριβεῖσαν δὲ, καὶ εἰς κόνιν λεπτυνθεῖσαν ὑπό τινος λίθου, ἐξ ὄρους ἀποτμηθέντος, ἄνευ ἀνθρωπίνης χειρὸς, ἐδήλωσε σαφῶς διὰ μὲν τοῦ Ὄρους, τὸ ὕψος τῆς ἁγιότητος τῆς Παρθένου, καὶ τὴν ἐπισκιάσασαν αὐτῇ δύναμιν τοῦ ἁγίου Πνεύματος· διὰ δὲ τοῦ Λίθου, τὸν ἀσπόρως ἐξ αὐτῆς γεννηθέντα Χριστόν· ὅστις ἐν τῇ δευτέρᾳ αὐτοῦ Παρουσίᾳ, συντρίψας ὡς Θεὸς, καὶ ἐξαφανίσας πάσας τὰς τοῦ κόσμου βασιλείας τὰς διὰ τῆς Εἰκόνος ἐμφαινομένας, ἀναστήσει τοῖς πιστεύουσιν εἰς αὐτὸν τὴν οὐράνιον αὐτοῦ βασιλείαν, τὴν αἰώνιον καὶ ἀδιάδοχον (αὐτ. β΄. 31-45). Ἐφεξῆς προεσήμανεν ὡρισμένως καὶ ἀριβῶς, διὰ τοῦ ἀριθμοῦ τῶν πολυθρυλλήτων ἑβδομήκοντα Ἑβδομάδων, τῆς ἐν τῷ Ἰορδάνῃ ἐπιφανείας αὐτοῦ τὸν χρόνον, τὴν ἀρχὴν τοῦ εὐαγγελικοῦ αὐτοῦ κηρύγματος, τοῦ σωτηριώδους πάθους αὐτοῦ τὸν καιρὸν, καὶ τῆς νομικῆς λατρείας τὴν παῦσιν (αὐτ. Θ΄. 14-27) Ἐζωγράφησεν ἄριστα τὴν μεγαλοπρεπῆ καὶ φοβερὰν τῆς δευτέρας αὐτοῦ Παρουσίας εἰκόνα, παραστήσας διὰ λόγου, ὡς διὰ χρωμάτων ζωηρῶν, τὸν τεθέντα φλογερὸν θρόνον, τὸν καθήμενον ἐπ' αὐτοῦ αἰώνιον Κριτὴν, τὸν ἔμπροσθεν αὐτοῦ ῥέοντα πύριον ποταμὸν, τὸ λογοθέσιον τοῦ ἑκάστου κριτηρίου, τὰς ἀνοιχθείσας τῶν πράξεων ἑκάστου βίβλους, τὰς χιλίας χιλιάδας τῶν λειτουργούντων αὐτῷ, καὶ τὰς μυρίας μυριάδας τῶν παρεστηκότων αὐτῷ (αὐτ. ζ΄. 9-10). Ἐπωνομάσθη ὑπὸ τῶν φανέντων αὐτῷ Ἀγγέλων: Ἀνὴρ ἐπιθυμιῶν· διότι καταφρονήσας ἀνδρικῶς πάσης ἐπιθυμίας τοῦ σώματος, μέχρι καὶ αὐτοῦ τοῦ ἄρτου, τῆς ἀναγκαιοτάτης τροφῆς, καὶ τῶν ὁμοφύλων αὐτοῦ τὴν ἐλευθερίαν, καὶ τὴν μέλλουσαν αὐτῶν κατάστασιν γνῶναι ἐπιθυμῶν, οὐκ ἐπαύετο δεόμενος τοῦ Θεοῦ, νηστεύων, καὶ κλίνων τὰ γόνατα, τρεῖς καιροὺς τῆς ἡμέρας· δι' ἣν αἰτίαν καὶ εἰς τὸν λάκκον τῶν λεόντων ἐρρίφθη, διαβληθεὶς ὑπὸ τῶν ἐχθρῶν αὐτοῦ, ὡς παραβάτης τοῦ ἐξ ἐπιβουλῆς αὐτῶν ἐκδοθέντος βασιλικοῦ ὁρισμοῦ, ἵνα μηδεὶς προσκυνήσῃ, μηδὲ αἰτήσῃ τι παρὰ Θεοῦ, ἢ παρ' ἄλλου τινὸς ἀνθρώπου, ἕως ἡμερῶν τριάκοντα, εἰ μὴ παρὰ μόνου τοῦ βασιλέως. Ἀλλ' ἐμφράξας δυνάμει Θείᾳ τῶν λεόντων τὰ στόματα, καὶ φανεὶς ἐν τῷ μέσῳ αὐτῶν, ὡς

προβάτων ποιμὴν, ἔδειξεν εἰς τοὺς ἀσεβεῖς τῆς εὐσεβείας τὴν δύναμιν (αὐτ. ς'. 1-13).

Οἱ δὲ Τρεῖς Παῖδες, ἀρνησάμενοι τὴν προσκύνησιν καὶ λατρείαν τῆς τοῦ Ναβουχοδονόσορ εἰκόνος, (ἀπόντος τότε τοῦ Δανιὴλ, κατὰ τὸ φαινόμενον) ἐβλήθησαν εἰς τὴν κάμινον τοῦ πυρός· ἀφ' οὗ μέχρι τριχὸς ἀβλαβεῖς διαμείναντες, θείου Ἀγγέλου συγκαταβάσει, καὶ ἐν μέσῳ αὐτοῦ, ὥσπερ ἐν δρόσῳ περιπατοῦντες, ὕμνησαν τὸν παγκόσμιον αἶνον τῷ Θεῷ, τὸν ἐν τῇ Ζ'. καὶ Η'. Ὠδῇ τῆς Στιχολογίας περιεχόμενον. Καὶ ἐξελθόντες ἐκεῖθεν, μηδὲ ὀσμὴν τοῦ πυρὸς φέροντες ἐν τοῖς ἱματίοις αὐτῶν, προεικόνισαν ἐν ἑαυτοῖς τὸν ἄφθορον τῆς Παρθένου τόκον· ἥτις δεξαμένη τὸ πῦρ τῆς Θεότητος, οὐ κατεφλέχθη τὴν νηδὺν, ἀλλ' ἔμεινεν, ὥσπερ ἦν καὶ πρὸ τοῦ τόκου, Παρθένος (αὐτ. γ'.).

Διὰ ταῦτα οὖν ἑορτάζει αὐτούς τε καὶ τὸν Δανιὴλ ἡ Ἐκκλησία σήμερον, καὶ τῇ παρελθούσῃ τῶν Προπατόρων Κυριακῇ, καὶ τῇ ἐρχομένῃ τῇ πρὸ τῆς Χριστοῦ Γεννήσεως, ὡς προτυπώσαντας, καὶ προκαταγγείλαντας τὴν σάρκωσιν αὐτοῦ· ἔτι δὲ καὶ ὡς ἀπογόνους τῆς τοῦ Ἰούδα φυλῆς, ἐξ ἧς καὶ ὁ Χριστὸς κατὰ σάρκα. Ἐτελεύτησαν δὲ οἱ μὲν ἅγιοι Τρεῖς Παῖδες, γενόμενοι πλήρεις ἡμερῶν. Ὁ δὲ Προφήτης Δανιὴλ, παρατείνας τὸν βίον μέχρι Κύρου βασιλέως Περσῶν, παρ' οὗ καὶ τὴν εἰς Ἱερουσαλὴμ ἐπάνοδον τῶν ὁμογενῶν αὐτοῦ, καὶ τοῦ Ναοῦ τὴν ἀνέγερσιν αἰτήσας ἐπέτυχεν, ἀνεπαύσατο ἐν εἰρήνῃ, ζήσας ἔτη περὶ τὰ 88. Ἡ προφητεία αὐτοῦ, εἰς 12 κεφάλαια διῃρημένη, τάττεται ἡ τετάρτη καὶ τελευταία τῶν Μειζόνων Προφητῶν.

## Κατάλυσις οἴνου καὶ ἐλαίου.

### Ἀπολυτίκιον, Ἦχος β'.

Μεγάλα τὰ τῆς πίστεως κατορθώματα! ἐν τῇ πηγῇ τῆς φλογὸς, ὡς ἐπὶ ὕδατος ἀναπαύσεως, οἱ ἅγιοι Τρεῖς Παῖδες ἠγάλλοντο· καὶ ὁ Προφήτης Δανιὴλ, λεόντων ποιμὴν, ὡς προβάτων ἐδείκνυτο. Ταῖς αὐτῶν ἱκεσίαις Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν.

### Ἕτερον τοῦ Ἁγίου, Ἦχος α.

Τοῦ λίθου σφραγισθέντος.

Τῆς Ζακύνθου τὸν γόνον καὶ Αἰγίνης τὸν Πρόεδρον, τὸν φρουρὸν Μονῆς τῶν Στρομάδων, Διονύσιον ἅπαντες, τιμήσωμεν συμφώνως οἱ πιστοὶ, βοῶντες πρὸς αὐτὸν εἰλικρινῶς: Σαῖς λιταῖς τοὺς τὴν σὴν μνήμην ἐπιτελοῦντας σῶσον, καὶ βοῶντάς σοι: Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ· δόξα τῷ σὲ θαυμαστώσαντι· δόξα τῷ δωρησαμένῳ σε ἡμῖν, πρέσβυν ἀκοίμητον.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Δήμου Ιωαννίνων - Μουσείο Τυπογραφικών Τεκμηρίων

Κοντάκιον τοῦ Προφήτου, ἀπὸ γ'. Ὠδῆς, Ἦχος γ'.

Ἡ Παρθένος σήμερον.

Καθαρθεῖσα Πνεύματι, ἡ καθαρά σου καρδία, προφητείας γέγονε, φαεινοπάτης δοχεῖον· βλέπεις γὰρ ὡς ἐνεστῶτα τὰ μακρὰν ὄντα, λέοντας ἀποφιμοῖς δὲ βληθεὶς ἐν λάκκῳ. Διὰ τοῦτό σε τιμῶμεν, Προφῆτα μάκαρ, Δανιὴλ ἔνδοξε.

Ἕτερον τῶν Ἁγίων, ἀφ' ἕκτης, Ἦχος β'. Αὐτόμελον.

Χειρόγραφον εἰκόνα μὴ σεβασθέντες, ἀλλ' ἀγράφῳ οὐσίᾳ θωρακισθέντες, τρισμακάριοι ἐν τῷ σκάμματι τοῦ πυρὸς ἐδοξάσθητε· ἐν μέσῳ δὲ φλογὸς ἀνυποστάτου ἱστάμενοι, Θεὸν ἐπεκαλεῖσθε· Τάχυνον, ὦ οἰκτίρμον, καὶ σπεῦσον ὡς ἐλεήμων, εἰς τὴν βοήθειαν ἡμῶν, ὅτι δύνασαι βουλόμενος.

Ἕτερον τοῦ Ἁγίου, Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Εὐχαρίστοις ἄσμασι τῶν Ζακυνθίων ἡ πόλις, ἀνυμνεῖν προτρέπεται, πάντας πιστοὺς συγκαλοῦσα, μέγιστον τὸν ἐν ἀνάγκαις θερμὸν προστάτην, ῥύστην δὲ τῶν τοῖς κινδύνοις συνεχομένων, καὶ γεραίρουσα κραυγάζει· Χαῖρε τὸ κλέος πιστῶν Διονύσιε.

✠ 18. Τῶ ἁγίου Μάρτυρος Σεβαστιανοῦ, καὶ τῶν σὺν αὐτῷ.

Ὑπῆρχεν ἐκ πόλεως Μεδιολάνων, Συγκλητικὸς τὸ ἀξίωμα, ζηλωτὴς τῆς πίστεως τοῦ Χριστοῦ, καὶ πολλοὺς εἰς θεογνωσίαν ἐπιστρέφων. Κινηθέντος δὲ τοῦ κατὰ τῶν Χριστιανῶν διωγμοῦ, ἐπὶ τῆς Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ βασιλείας, συλληφθεὶς κατακεντᾶται βέλεσι πυκνοῖς, καὶ ῥοπάλοις τὸ σῶμα κατασυντρίβεται, καὶ εἰς μέρη κατατμηθείς, τὸ πνεῦμα τῷ Θεῷ παρατίθεται, τῷ 288 ἔτει. Σὺν αὐτῷ δὲ καὶ ἕτεροι, διαφόρους ὑπομείναντες βασάνους, ἐτελεύτησαν· ὧν τὰ ὀνόματα: Μαρκελλῖνος καὶ Μάρκος αὐταδελφοί· Τραγκυλῖνος καὶ Μαρκία γονεῖς αὐτῶν· Νικόστρατος καὶ Ζωὴ σύζυγος αὐτοῦ· Τιβούρτιος, Κλαύδιος, Κάστουλος, καὶ Κάστωρ.

## ΕΙΔΗΣΙΣ.

Κατὰ τὴν αὐτὴν δεκάτην ὀγδόην τοῦ παρόντος, εἰ τύχοι ἐν Κυριακῇ, ἢ τῇ ἀμέσως μετ' αὐτὴν ἐρχομένῃ, ἥτις καὶ Κυριακὴ πρὸ τῆς Χριστοῦ Γεννήσεως λέγεται, μνήμην ἐπιτελοῦμεν πάντων τῶν ἀπ' αἰῶνος Θεῷ εὐαρεστησάντων, ἀπὸ Ἀδὰμ

ΑΠΟΘΕΣΙΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημοσία Κεντρική Βιβλιοθήκη Λιμασσόλ
Μουσείο Τυπολογίου - Κωδικογραφίου

ἄχρι καὶ Ἰωσὴφ τοῦ Μνήστορος τῆς ὑπεραγίας Θεοτόκου, κατὰ γενεαλογίαν, καθὼς ὁ Εὐαγγελιστὴς Λουκᾶς ἱστορικῶς ἠριθμήσατο (γ'. 23-38), ὁμοίως καὶ τῶν Προφητῶν καὶ Προφητίδων, ἐξαιρέτως δὲ τοῦ Προφήτου Δανιὴλ, καὶ τῶν ἁγίων Τριῶν Παίδων (Ὅρα τὴν αἰτίαν εἰς τὰς 17 τοῦ παρόντος).

✠ Κυριακὴ πρὸ τῆς Χριστοῦ Γεννήσεως ✠

Ἀπολυτίκιον Ἀναστάσιμον· εἶτα τῶν Πατέρων, Ἦχος β'.

Μεγάλα τὰ τῆς πίστεως κατορθώματα! ἐν τῇ πηγῇ τῆς φλογὸς, ὡς ἐπὶ ὕδατος ἀναπαύσεως, οἱ ἅγιοι Τρεῖς Παῖδες ἠγάλλοντο· καὶ ὁ Προφήτης Δανιὴλ, λεόντων ποιμήν, ὡς προβάτων ἐδείκνυτο. Ταῖς αὐτῶν ἱκεσίαις Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἀπὸ γ'. Ὠδῆς, Ἡ Ὑπακοὴ, Ἦχος πλ. δ'.

Ἄγγελος Παίδων ἐδρόσισε κάμινον, νῦν δὲ Γυναικῶν κλαυθμὸν διεκώλυσε λέγων: Τί ἐπιφέρεσθε μύρα; τίνα ζητεῖτε ἐν τάφῳ; ἀνέστη Χριστὸς ὁ Θεός· ὑπάρχει γὰρ ζωὴ, καὶ Σωτὴρ τοῦ γένους τῶν ἀνθρώπων.

Ἀφ' ἑκτῆς, Κοντάκιον Προεόρτιον, Ἦχος ά.

Χορὸς ἀγγελικός.

Εὐφραίνου Βηθλεὲμ, Εὐφραθᾶ ἑτοιμάζου· ἰδοὺ γὰρ ἡ Ἀμνὰς, τὸν Ποιμένα τὸν μέγαν, ἐν μήτρᾳ βαστάζουσα, τοῦ τεκεῖν κατεπείγεται· ὃν περ βλέποντες, οἱ θεοφόροι Πατέρες, ἐπαγάλλονται, μετὰ Ποιμένων ὑμνοῦντες, Παρθένον θηλάζουσαν.

✠ 19. Τοῦ ἁγίου Μάρτυρος Βονιφατίου.

Ὑπῆρχεν ἐν τοῖς χρόνοις Διοκλητιανοῦ, περὶ τὸ 290 ἔτος, δοῦλος Συγκλητικῆς τινος Ῥωμαίας, Ἀγλαΐδος ὀνόματι· καὶ ἀποσταλεὶς παρ' αὐτῆς εἰς τὴν Ἀνατολὴν, ἵνα κομίσῃ ἐκεῖθεν ἁγίων Μαρτύρων λείψανα πρὸς ἁγιασμὸν, ὑπέσχετο χαριεντιζόμενος κομίσειν αὐτῇ τὸ οἰκεῖον. Ἀπελθὼν δὲ μετά τινων συνδούλων αὐτοῦ εἰς Κιλικίαν, ὅπου ἐνήθλουν τότε οἱ Ἅγιοι, συλληφθεὶς ὑπὸ τοῦ Ἡγεμόνος, καὶ τὸν Χριστὸν παῤῥησίᾳ ὁμολογήσας, ὑπέστη τὸν τοῦ μαρτυρίου θάνατον, καὶ ἐπλήρωσεν ἀληθῶς τὴν ὑπόσχεσιν πρὸς τὴν κυρίαν αὐτοῦ, κομισάντων αὐτῇ τῶν συνδούλων τὸ ἱερὸν αὐτοῦ λείψανον.

Ἀπολυτίκιον. Ὁ Μάρτυς σου Κύριε. Σελ. 222.

✠ 20. Προεόρτια τῆς κατὰ Σάρκα Γεννήσεως τοῦ Κυ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Δημοσίου - Μουσείο Τυπογραφικών Εκκλησιαστικών

ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ μνήμη τοῦ ἁγίου Ἱερομάρτυρος Ἰγνατίου τοῦ Θεοφόρου.

Οὗτος ἦν μαθητὴς Ἰωάννου τοῦ Θεολόγου, καὶ τῶν Ἀποστόλων διάδοχος, μετὰ τὸν Εὐοδον δεύτερος ἐπίσκοπος Ἀντιοχείας γεγονὼς, τῷ 68 ἔτει. Ἐνεχθεὶς δὲ εἰς Ῥώμην ἐπὶ Τραϊανοῦ, δίδοται λέουσιν εἰς βορὰν, καὶ πληροῖ τὸν τοῦ μαρτυρίου δρόμον, τῷ 107, ἢ 109 ἔτει· τὰ δὲ λείψανα τῶν ὀστέων αὐτοῦ, ἐπιμελῶς ὑπὸ πιστῶν συλλεγέντα, μετεκομίσθησαν εἰς Ἀντιόχειαν. Ἐπωνομάσθη δὲ Θεοφόρος, ὡς τὸν Θεὸν ἔνοικον φέρων ἐν τῇ ψυχῇ, καὶ ὑπὸ τῆς ἀγάπης αὐτοῦ φλεγόμενος τὴν καρδίαν· διὸ καὶ ἔλεγε: "Σῖτος εἰμὶ τοῦ Θεοῦ, καὶ διὰ ὀδόντων θηρίων ἀλήθομαι, ἵνα καθαρὸς ἄρτος εὑρεθῶ„. (Εὐσέβ. Ἐκκλ. Ἱστορ. Βιβλ. γ'. 36.)

## Κατάλυσις οἴνου καὶ ἐλαίου.

Ἀπολυτ. Προεόρτιον, Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Ἑτοιμάζου Βηθλεέμ, ἠνοίκται πᾶσιν ἡ Ἐδέμ· εὐτρεπίζου Εὐφραθᾶ, ὅτι τὸ ξύλον τῆς ζωῆς, ἐν τῷ σπηλαίῳ ἐξήνθησεν ἐκ τῆς Παρθένου· Παράδεισος καὶ γὰρ ἡ ἐκείνης γαστὴρ, ἐδείχθη νοητὸς, ἐν ᾧ τὸ θεῖον φυτόν· ἐξ οὗ φαγόντες ζήσομεν, οὐχὶ δὲ ὡς ὁ Ἀδὰμ τεθνηξόμεθα. Χριστὸς γεννᾶται, τὴν πρὶν πεσοῦσαν ἀναστήσων εἰκόνα.

Τοῦ Ἁγίου. Καὶ τρόπων μέτοχος. Ὅρα σελ. 234.

Ἀπὸ γ'. Ὠδῆς, Κοντάκιον Προεόρτιον, Ἦχος γ'. Αὐτόμελον.

Ἡ Παρθένος σήμερον, τὸν προαιώνιον Λόγον, ἐν σπηλαίῳ ἔρχεται, ἀποτεκεῖν ἀπορρήτως. Χόρευε ἡ οἰκουμένη ἀκουτισθεῖσα· δόξασον μετὰ Ἀγγέλων καὶ τῶν Ποιμένων, βληθέντα ἐποφθῆναι, Παιδίον νέον, τὸν πρὸ αἰώνων Θεόν.

Ἀφ' ἑκτης Ὠδῆς, Κοντάκιον τοῦ Ἁγίου, Ὅμοιον.

Τῶν λαμπρῶν ἀγώνων σε, ἡ φωτοφόρος ἡμέρα, προκηρύττει ἅπασι, τὸν ἐν σπηλαίῳ τεχθέντα· τούτου γὰρ διψῶν ἐκ πόθου κατατρυφῆσαι, ἔσπευσας ὑπὸ θηρίων ἀναλωθῆναι· διὰ τοῦτο Θεοφόρος, προσηγορεύθης, Ἰγνάτιε ἔνδοξε.

✠ 21. Τῆς ἁγίας Μάρτυρος Ἰουλιανῆς.

Ἦν πῆρχεν ἐκ Νικομηδείας, ἐν τοῖς χρόνοις Μαξιμιανοῦ, πλουσίων γονέων θυγάτηρ. Μνηστευθεῖσα δὲ ἀνδρὶ εἰδωλολάτρῃ, Ἐλευσίῳ τὸ

Ψηφιακή Κοινοτική Βιβλιοθήκη Λήξουρίου - Μουσείο Τύπου Άλιν Τυπογραφών

ὄνομα, Συγκλητικῷ τὸ ἀξίωμα, ὕστερον δὲ καὶ Ἐπάρχῳ γενομένῳ, ἠρνήσατο τὴν πρὸς αὐτὸν διὰ γάμου κοινωνίαν, μὴ βουλόμενον προσελθεῖν εἰς τὴν τοῦ Χριστοῦ πίστιν. Ὁ δὲ ὀργισθεὶς παρέλαβεν αὐτὴν, καὶ πολυειδῶς πρότερον βασανίσας, τελευταῖον ἀπέτεμεν αὐτῆς τὴν κεφαλὴν, τῷ 299 ἔτει.

Ἀπολυτίκιον. Ἡ ἀμνάς σου Ἰησοῦ. Ὅρα σελ. 181.

✠ 22. Τῆς ἁγίας Μεγαλομάρτυρος Ἀναστασίας τῆς Φαρμακολυτρίας.

Αὕτη κατήγετο ἐκ Ῥώμης, παρθένος περικαλλὴς, πλουσία, καὶ ἐνάρετος, θυγάτηρ Πρεπεξάστου καὶ Φαύστης, ὑφ' ἧς καὶ τὴν εἰς Χριστὸν ἐδιδάχθη πίστιν. Συζευχθεῖσα δὲ ἀνδρὶ, ἀσώτῳ τὸν βίον, καὶ τὴν γνώμην ἀσεβεῖ, Πουπλίῳ Πατρικίῳ τὸ ὄνομα, ἔμεινε χηρεύουσα μετ' ὀλίγον. Ἐντεῦθεν κρυφίως περιερχομένη τὰς οἰκίας τῶν πτωχῶν, καὶ τὰς φυλακὰς τῶν τοῦ Χριστοῦ Μαρτύρων, καὶ προσφέρουσα αὐτοῖς τὰ ἐπιτήδεια, σπογγίζουσα αὐτῶν τὰς πληγὰς, λύουσα αὐτοὺς τῶν δεσμῶν, καὶ τὰς ὀδύνας αὐτῶν θεραπεύουσα, ἐπωνομάσθη ἐκ τούτου Φαρμακολύτρια. Γνωσθέντος δὲ τοῦ πράγματος, συνελήφθη ὑπὸ τῶν τοῦ Διοκλητιανοῦ ὑπηρετῶν· καὶ μετὰ πολλὰς ἄλλας βασάνους, ἐτελεύτησε διὰ πυρὸς, τῷ 290. ἔτει.

Ἀπολυτίκιον. Ἡ ἀμνάς σου Ἰησοῦ, ὡς ἀνωτέρω.

Κοντάκιον, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Οἱ ἐν πειρασμοῖς, καὶ θλίψεσιν ὑπάρχοντες, πρὸς τὸν σὸν ναὸν, προστρέχοντες λαμβάνουσι, τὰ σεπτὰ θωρήματα, τῆς ἐν σοὶ ἐνοικούσης θείας χάριτος Ἀναστασία· σὺ γὰρ ἀεὶ, τῷ κόσμῳ πηγάζεις τὰ ἰάματα.

✠ 23. Τῶν ἁγίων Δέκα Μαρτύρων, τῶν ἐν τῇ Κρήτῃ.

Οὗτοι, ἐκ διαφόρων πόλεων καὶ χωρίων τῆς νήσου Κρήτης ὑπάρχοντες, ἤθλησαν ἐπὶ Δεκίου τῷ 250. Τὰ δὲ ὀνόματα αὐτῶν εἰσὶ: Θεόδουλος, Σατορνῖνος, Εὔπορος, Γελάσιος, Εὐνικιανὸς, Ζωτικὸς, Ἀγαθόπους, Βασιλείδης, Εὐάρεστος, καὶ Πόμπιος.

Ἀπολυτίκιον, Ἦχος γ'. Τὴν ὡραιότητα.

Τὴν πολυθαύμαστον Κρήτην τιμήσωμεν, τὴν ἐξανθήσασαν ἄνθη τὰ τίμια, τοὺς μαργαρίτας τοῦ Χριστοῦ, Μαρτύρων τοὺς ἀκρέμονας. Δέκα γὰρ ὑπάρχοντες, ἀριθμῷ οἱ μακάριοι, δύναμιν μυριόπλον τῶν δαιμόνων κατήσχυναν· διὸ καὶ τοὺς στεφάνους ἐδέξαντο, Μάρτυρες Χριστοῦ οἱ καρτερόψυχοι.

Κοντάκιον, Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἑωσφόρος ἔλαμψεν ἡ τῶν Μαρτύρων, σεβασμία ἄθλησις, προκαταυγάζουσα ἡμῖν, τὸν ἐν σπηλαίῳ κρυπτόμενον, ὃν ἡ Παρθένος ἀσπόρως ἐκύησεν.

✠ 24. Τῆς ἁγίας Ὁσιομάρτυρος Εὐγενίας.

Ὑπῆρχεν ἐκ Ῥώμης, θυγάτηρ γονέων ἐπισημοτάτων καὶ εὐγενῶν Φιλίππου καὶ Εὐγενίας. Ἀθοῦσα δὲ αὐτούς, καὶ δύο τῶν ἑαυτῆς ὑπηρετῶν, Πρωτᾶν καὶ Ὑάκινθον, παραλαβοῦσα, ἐξῆλθε τῆς οἰκίας νυκτός· καὶ ἀνδρικῶς ἐνδυσαμένη, καὶ μετονομασθεῖσα Εὐγένιος, ἀπῆλθε μετ' αὐτῶν, καὶ ἐμόνασεν εἰς μοναστήριον ἀνδρῶν. Ἐτελεύτησαν δὲ καὶ οἱ τρεῖς μαρτυρικῶς ἐν τοῖς χρόνοις Κομόδου, τοῦ βασιλεύσαντος ἀπὸ τοῦ 180-192 ἔτους.

Παραμονὴ τῆς Χριστοῦ Γεννήσεως.

Ἀπολυτίκ. Προεόρτιον, Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Ἀπεγράφετο ποτὲ, σὺν τῷ πρεσβύτῃ Ἰωσὴφ, ὡς ἐκ σπέρματος Δαυΐδ, ἐν Βηθλεὲμ ἡ Μαριὰμ, κυοφοροῦσα τὴν ἄσπορον κυοφορίαν· ἐπέστη δὲ καιρὸς ὁ τῆς γεννήσεως, καὶ τόπος ἦν οὐδεὶς τῷ καταλύματι· ἀλλ' ὡς τερπνὸν παλάτιον, τὸ σπήλαιον τῇ Βασιλίδι ἐδείκνυτο. Χριστὸς γεννᾶται, τὴν πρὶν πεσοῦσαν ἀναστήσων εἰκόνα.

Η ΓΕΝΝΗΣΙΣ ΤΟΥ ΧΡΙΣΤΟΥ.



✠ 25. Ἡ κατὰ Σάρκα Γέννησις τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ἡ ἀκατάληπτος αὕτη καὶ ἀνερμήνευτος Γέννησις τοῦ Χριστοῦ ἐγένετο, κατὰ τὴν χρονολογίαν τῆς Ἀνατολικῆς Ἐκκλησίας, τῷ 5508 ἀπὸ Κτίσεως Κόσμου, βασιλεύοντος τῆς Ἰουδαίας Ἡρῴδου τοῦ Μεγάλου· ὅς τις, Ἀσκαλωνίτης μὲν ὢν ἐκ πατρὸς, Ἰδουμαῖος δὲ ἐκ μητρὸς, καὶ τοῦ γένους τοῦ Ἰακὼβ πάντη ἀλλότριος, λαβὼν τὴν βασιλείαν

ταύτην ἀπὸ τῶν τῆς Ῥώμης Αὐτοκρατόρων, κατεδυνάστευεν ἤδη 33 ἔτη τὸν Ἰουδαϊκὸν λαόν· ἡ δὲ πρώην βασιλεύουσα τοῦ Ἰούδα φυλή, στερηθεῖσα τῶν δικαιωμάτων αὐτῆς, ἐγυμνώθη πάσης ἀρχῆς καὶ ἐξουσίας. Ἐπὶ τοιαύτης τῶν Ἰουδαίων καταστάσεως, γεννηθέντος τοῦ προσδοκωμένου Μεσσίου, ἐπληρώθη ἀψευδῶς τοῦ Πατριάρχου Ἰακὼβ ἡ προφητεία, ἣν εἶπε πρὸ 1807 ἐτῶν: Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ, ᾧ ἀπόκειται, καὶ αὐτὸς προσδοκία ἐθνῶν (Γεν. μθ'. 10).

Ἐγεννήθη δὲ ὁ Σωτὴρ ἡμῶν ἐν Βηθλεὲμ, πόλει τῆς Ἰουδαίας· ὅπου, ἀναβὰς ὁ Ἰωσὴφ ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας, συμπαρέλαβε καὶ Μαριὰμ τὴν μνηστὴν αὐτοῦ, ἔγκυον οὖσαν, ἵνα, κατὰ τὸν ἐν ἐκείναις ταῖς ἡμέραις ἐκδοθέντα ὁρισμὸν τοῦ τότε μοναρχοῦντος Αὐγούστου Καίσαρος, ἀπογραφῶσι καὶ αὐτοὶ εἰς τὸν κατάλογον τῶν ὑπηκόων. Ἐλθούσης δὲ τῆς ὥρας τῆς γέννας, καὶ διὰ τὴν συνδρομὴν τοῦ πολλοῦ πλήθους, μὴ ὄντος τόπου περιττοῦ ἐν τῷ δημοσίῳ καταλύματι, ἠνάγκασεν ἡ περίστασις τὴν Παρθένον, ἵνα, εἰσελθοῦσα εἰς σπήλαιον, κείμενον πλησίον τῆς Βηθλεὲμ, καὶ εἰς σταῦλον τῶν ἀλόγων χρησιμεῦον, γεννήσῃ ἐκεῖ, καὶ σπαργανώσασα τὸ βρέφος τὸ γεννηθὲν, ἀνακλίνῃ αὐτὸ ἐπάνω φάτνης (Λουκ. β. 1. 7). Ἐκ τούτου προῆλθεν ἡ παράδοσις, ὅτι ὁ Χριστὸς γεννηθεὶς, ἀνεκλίθη μεταξὺ δύο ζώων, βοὸς καὶ ὄνου· ὅπερ φαίνονται δικαιολογοῦντες καὶ οἱ λόγοι τῶν Προφητῶν: Ἐν μέσῳ δύο ζώων γνωσθήσῃ (Αββ. γ'. 2.)· καὶ: Ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ (Ἡσ. ά. 3)· εἰ καὶ τὰ ζῶα ταῦτα τροπικῶς ὑπὸ τῶν ἑρμηνευτῶν ἐκλαμβάνονται, ἀντὶ τῶν ἐξ Ἰουδαίων καὶ τῶν ἐξ ἐθνῶν πιστευσάντων εἰς τὸν ἐνανθρωπήσαντα Κύριον, ἢ κατ' ἄλλην ἔννοιαν προσφυεστέραν.

Ἀλλ' ἐνῷ ἡ γῆ τοσοῦτον πενιχρῶς ὑπεδέχετο τὸν γεννηθέντα Σωτῆρα, ὁ οὐρανὸς ἄνωθεν ἐπανηγύριζε μεγαλοπρεπῶς τὴν κοσμοσωτήριον αὐτοῦ ἐπιδημίαν. Ποιμένες τινὲς εἰς τῆς Βηθλεὲμ τὰ πέριξ, τῶν ἰδίων προβάτων φύλακες ἄγρυπνοι, περιλαμφθέντες αἰφνιδίως ὑπὸ ἐξαισίου φωτὸς, εἶδον ἔμπροσθεν αὐτῶν Ἄγγελον, εὐαγγελιζόμενον εἰς αὐτοὺς τὴν τοῦ Κυρίου χαρμόσυνον Γέννησιν. Καὶ εὐθὺς, μετὰ τὸν ἕνα τοῦτον, εἶδον καὶ ἤκουσαν ὁλόκληρον στρατιὰν οὐρανίων Δυνάμεων, ὑμνούντων τὸν Θεὸν καὶ λεγόντων: Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία (Λουκ. β', 8-24).

## Πάσχα, Ἀργία τριήμερος, καὶ Κατάλυσις εἰς πάντα, ἀπὸ τῆς σήμερον μέχρι τῆς Παραμονῆς τῶν Θεοφανείων.

### Ἀπολυτίκιον, Ἦχος δ'.

Ἡ Γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν, ἀνέτειλε τῷ κόσμῳ τὸ φῶς τὸ τῆς γνώσεως· ἐν αὐτῇ γὰρ οἱ τοῖς ἄστροις λατρεύοντες, ὑπὸ Ἀστέρος ἐδιδάσκοντο, σὲ

προσκυνεῖν τὸν Ἥλιον τῆς δικαιοσύνης, καὶ σὲ γινώσκειν ἐξ ὕψους Ἀνατολήν. Κύριε δόξα σοι.

Ἀπὸ γ'. Ὠδῆς, Ὑπακοή, Ἦχος πλ. δ'.

Τὴν ἀπαρχὴν τῶν ἐθνῶν ὁ οὐρανός σοι προσεκόμισε, τῷ κειμένῳ Νηπίῳ ἐν φάτνῃ, δι' Ἀστέρος τοὺς Μάγους καλέσας· οὓς καὶ κατέπληττεν οὐ σκῆπτρα καὶ θρόνοι, ἀλλ' ἐσχάτη πτωχεία· τί γὰρ εὐτελέστερον σπηλαίου; τί δὲ ταπεινότερον σπαργάνων, ἐν οἷς διέλαμψεν ὁ τῆς Θεότητός σου πλοῦτος; Κύριε δόξα σοι.

Ἀφ' ἕκτης Ὠδῆς, Κοντάκ. Ἦχος γ'. Αὐτόμελον.

Ἡ Παρθένος σήμερον, τὸν ὑπερούσιον τίκτει, καὶ ἡ γῆ τὸ σπήλαιον, τῷ ἀπροσίτῳ προσάγει. Ἄγγελοι μετὰ Ποιμένων δοξολογοῦσι· Μάγοι δὲ μετὰ Ἀστέρος ὁδοιποροῦσι· δι' ἡμᾶς γὰρ ἐγεννήθη Παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.

Ϟ 26. Ἡ Σύναξις τῆς ὑπεραγίας Θεοτόκου· καὶ τοῦ ἁγίου Ἱερομάρτυρος Εὐθυμίου, ἐπισκόπου Σάρδεων.

Ἡ Σύναξις αὕτη, ὅ ἐστι συνάθροισις ἡμῶν εἰς δοξολογίαν τῆς Θεοτόκου, γίνεται κατὰ χρέος ἰδικώτερον πρὸς αὐτὴν, ὡς τεκοῦσαν ὑπερφυῶς τὸν Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ, καὶ γενομένην ὄργανον τῆς τῶν ἀνθρώπων σωτηρίας — Ὁ δὲ Θεῖος Εὐθύμιος ἤκμασε κατὰ τὸν καιρὸν τῆς Οἰκουμενικῆς Ζ'. Συνόδου, εἰς ἣν καὶ ἐπαρουσίασε, τῷ 787 ἔτει συγκροτηθεῖσαν ἐν Νικαίᾳ τοδεύτερον. Διὰ δὲ τὴν τῶν ἁγίων Εἰκόνων προσκύνησιν ἐξωσθεὶς τοῦ θρόνου αὐτοῦ, καὶ δεσμὰ καὶ μάστιγας ὑπομείνας, ἐτελεύτησε μαρτυρικῶς ἔν τινι τῆς Βιθυνίας ἀκρωτηρίῳ, Ἀκρίτᾳ καλουμένῳ, ὅπου ἐξωρίσθη ὑπὸ Μιχαὴλ τοῦ Τραυλοῦ, βασιλεύσαντος ἀπὸ τοῦ 820-829 ἔτους.

Ἀπολυτίκιον τῆς Ἑορτῆς. Ἡ Γέννησίς σου Χριστέ.

Κοντάκιον, Ἦχος πλ. β'.

Ὁ πρὸ ἑωσφόρου ἐκ Πατρὸς ἀμήτωρ γεννηθεὶς, ἐπὶ τῆς γῆς ἀπάτωρ ἐσαρκώθη σήμερον ἐκ σοῦ· ὅθεν Ἀστὴρ εὐαγγελίζεται Μάγοις, Ἄγγελοι δὲ μετὰ Ποιμένων ὑμνοῦσι τὸν ἄσπορον τόκον σου, ὦ Κεχαριτωμένη.

ΕΙΔΗΣΙΣ.

Ἀπὸ τῆς 26 τοῦ παροντος μηνὸς ἕως τέλους αὐτοῦ, ἐν ᾗ ἂν ἡμέρᾳ τύχῃ Κυριακὴ, ἐπιτελοῦμεν τὴν μνήμην τῶν ἁγίων, Ἰωσὴφ

Δημόσια Κεντρική Βιβλιοθήκη Λήξουρίου - Μουσείο Γεωργικών Δραστηριοτήτων

τοῦ Μνήστορος τῆς Παρθένου, Δαυὶδ τοῦ Προφήτου καὶ Βασιλέως, καὶ Ἰακώβου τοῦ Ἀδελφοθέου· μὴ τυχούσης δέ Κυριακῆς ἐν ταῖς ἡμέραις ταύταις, ἐπιτελοῦμεν αὐτὴν τῇ 26.

Ἦν δὲ ὁ Ἰωσὴφ υἱὸς μὲν Ἰακὼβ, γαμβρὸς δὲ, καὶ ἑπομένως υἱὸς πάλιν τοῦ Ἠλεὶ (ὅς τις καὶ Ἐλιακεὶμ καὶ Ἰωακεὶμ καλεῖται), καὶ ἔστιν ὁ τῆς Παρθένου Μαρίας πατὴρ· (Ματθ. α, 16. Λουκ. γ, 23) ἐκ φυλῆς Ἰούδα, ἐκ τῆς οἰκογενείας τοῦ Δαυὶδ, κάτοικος τῆς Ναζαρὲτ, τέκτων τὴν τέχνην, καὶ γέρων τὴν ἡλικίαν, ὅτε τὴν Παρθένον ἐμνηστεύθη, κατ' εὐδοκίαν Θεοῦ, ἵνα, εἰς τὸ μέγα τῆς ἐνσάρκου αὐτοῦ οἰκονομίας Μυστήριον, ὑπηρετήσῃ αὐτῇ. Ἐτελεύτησε δὲ, κατὰ τὴν παράδοσιν τῶν Πατέρων, μετὰ τὸ δωδέκατον ἔτος, τὸ ἀπὸ τῆς τοῦ Κυρίου Γεννήσεως — Ὁ δὲ Θεόπαις καὶ Θεοπάτωρ Δαυὶδ, ὁ μέγας Προφήτης μετὰ τὸν Προφήτην Μωϋσῆν, καὶ πρῶτος μετ' ἐκεῖνον προφητείαν συγγράψας, ἀπόγονος ὢν τοῦ Ἰούδα, ὑπῆρχεν υἱὸς Ἰεσσαὶ, γεννηθεὶς ἐν Βηθλεὲμ, (ἥτις καὶ Πόλις Δαυὶδ ὠνομάσθη ἐκ τούτου) τῷ 1085 πρὸ Χριστοῦ. Μειράκιον ἔτι ὢν, ἐχρίσθη μυστικῶς ὑπὸ τοῦ Προφήτου Σαμουὴλ, κατ' ἐπιταγὴν τοῦ Θεοῦ, Βασιλεὺς τῶν Ἰσραηλιτῶν δεύτερος, ζῶντος μὲν ἔτι τοῦ Σαοὺλ, ἐξερημένου δὲ ἤδη τῆς θείας χάριτος. Τῷ 30 ἔτει τῆς ἡλικίας αὐτοῦ, φονευθέντος ἐκείνου ἐν πολέμῳ, ἐκλεχθεὶς εἰς τὸ βασιλικὸν ἀξίωμα, πρῶτον μὲν ὑπὸ μόνης τῆς ἑαυτοῦ φυλῆς, εἶτα καὶ ὑπὸ παντὸς τοῦ Ἰσραηλιτικοῦ λαοῦ, ἐβασίλευσε 40 ἔτη· καὶ ζήσας τὰ πάντα 70, ἐτελεύτησε τῷ 1015 πρὸ Χριστοῦ, ἀναγορεύσας πρότερον τὸν υἱὸν αὐτοῦ Σωλομῶντα τοῦ θρόνου διάδοχον.

Τὴν ἐνοικήσασαν αὐτῷ πνευματικὴν χάριν ἐκ νεότητος, τὰς ἐφ' ὅρου ζωῆς ἡρωϊκὰς καὶ εὐσεβεῖς αὐτοῦ πράξεις, τὰ ἀνθρώπινα αὐτοῦ παραπτώματα, καὶ τὴν διὰ ταῦτα παραδειγματικὴν αὐτοῦ μετάνοιαν πρὸς Θεὸν, διηγεῖται ἀκριβῶς ἡ ἱερὰ ἱστορία. Τὸ ἐναρμόνιον αὐτοῦ Ψαλτήριον, ὅπερ ἡ θεία χάρις, μίξασα τὴν ὠφέλειαν σὺν τῇ ἡδονῇ τῆς μελῳδίας, προτέθεικεν εἰς τοὺς ἀνθρώπους διδασκαλίαν τριπόθητον καὶ ἀξιεράστον· δι' οὗ προσευχόμενοι ἡμέρας καὶ νυκτὸς, καὶ ὁμοθυμαδὸν καὶ καταμόνας, ὑμνοῦμεν τὸν τῶν ὅλων Θεὸν, καὶ τὰ τῆς ψυχῆς καὶ τοῦ σώματος καταπραΰνομεν πάθη· ἐν ᾧ περιέχεται καὶ τῶν γεγενημένων τοῦ Θεοῦ εὐεργεσιῶν εὐχαριστήριος μνήμη, καὶ προρρήσεις τῶν μελλόντων ἐκφαντικώταται, καὶ λόγοι οὐ μόνον προφητικοὶ, ἀλλὰ καὶ ἱστορικοὶ, καὶ φυσιολογικοὶ, καὶ νουθετικοὶ, καὶ παραμυθητικοὶ, καὶ νομοθετικοὶ, καὶ διδασκαλία ἠθικὴ, θεολογικὴ, δογματικὴ, καὶ πάσης σοφίας πνευματικῆς ποικίλον τι καὶ πάγχρηστον ἄθροισμα· ταῦτα πάντα εἰσὶ γνωστὰ εἰς τοὺς μετὰ προσοχῆς ἀναγινώσκοντας τὴν Θεόπνευστον ταύτην βίβλον. Τὸ δὲ ὄνομα αὐτοῦ, Δαυὶδ, ὅπερ Ἑλληνιστὶ μεθερμηνεύεται, Ἠγαπημένος, λαμβάνεται πολλάκις παρὰ τῇ θείᾳ Γραφῇ εἰς τύπον τοῦ Χριστοῦ, ἢ καὶ τῶν πιστῶν βασιλέων ἐνίοτε — Περὶ δὲ Ἰακώβου τοῦ Ἀδελφοθέου, ὅρα εἰς τὴν 23 Ὀκτωβρίου.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

✠ Κυριακὴ μετὰ τὴν Χριστοῦ Γέννησιν. ✠

Ἀπολυτ. Ἀναστάσιμον· καὶ τῶν Ἁγίων, Ἦχος β΄.

Εὐαγγελίζου Ἰωσὴφ, τῷ Δαυῒδ τὰ θαύματα τῷ θεοπάτορι· Παρθένον εἶδες κυοφορήσασαν, μετὰ Ποιμένων ἐδοξολόγησας, μετὰ τῶν Μάγων προσεκύνησας, δι' Ἀγγέλου χρηματισθείς. Ἱκέτευε Χριστὸν τὸν Θεὸν, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Εὐφροσύνης σήμερον, Δαυῒδ πληροῦται ὁ θεῖος, Ἰωσὴφ τε αἴνεσιν, σὺν Ἰακώβῳ προσφέρει· ζέφος γὰρ τῇ συγγενείᾳ Χριστοῦ λαβόντες, χαίρουσι, καὶ τὸν ἀφράστως ἐν γῇ τεχθέντα, ἀνυμνοῦσι καὶ βοῶσιν: Οἰκτίρμον, σῶζε τοὺς σὲ γεραίροντας.

✠ 27. Τοῦ ἁγίου Πρωτομάρτυρος καὶ Ἀρχιδιακόνου Στεφάνου· καὶ τοῦ ὁσίου Πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Θεοδώρου τοῦ Γραπτοῦ.

Ὁ μὲν Στέφανος ἦν Ἰουδαῖος τὸ γένος, μαθητὴς Γαμαλιὴλ τοῦ νομοδιδασκάλου, ὡς λέγουσι τινες, πρῶτος τῶν Ἑπτὰ Διακόνων, οὓς κατέστησαν οἱ Ἀπόστολοι ἐν Ἱεροσολύμοις, εἰς τὴν τῶν πτωχῶν ἐπιμέλειαν, καὶ τὴν εἰς αὐτοὺς διανομὴν τῶν ἐλεημοσυνῶν· ἀνὴρ πλήρης πίστεως καὶ Πνεύματος ἁγίου, καὶ ποιῶν σημεῖα καὶ τέρατα μεγάλα ἐν τῷ λαῷ. Διαλεγόμενος δὲ πρὸς τοὺς Ἰουδαίους περὶ τοῦ Ἰησοῦ, καὶ πᾶσαν ἀντιλογίαν αὐτῶν διαλύων οὕτω σοφῶς, ὥστε οὐδεὶς ἠδύνατο ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι, ᾧ ἐλάλει, συκοφαντεῖται ὡς βλάσφημος, καὶ σύρεται εἰς τὸ συνέδριον τῶν πρεσβυτέρων· ἐν ᾧ μετὰ παῤῥησίας ἀποδείξας ἐκ τῶν θείων Γραφῶν τὴν ἔλευσιν τοῦ δικαίου (Ἰησοῦ), οὗ τινος αὐτοὶ προδόται καὶ φονεῖς ἐγένοντο, ἤλεγξε τὴν ἀπιστίαν αὐτῶν καὶ σκληροκαρδίαν. Καὶ τελευταῖον, ἀτενίσας εἰς τὸν οὐρανὸν, καὶ θείαν δόξαν θεασάμενος, εἶπεν: Ἰδοὺ θεωρῶ τοὺς οὐρανοὺς ἀνεῳγμένους, καὶ τὸν Υἱὸν τοῦ ἀνθρώπου ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ. Οἱ δὲ ταῦτα ἀκούσαντες, ἔφραξαν τὰ ὦτα, καὶ μεθ' ὁρμῆς ἐκβαλόντες ἔξω τῆς πόλεως, ἐλιθοβόλουν αὐτὸν, ἐπικαλούμενον καὶ λέγοντα: Κύριε Ἰησοῦ, δέξαι τὸ πνεῦμά μου. Εἶτα τὴν ἀνεξικακίαν τοῦ Δεσπότου μιμούμενος, κλίνας τὰ γόνατα, προσηύξατο μεγαλοφώνως ὑπὲρ τῶν λιθαζόντων αὐτὸν, λέγων: Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. Καὶ τοῦτο εἰπὼν, ἐκοιμήθη τῷ 36 ἔτει (Πράξ. ε΄. ζ΄.) γενόμενος πρῶτος τῶν Μαρτύρων τῆς Ἐκκλησίας τοῦ Χριστοῦ. — Περὶ δὲ τοῦ ἁγίου Θεοδώρου ὅρα εἰς τὴν 11 Ὀκτωβρίου.

ΑΠΟΘΕΤΗΡΙΟ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ιστορική Βιβλιοθήκη Μουσείο Κυπριακών Εικονισμάτων

Ἀπολυτίκιον, Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Βασίλειον διάδημα ἐστέφθη σὴ κορυφή, ἐξ ἄθλων ὧν ὑπέμεινας ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, Μαρτύρων Πρωτόαθλε· σὺ γὰρ τὴν Ἰσδαίων ἀπελέγξας μανίαν, εἶδες σοῦ τὸν Σωτῆρα, τοῦ Πατρὸς δεξιόθεν. Αὐτὸν οὖν ἐκδυσώπει ἀεί, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Κοντάκιον Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Ὁ Δεσπότης χθὲς ἡμῖν, διὰ σαρκὸς ἐπεδήμει, καὶ ὁ δοῦλος σήμερον, ἀπὸ σαρκὸς ἐξεδήμει· χθὲς μὲν γάρ, ὁ βασιλεύων σαρκὶ ἐτέχθη, σήμερον δὲ, ὁ οἰκέτης λιθοβολεῖται, δι' αὐτὸν καὶ τελειοῦται, ὁ Πρωτομάρτυς καὶ θεῖος Στέφανος.

✠ 28. Τῶν ἁγίων Δισμυρίων Μαρτύρων, τῶν ἐν Νικομηδείᾳ καέντων.

Οὗτοι πάντες κατεκαύθησαν ζῶντες τῷ 303 ἔτει, ἐν τοῖς χρόνοις Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, συναγμένοι ὄντες ἐν Ἐκκλησίᾳ, κατὰ τὸν Συναξαριστὴν, τὴν ἡμέραν τῆς Χριστοῦ Γεννήσεως, εἴκοσι χιλιάδες τὸν ἀριθμόν. Ὁ δὲ Εὐσέβιος (Ἱστορ. Ἐκκλ. Βιβλ. ἡ. 6) λέγει ὅτι, τῶν ἐν Νικομηδείᾳ τότε Χριστιανῶν, διὰ προστάγματος βασιλικοῦ, παγγενεῖ σωρηδὸν οἱ μὲν ξίφει κατεσφάττοντο, οἱ δὲ διὰ πυρὸς ἐτελειοῦντο· καὶ ὅτι, θείᾳ τινὶ καὶ ἀνεκδιηγήτῳ προθυμίᾳ ἄνδρες ὁμοῦ καὶ γυναῖκες πηδῶντες ἐρρίπτοντο εἰς τὸ πῦρ.

Ἀπολυτίκιον, Ἦχος β'.

Ἀθλοφόροι Κυρίου, μακαρία ἡ γῆ, ἡ πιανθεῖσα τοῖς αἵμασιν ὑμῶν, καὶ ἅγιαι αἱ σκηναί, αἱ δεξάμεναι τὰ πνεύματα ὑμῶν· ἐν ταδίῳ γὰρ τὸν ἐχθρὸν ἐθριαμβεύσατε, καὶ Χριστὸν μετὰ παῤῥησίας ἐκηρύξατε. Αὐτὸν ὡς ἀγαθὸν ἱκετεύσατε, σωθῆναι δεόμεθα τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος ά. Τὸν τάφον σου Σωτήρ.

Στρατὸς ἐν ἀριθμῷ, Δυσμυρίων Μαρτύρων, ὡς ἄδυτος φωσὴρ, ἀνατέλλει φωτίζων, καρδίας καὶ νοήματα, εὐσεβῶν διὰ πίστεως· ἐξαφθέντες γὰρ, θείᾳ στοργῇ τοῦ Δεσπότου, τέλος ἅγιον, διὰ πυρὸς οἱ γενναῖοι, προθύμως ἐδέξαντο.

✠ 29. Τῶν ἁγίων Νηπίων, τῶν ἐν Βηθλεὲμ ὑπὸ Ἡ-

ΔΗΜΟΣΙΕΥΣΙΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λήξουρίου - Μουσείο Τυπάδων Ιακωβάτων

ρώδου ἀναιρεθέντων, χιλιάδων ὄντων δεκατεσσάρων· καὶ τοῦ ὁσίου Πατρὸς ἡμῶν Μαρκέλλου, ἡγουμένου τῆς μονῆς τῶν Ἀκοιμήτων.

Ὁ Βρεφοκτόνος οὗτος Ἡρῴδης ἦν ὁ αὐτὸς, ὁ καὶ ἐπὶ τῆς Χριστοῦ Γεννήσεως. Ἐπὶ τῶν ἡμερῶν ἐκείνων Μάγοι τινὲς, ὅ ἐστιν ἄνδρες σοφοὶ καὶ μεγιστᾶνες, τυχὸν δὲ καὶ βασιλεῖς, κινηθέντες ἀπὸ τῆς Περσίας, ἢ Μεσοποταμίας, ἢ ἄλλου τινὸς πλησιοχώρου τόπου, ἦλθον εἰς τὰ Ἱεροσόλυμα, ζητοῦντες τὸν τεχθέντα Βασιλέα τῶν Ἰουδαίων, καὶ λέγοντες, ὅτι εἰς τὴν Ἀνατολὴν, ὅπου ἡ πατρὶς αὐτῶν ἦτο, ἐφάνη πρὸ δύο ἐτῶν ἀσυνήθης καὶ παράδοξος ἀστὴρ, ὅς τις, κατά τινα παλαιὸν χρησμὸν (Ἀριθμ. κδ', 17), ἐσήμαινε τὴν γέννησιν μεγάλου τῶν Ἰουδαίων βασιλέως· "διὸ, τὸν δρόμον τοῦ ἀστέρος τούτου ἀκολουθοῦντες, ἤλθομεν, εἶπον, εἰς προσκύνησιν αὐτοῦ". Ταῦτα ἀκούσας ὁ Ἡρῴδης ἐταράχθη, καὶ πᾶσα ἡ πόλις μετ' αὐτοῦ. Εἶτα, ἐρωτήσας καὶ πληροφορηθεὶς παρὰ τῶν Ἀρχιερέων καὶ Γραμματέων τοῦ λαοῦ, ὅτι ὁ Χριστὸς, κατὰ τὰς προφητείας, ἔμελλε γεννηθῆναι ἐν Βηθλεὲμ, ἔπεμψεν ἐκεῖ τοὺς Μάγους, παραγγείλας αὐτοῖς ἵνα, ὅταν εὕρωσι τὸ παιδίον, μηνύσωσι καὶ εἰς αὐτὸν, ὅπως, λέγει, κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ. Οἱ Μάγοι ὅμως, μετὰ τὴν προσκύνησιν, κατὰ θείαν ἐπιταγὴν, δι' ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν. Τότε θυμωθεὶς ὁ Ἡρῴδης, ἀποστείλας ἐθανάτωσε πάντα τὰ νήπια τῆς Βηθλεὲμ καὶ τῶν περιχώρων αὐτῆς, ἀπὸ δύο ἐτῶν καὶ κατωτέρω, νομίζων ὅτι μετ' ἐκείνων ἐθανατοῦτο βέβαια καὶ ὁ τεχθεὶς Βασιλεύς· ἀλλ' ἐνεπαίχθη ὁ μάταιος καὶ θεομάχος· καθότι τὸ παιδίον ὁ Ἰησοῦς, μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ, ὑπὸ τὴν ἐπιστασίαν τοῦ Μνήστορος Ἰωσὴφ, ἔφυγον εἰς Αἴγυπτον, ἐκ παραγγελίας Ἀγγέλου. Καὶ τὰ μὲν ἀθῶα ἐκεῖνα νήπια ἐγένοντο ὑπὲρ Χριστοῦ τὰ πρῶτα μαρτυρικὰ σφάγια· ὁ δὲ αἱμοβόρος αὐτῶν δήμιος καὶ τοῦ Χριστοῦ ὁ διώκτης, εἰς ὑδρωπικίαν περιπεσὼν μετ' ὀλίγον, καὶ ὅλος σαπεὶς, καὶ σκώληκας ἐκβράσας ἀπὸ τοῦ σώματος, κατέστρεψεν ἐλεεινῶς τὴν ζωήν.

Ὁ δὲ Μάρκελλος ὑπῆρχεν ἐκ πόλεως Ἀπαμείας τῆς κατὰ Συρίαν, ἐκ γένους περιφανοῦς, ἀρετῇ καὶ παιδείᾳ κεκοσμημένος, διαδεχθεὶς τὸν ἅγιον Ἀλέξανδρον, περὶ τὸ 430 ἔτος, εἰς τὴν ἡγουμενίαν τῆς τῶν Ἀκοιμήτων μονῆς. Ἡ δὲ μονὴ αὕτη ἐκλήθη οὕτω, διότι οἱ ἐν αὐτῇ Μοναχοὶ, εἰς τρεῖς τάξεις διῃρημένοι, καὶ ἐκ διαδοχῆς ἀλλασσόμενοι εἰς τὴν περίοδον τῆς ἡμερονυκτίου Ἀκολουθίας, ἀνέπεμπον ἀκαταπαύστως τὸν ὕμνον εἰς τὸν Θεὸν, μηδεμιᾶς διακοπῆς γινομένης. Ἀρχηγὸς δὲ τοῦ συστήματος τούτου ὑπῆρξεν ὁ εἰρημένος Ἀλέξανδρος, ὡς λέγει περὶ αὐτοῦ ὁ ἀμφοτέρων τὸν βίον συγγραψάμενος· "Ὕστερον δὲ καὶ πρὸς αὐτῷ τοῦ Πόντου τῷ στόματι στερεὸν ἵδρυται φροντιστήριον, καὶ νόμον εἰσάγει καινὸν μὲν, ἀλλὰ τῶν ἁπανταχοῦ κάλλιστον, μηδέποτε τῶν εἰς Θεὸν ὕμνων τὸ συνεχὲς διακόπτεσθαι· ἀλλὰ

τῇ κατὰ διαδοχὴν τῶν λειτουργούντων ὑπαλλαγῇ, τὴν ἀσίγητον ταύτην καὶ ἄπαυστον τῷ Δεσπότῃ περιποιεῖσθαι δοξολογίαν„.

**Ἀπολυτίκιον. Τὰς ἀληθόνας τῶν Ἁγίων. Καὶ τοῦ Ὁσίου, Ἦχος πλ. δ'.**

Ἐν σοὶ Πάτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα· λαβὼν γὰρ τὸν σταυρὸν, ἠκολούθησας τῷ Χριστῷ, καὶ πράττων ἐδίδασκες, ὑπερορᾶν μὲν σαρκὸς, παρέρχεται γάρ· ἐπιμελεῖσθαι δὲ ψυχῆς πράγματος ἀθανάτου· διὸ καὶ μετὰ Ἀγγέλων συναγάλλεται, ὅσιε Μάρκελλε τὸ πνεῦμά σου.

**Κοντάκιον τῶν Ἁγίων, Ἦχος πλ. β. Τὴν ὑπὲρ ἡμῶν.**

Ἐν τῇ Βηθλεὲμ τεχθέντος τοῦ Βασιλέως, ἐξ Ἀνατολῶν σὺν δώροις ἥκασι Μάγοι, δι' Ἀσέρος ἐξ ὕψους ὁδηγούμενοι· ἀλλ' Ἡρῴδης ἐκταράσσεται, καὶ θερίζει τὰ Νήπια, ὥσπερ σῖτον, ὀδυρόμενος, ὅτι τὸ κράτος αὐτοῦ καθαιρεῖται ταχύ.

**✠ 30. Τῆς ἁγίας Ὁσιομάρτυρος Ἀνυσίας.**

Ὑπῆρχεν ἐκ Θεσσαλονίκης, θυγάτηρ γονέων εὐσεβῶν καὶ πλουσίων, ἐν παρθενίᾳ τὸν βίον διάγουσα μετὰ τὸν θάνατον αὐτῶν, καὶ ἐν ἔργοις ἀγαθοῖς τὸν Θεὸν θεραπεύουσα. Ἐν δὲ τοῖς χρόνοις Μαξιμιανοῦ, συλληφθεῖσα ὑπό τινος στρατιώτου, ἠνίκα εἰς τὴν Ἐκκλησίαν ἀπήρχετο, καὶ ἐπὶ τοὺς τῶν εἰδώλων βωμοὺς ὑπ' αὐτοῦ συρομένη, ἐνέπτυσεν αὐτῷ εἰς τὸ πρόσωπον, τὸν Χριστὸν ὁμολογοῦσα. Ὁ δὲ θυμοῦ πλησθεὶς, καὶ εἰς τὴν πλευρὰν αὐτῆς τὸ ξίφος ἐμπήξας, ἀπέκτεινε τῷ 298 ἔτει.

Σήμερον συμψάλλεται καὶ ἡ τῆς ἁγίας Μελάνης Ἀκολουθία, διὰ τὸ ἀποδίδοσθαι αὔριον τὴν τῆς Χριστοῦ Γεννήσεως Ἑορτήν.

**✠ 31. Τῆς ὁσίας Μελάνης τῆς Ῥωμαίας.**

Αὕτη ἦν δέσποινα εὐγενὴς, πλουσιωτάτη, καὶ περίδοξος, ἐκ γένους ὑπάτων τῆς Ῥώμης καταγομένη. Ἀποθανόντος δὲ τοῦ ἀνδρὸς, καὶ ἐκ τῶν τέκνων αὐτῆς δύο, ἀπῆλθεν εἰς Αἴγυπτον, πρὸς ἐπίσκεψιν τῶν κατὰ τὸ ὄρος τῆς Νιτρίας μοναστῶν· διεσκόρπισε τὸν πλοῦτον αὐτῆς εἰς τοὺς ἐκεῖ δεομένους, καὶ τοὺς τῆς πίστεως ὁμολογητὰς, ὑπὸ τῶν Ἀρειανῶν διωκομένους, ἐξ ὧν ἔθρεψε 5000 εἰς τρεῖς ἡμέρας. Εἶτα, ἐξορισθέντων αὐτῶν εἰς Παλαιστίνην, ἀπελθοῦσα καὶ αὐτὴ εἰς Ἱεροσόλυμα, καὶ παρθενῶνα ἐξ ἰδίων ἀναλωμάτων κτίσασα, ἐτελεύτησεν ὁσίως ἐν αὐτῷ, περὶ τὸ 410 ἔτος.

Ὑπῆρχε καὶ ἑτέρα τις Μελάνη, ἐγγόνη τῆς ἀνωτέρω, ἐκ τοῦ υἱοῦ

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Απομονώνων
Μουσείο Τυπικῶν Ἰακωβάτων

αὐτῆς Πουβλικόλα, ἐπάρχου τῆς Ῥώμης χρηματίσαντος, γεννηθεῖσα τῷ 388 ἔτει· ἥτις συζευχθεῖσα ἀνδρὶ, καὶ δύο τέκνων γενομένη μήτηρ, ἀπώλεσε μετ' ὀλίγον ἀμφότερα. Διὸ καὶ συμφωνήσασα μετὰ τοῦ ἀνδρὸς, ἵνα τοῦ λοιποῦ ἐν ἐγκρατείᾳ καὶ ἁγνείᾳ διαβιώσωσι, καὶ τὴν μητέρα αὐτῆς Ἀλβίνην συμπαραλαβοῦσα, ἀπῆλθον Εἰς Ἀφρικὴν, ὅπου εἶδον καὶ τὸν ἱερὸν Αὐγουστῖνον· ἠλευθέρωσαν 8000 αἰχμαλώτων· ἔκτισαν ἐν τῇ πόλει Ταγάστῃ, τῇ ἐν τῇ σατραπείᾳ τῆς Τυνίδος (Τούνεζι) δύο Μοναστήρια, τὸ μὲν εἰς ἀνδρῶν, τὸ δὲ εἰς γυναικῶν ἡσυχαστήριον· καὶ μετὰ ἓξ ἔτη μετῴκησαν εἰς Ἱερουσαλήμ. Ἡ δὲ Μελάνη ἐγκλεισθεῖσα εἰς οἰκίσκον στενώτατον κατὰ τὸ Ὄρος τῶν Ἐλαιῶν, καὶ νηστείαις καὶ ἀγρυπνίαις ἑαυτὴν κατατήξασα, ἐτελεύτησε τῷ 434 ἔτει. Τὰς δύο ταύτας φαίνεται ὅτι συνῆψεν εἰς μίαν ὁ συγγραφεὺς τοῦ Συναξαριστοῦ.

Ἐν ταύτῃ τῇ ἡμέρᾳ ἀποδίδοται τῆς Χριστοῦ Γεννήσεως ἡ Ἑορτὴ, καὶ ψάλλονται πάντα τὰ αὐτῆς.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΜΗΝ ΙΑΝΟΥΑΡΙΟΣ.

Ἔχων ἡμέρας 31. Ἡ ἡμέρα ἔχει ὥρας 10. καὶ ἡ νὺξ ὥρας 14.

## Η ΠΕΡΙΤΟΜΗ ΤΟΥ ΧΡΙΣΤΟΥ.



✠ 1. Ἡ κατὰ Σάρκα Περιτομὴ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ μνήμη τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας, τοῦ Μεγάλου.

Ἐπειδὴ ὁ Μωσαϊκὸς νόμος διατάσσει, ἵνα, ἐάν τις γυνὴ τέκῃ σσεν, περιτέμῃ τὴν σάρκα τῆς ἀκροβυστίας αὐτοῦ τῇ ὀγδόῃ ἡμέρᾳ (Λευϊτ. ιβ'. 2-3), διὰ τοῦτο καὶ ὁ Σωτὴρ ἡμῶν, κατὰ τὴν παροῦσαν ἡμέραν, ἥτις ἐστὶν ἡ ὀγδόη ἀπὸ τῆς Γεννήσεως αὐτοῦ, κατεδέχθη τὴν ὑπὸ τοῦ νόμου διατεταγμένην Περιτομὴν, καὶ ἔλαβε, κατὰ τὴν παραγγελίαν τοῦ Ἀγγέλου, τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ΙΗΣΟΥΣ, ὅτερ δηλοῖ, Σωτὴρ (Ματθ. α. 21. Λουκ. α. 31. καὶ β'. 21). Ταῦτα τοῦ Κυρίου ἡμῶν τὰ Ὀνομαστήρια ἑορτάζοντες σήμερον, ἀρχόμεθα ἀπ' αὐτῆς καὶ τοῦ Νέου Ἔτους, τοῦ ἀπὸ τῆς ἐνανθρωπήσεως αὐτοῦ. Ὁ δὲ μέγας Βασίλειος ἐγεννήθη περὶ τὰ τέλη τοῦ 329 ἔτους, ἐν Καισαρείᾳ τῆς Καππαδοκίας, ἐκ γένους περιφήμου εἰς τὴν παιδείαν καὶ ἁγιότητα, Βασιλείου καὶ Ἐμμελίας καλουμένων τῶν γονέων αὐτοῦ. Ἐμαθήτευσεν ἐν Κωνσταντινουπόλει ὑπὸ τὸν σοφιστὴν Λιβάνιον, εἶτα καὶ ἐν Ἀθήναις, ἐν αἷς καὶ τὴν πρὸς Γρηγόριον τὸν Ναζιανζηνὸν ἐποιήσατο φιλίαν. Ὑποστρέψας εἰς Καισάρειαν, ἀνεχώρησε μετ' ὀλίγον εἰς τὰ ἐν τῇ ἐπαρχίᾳ τοῦ Πόντου ἡσυχαστήρια, ἔνθα διέτριβον ἤδη ἀσκητικῶς ἡ μήτηρ αὐτοῦ, καὶ Μακρίνα ἡ ἀδελφή· ὅτε καὶ τοὺς Ἀσκητικοὺς αὐτοῦ συνέγραψε λόγους. Περὶ δὲ τὸ 370 ἔτος, ἀποθανόντος τοῦ τῆς πατρίδος αὐτοῦ ἐπισκόπου, ἐκλεχθεὶς τοῦ Ὅρους διάδοχος, ἐνεπιστεύθη τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν· ἣν καὶ πο-

μάνας 8 ἔτη, καὶ μάρτυς γενόμενος τῇ προαιρέσει, εἰς οὐδὲν λογισάμενος τὰς ἀπειλὰς τοῦ ἀρειανόφρονος βασιλέως Οὐάλεντος, καὶ τοῦ τῆς Ἀνατολῆς ἐπάρχου Μοδέστου, ἐξεδήμησε πρὸς Κύριον τῇ πρώτῃ Ἰανουαρίου, ἐν ἔτει 379. Ἡ σοφία καὶ πολυμάθεια, ἐξ ὧν γέμουσιν αὐτοῦ τὰ Συγγράμματα, δι' ὧν ἐδογμάτισε τὰ περὶ Θεοῦ, ἐτράνωσε τῶν ὄντων τὴν φύσιν, καὶ τὰ τῶν ἀνθρώπων ἤθη κατεκόσμησεν, ἔτι δὲ καὶ τοῦ λόγου αὐτοῦ ἡ μεγαλοπρέπεια καὶ δεινότης, ἐπέθηκαν αὐτῷ τὰ ἐπωνύμια, Οὐρανοφάντωρ, καὶ, Μέγας.

## Ἀργία, καὶ Κατάλυσις εἰς πάντα.

## Ἀπολυτίκιον τοῦ Ἁγίου, Ἦχος ά.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος σου, ὡς δεξαμένην τὸν λόγον σου· δι' οὗ θεοπρεπῶς ἐδογμάτισας, τὴν φύσιν τῶν ὄντων ἐτράνωσας, τὰ τῶν ἀνθρώπων ἤθη κατεκόσμησας. Βασίλειον ἱεράτευμα, Πάτερ ὅσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

## Τῆς Ἑορτῆς, Ἦχος ὁ αὐτός. Τὸ λίθου σφραγισθέντος.

Μορφὴν ἀναλλοιώτως, ἀνθρωπίνην προσέλαβες, Θεὸς ὢν κατ' οὐσίαν, πολυεύσπλαγχνε. Κύριε· ᾧ Νόμον ἐκπληρῶν περιτομὴν, θελήσει καταδέχῃ σαρκικὴν, ἵνα παύσῃς τὰ σκιώδη, καὶ περιέλῃς τὸ κάλυμμα τῶν παθῶν ἡμῶν. Δόξα τῇ ἀγαθότητι τῇ σῇ· δόξα τῇ εὐσπλαγχνίᾳ σου· δόξα τῇ ἀνεκφράστῳ Λόγε συγκαταβάσει σου.

## Κοντάκιον τοῦ Ἁγίου, Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ὤφθης βάσις ἄσειστος, τῇ Ἐκκλησίᾳ, νέμων πᾶσιν ἄσυλον, τὴν κυριότητα βροτοῖς, ἐπισφραγίζων σοῖς δόγμασιν, Οὐρανοφάντορ Βασίλειε ὅσιε.

## Τῆς Ἑορτῆς, Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Ὁ τῶν ὅλων Κύριος, Περιτομὴν ὑπομένει, καὶ βροτῶν τὰ πταίσματα, ὡς ἀγαθὸς περιτέμνει· δίδωσι τὴν σωτηρίαν σήμερον κόσμῳ· χαίρει δὲ ἐν τοῖς ὑψίστοις καὶ ὁ τοῦ Κτίστου, Ἱεράρχης καὶ φωσφόρος, ὁ θεῖος μύστης Χριστοῦ Βασίλειος.

✠ 2. **Προεόρτια τῶν Θεοφανείων· καὶ μνήμη τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Σιλβέστρου Πάπα Ῥώμης.**

Διεδέξατο τὸν Μιλτιάδην τῷ 314. ἔπεμψε τοποτηρητὰς αὐτοῦ εἰς τὴν ἐν Νικαίᾳ κατὰ τὸ 325 ἔτος συγκροτηθεῖσαν Α'. Οἰκουμενικὴν Σύνοδον· ἐτελεύτησε τῷ 335 ἔτει.

Ἀπολυτίκιον τοῦ Ἁγίου, Ἦχος δ'.

Κανόνα πίστεως, καὶ εἰκόνα πραότητος, ἐγκρατείας διδάσκαλον, ἀνέδειξέσε τῇ ποίμνῃ σε ἡ τῶν πραγμάτων ἀλήθεια· διὰ τοῦτο ἐκτήσω τῇ ταπεινώσει τὰ ὑψηλά, τῇ πτωχείᾳ τὰ πλούσια. Πάτερ Ἱεράρχα Σίλβεστρε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Προεόρτιον, Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Ἑτοιμάζου Ζαβουλὼν, καὶ εὐτρεπίζου Νεφθαλείμ· Ἰορδάνη ποταμὲ, στῆθι ὑπόδεξαι σκιρτῶν, τοῦ βαπτισθῆναι ἐρχόμενον τὸν Δεσπότην. Ἀγάλλου ὁ Ἀδὰμ σὺν τῇ Προμήτορι, μὴ κρύπτετε ἑαυτοὺς ὡς ἐν Παραδείσῳ τὸ πρίν· καὶ γὰρ γυμνοὺς ἰδὼν ὑμᾶς ἐπέφανεν, ἵνα ἐνδύσῃ τὴν πρώτην στολήν. Χριστὸς ἐφάνη, τὴν πᾶσαν κτίσιν, θέλων ἀνακαινίσαι.

Κοντάκιον τοῦ Ἁγίου, Ἦχος δ'. Ὁ ὑψωθείς.

Ἐν ἱερεῦσιν ἱερεὺς ἀνεδείχθης, τὸ Βασιλέως καὶ Θεοῦ θεοφόρε, τῶν ἀσκητῶν συνόμιλος γενόμενος· ὅθεν συναγάλλῃ νῦν, τοῖς χοροῖς τῶν Ἀγγέλων, Πάτερ εὐφραινόμενος, ἐν τοῖς ἐπουρανίοις. Σίλβεστρε Ῥώμ[illegible] δοξε ποιμὴν, σῶζε τοὺς πόθῳ τελοῦντας τὴν μνήμην σου.

Προεόρτιον, Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἐν τοῖς ῥείθροις σήμερον, τοῦ Ἰορδάνου, γεγονὼς ὁ Κύριος, τῷ Ἰωάννῃ ἐκβοᾷ: Μὴ δειλιάσῃς βαπτίσαι με· σῶσαι γὰρ ἦκω Ἀδὰμ τὸν Πρωτόπλαστον.

† 3. Τοῦ ἁγίου Προφήτου Μαλαχίου· καὶ τοῦ ἁγίου Μάρτυρος Γορδίου.

Ὁ μὲν Προφήτης ἦν ὁ τελευταῖος τῶν 12 Ἐλασσόνων, καὶ πάντων τῶν Προφητῶν τῆς παλαιᾶς Διαθήκης ὁ ἔσχατος. Προεφήτευσεν ἐν ἡμέραις Νεεμίου, ἀνδρὸς τῶν Ἰουδαίων σοφοῦ, καὶ οἰνοχόου χρηματίσαντος Ἀρταξέρξου τοῦ Μακρόχειρος, βασιλέως Περσῶν, ὃς ἐβασίλευσε τῷ 465-424 πρὸ Χριστοῦ. Ἡ προφητεία αὐτοῦ διαιρεῖται εἰς 4 κεφάλαια — Ὁ δὲ Μάρτυς ἦν ἐκ Καισαρείας τῆς Καππαδοκίας, ἑκατόνταρχος τὸ ἀξίωμα· ἤθλησε δὲ ἐπὶ Λικινίου, τῷ 314 ἔτει.

Δημόσια Κεντρική Βιβλιοθήκη Αλεξουπόλεως

Ἀπολυτίκιον Προεόρτιον· καὶ τοῦ Ἁγίου, Ἦχος δ'.

Ὁ Μάρτυς σου Κύριε, ἐν τῇ ἀθλήσει αὐτοῦ. Σελ. 222.

Κοντάκιον, Ἦχος πλ. δ'. Ὡς ἀπαρχὰς τῆς φύσεως.

Οἱ σοὶ ἱδρῶτες ἔνδοξε, τὴν πᾶσαν γῆν κατήρδευσαν, καὶ τοῖς τιμίοις σου αἵμασι Γόρδιε, τὸν κόσμον ἅπαντα εὔφρανας. Ταῖς εὐχαῖς σου θεόφρον, σῶσον πάντας τοὺς πίστει σοι ἀναμέλποντας, καὶ τιμῶντας ἀξίως, πανεύφημε ὡς πολύαθλος.

Τοῦ Προφήτου, Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Προφητείας χάρισμα, πλουτῶν Προφῆτα, τοῦ Χριστοῦ προήγγειλας, τὴν παρουσίαν ἐμφανῶς, καὶ τὸ τοῦ κόσμου σωτήριον· ὃ τῇ ἐλλάμψει, ὁ κόσμος πεφώτισαι.

✠ 4. Ἡ Σύναξις τῶν ἁγίων Ἑβδομήκοντα Ἀποστόλων· καὶ τοῦ ὁσίου Θεοκτίστου, τοῦ ἐν τῷ Κουκούμῳ τῆς Σικελίας Ἡγουμένου.

Ἀπολυτίκ. Προεόρτιον· καὶ τῶν Ἀποστόλων. Ἦχος γ'.

Ἀπόστολοι ἅγιοι, πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Κοντάκ. τῶν Ἀποστόλων, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Χριστοῦ μαθητῶν, χορὸν τῶν Ἑβδομήκοντα, ἐνθέως πιστοὶ, ἐν ὕμνοις εὐφημήσωμεν, καὶ πανηγυρίσωμεν· δι' αὐτῶν γὰρ πάντες ἐμάθομεν, Τριάδα σέβειν ἀμέριστον· καὶ ἔχομεν λύχνους θείας Πίστεως.

✠ 5. Τῶν ἁγίων Μαρτύρων Θεοπέμπτου, καὶ Θεωνᾶ· καὶ τῆς Ὁσίας Συγκλητικῆς.

Οἱ μὲν ἠθλησαν ἐπὶ Διοκλητιανοῦ, τῷ 290 ἔτει. Ἡ δὲ Συγκλητικὴ ἦν ἐκ τῆς ἐν Αἰγύπτῳ Ἀλεξανδρείας· ἔζησεν 83 ἔτη ἐν παρθενίᾳ καὶ ἀσκήσει· ἐχρημάτισεν ἀρχηγὸς καὶ διδάσκαλος πολλῶν παρθένων μοναζουσῶν· ἐφάνη εἰς τὰς γυναῖκας τοιαύτη, οἷος εἰς τοὺς ἄνδρας ὁ Μέγας Ἀντώνιος· καὶ γενομένη τύπος τῆς γυναικείας φύσεως πρὸς νέκρωσιν τῆς σαρκὸς, καὶ ὑπομονὴν ἐν ταῖς θλίψεσιν, ἐτελεύτησε περὶ τὰ μέσα τοῦ Δ'. αἰῶνος.

Παραμονὴ τῶν Θεοφανείων. Νηστεία, ἐὰν ᾖ ἄν ἡμέρα τύχῃ.

Ἀπολυτίκιον, Προεόρτιον, Ἦχος δ'.

Κατεπλάγη Ἰωσήφ.

Ἀπεστρέφετο ποτὲ, ὁ Ἰορδάνης ποταμὸς, τῇ μηλωτῇ Ἐλισσαιὲ, ἀναληφθέντος Ἠλιοὺ, καὶ διῃρεῖτο τὰ ὕδατα ἔνθεν καὶ ἔνθεν· καὶ γέγονεν αὐτῷ ξηρὰ ὁδὸς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λαρίσης - Μουσείο Τσιλιγκιρίδη Συλλογή

ἡ ὑγρὰ, εἰς τύπον ἀληθῶς τοῦ Βαπτίσματος, δι' οὗ ἡμεῖς τὴν ῥέουσαν, τοῦ βίου διαπερῶμεν διάβασιν. Χριστὸς ἐφάνη ἐν Ἰορδάνῃ, ἁγιάσαι τὰ ὕδατα.

## Η ΒΑΠΤΙΣΙΣ ΤΟΥ ΧΡΙΣΤΟΥ.



✠ 6. **Τὰ ἅγια Θεοφάνεια τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.**

Περὶ τὰς ἀρχὰς τοῦ 30 ἔτους τῆς ἡλικίας τοῦ Ἰησοῦ, Ἰωάννης ὁ Πρόδρομος, ὁ τὴν αὐτὴν σχεδὸν ἔχων ἡλικίαν, (ὡς μῆνας ἓξ μόνοι προγενέστερος τοῦ Ἰησοῦ) καὶ παιδιόθεν ἕως τότε διατρίβων ἐν τῇ ἐρήμῳ, λαβὼν πρόσταγμα παρὰ Θεοῦ, ἦλθεν εἰς τὰ περίχωρα τοῦ Ἰορδάνου, καὶ ἐκήρυττε βάπτισμα μετανοίας, εἰς ἄφεσιν ἁμαρτ[illegible]. Τότε καὶ ὁ Ἰησοῦς, ἐλθὼν ἀπὸ τῆς Γαλιλαίας ἐπὶ τὸν Ἰο[illegible] μέρ[illegible] ἐζήτησε, καὶ ἔλαβε παρὰ τοῦ δούλου ὁ Δεσπότης τὸ βάπτισμα, εἰς ὃ συνέβησαν τὰ παράδοξα ἐκεῖνα καὶ ὑπερφυῆ. Ἀνεῴχθησαν οἱ οὐρανοί· τὸ Πνεῦμα κατῆλθεν ἐπὶ τὸν βαπτιζόμενον ἐν εἴδει περιστερᾶς· καὶ φωνὴ ἠκούσθη ἐκ τῶν οὐρανῶν μαρτυροῦσα, ὅτι οὗτος ἦν ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ ἀγαπητὸς, ὁ ἐκεῖ τότε ὡς ἄνθρωπος Βαπτιζόμενος (Ματθ. γ'. Λουκ. ά. 26, 80. καὶ γ'. 1-23). Ἐκ τούτων ἀνεδείχθη τοῦ Ἰησοῦ ἡ Θεότης, καὶ τῆς Τριάδος τὸ μέγα μυστήριον· ἐκ τούτων καὶ ἡ παροῦσα ἑορτὴ ὀνομάζεται Θεοφάνεια, ἢ Θεοφάνια, ὅ ἐστι Θεοῦ φανέρωσις ἐν ἀνθρώποις. Ἀπὸ ταύτης τῆς σεβασμίου ἡμέρας χρονολογεῖται τὸ Βάπτισμα τῶν Χριστιανῶν· ἀπὸ ταύτης ἤρξατο καὶ τῆς βασιλείας τῶν οὐρανῶν τὸ σωτήριον κήρυγμα.

### Ἀργία, καὶ Κατάλυσις εἰς πάντα.

### Ἀπολυτίκιον, Ἦχος ά.

Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε, ἡ τῆς Τριάδος ἐφανερώθη προσκύνησις· τοῦ γὰρ Γεννήτορος ἡ φωνὴ προσεμαρτύρει σοι, ἀγαπητόν σε Υἱὸν ὀνομάζουσα, καὶ τὸ Πνεῦμα ἐν εἴδει περιστερᾶς, ἐβεβαίου τοῦ λο-

γου τὸ ἀσφαλές. Ὁ ἐπιφανεὶς Χριστὲ ὁ Θεὸς, καὶ τὸν κόσμον φωτίσας, δόξα σοι.

Ἀπὸ γ'. Ὠδὴ, Ὑπακοὴ, Ἦχος β'.

Ὅτε τῇ ἐπιφανείᾳ σου ἐφώτισας τὰ σύμπαντα, τότε ἡ ἁλμυρὰ τῆς ἀπιστίας θάλασσα ἔφυγε, καὶ Ἰορδάνης κάτω ῥέων ἐστράφη, πρὸς οὐρανὸν ἀνυψῶν ἡμᾶς. Ἀλλὰ τῷ ὕψει τῶν θείων ἐντολῶν σὸ, συντήρησον Χριστὲ ὁ Θεὸς, πρεσβείαις τῆς Θεοτόκου, καὶ σῶσον ἡμᾶς.

Ἀφ' ἑκτης, Κοντάκιον, Ἦχος δ'. Αὐτόμελον.

Ἐπεφάνης σήμερον τῇ οἰκουμένῃ, καὶ τὸ φῶς σου Κύριε, ἐσημειώθη ἐφ' ἡμᾶς, ἐν ἐπιγνώσει ὑμνοῦντάς σε. Ἦλθες, ἐφάνης, τὸ φῶς τὸ ἀπρόσιτον.

✠ 7. Ἡ Σύναξις τοῦ ἁγίου ἐνδόξου Προφήτου Προδρόμου, καὶ Βαπτιστοῦ Ἰωάννου

Τὴν ἑορτάσιμον ταύτην Σύναξιν ἡμῶν ἐπιτελοῦμεν εἰς τιμὴν τοῦ πανιέρου Προδρόμου, ὡς ὑπουργήσαντος εἰς τὸ μυστήριον τοῦ Θείου Βαπτίσματος.

Ἀργία, καὶ ἰχθύος Κατάλυσις.

Ἀπολυτίκ. τῆς Ἑορτῆς καὶ τοῦ Προδρόμου, Ἦχος β'.

Μνήμη δικαίου μετ' ἐγκωμίων· σοὶ δὲ ἀρκέσει ἡ μαρτυρία τοῦ Κυρίου Πρόδρομε· ἀνεδείχθης γὰρ ὄντως καὶ Προφητῶν σεβασμιώτερος, ὅτι καὶ ἐν ῥείθροις βαπτίσαι κατηξιώθης τὸν κηρυττόμενον. Ὅθεν τῆς ἀληθείας ὑπεραθλήσας, χαίρων εὐηγγελίσω καὶ τοῖς ἐν Ἅιδῃ, Θεὸν φανερωθέντα ἐν σαρκὶ, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

Κοντάκιον, Ἦχος πλ. β'. Αὐτόμελον.

Τὴν σωματικήν σου παρουσίαν δεδοικὼς ὁ Ἰορδάνης, φόβῳ ἀπεστρέφετο· τὴν προφητικὴν δὲ λειτουργίαν ἐκπληρῶν ὁ Ἰωάννης, τρόμῳ ὑπεστέλλετο· τῶν Ἀγγέλων αἱ τάξεις ἐξεπλήττοντο, ὁρῶσαί σε ἐν ῥείθροις σαρκὶ βαπτιζόμενον· καὶ πάντες οἱ ἐν τῷ σκότει κατηυγάζοντο, ἀνυμνοῦντες σὲ τὸν φανέντα, καὶ φωτίσαντα τὰ πάντα.

✠ 8. Τῆς ὁσίας Μητρὸς ἡμῶν Δομνίκης· καὶ τοῦ ὁσίου Πατρὸς ἡμῶν Γεωργίου τοῦ Χοζεβίτου.

Δημόσια Κεντρική Βιβλιοθήκη Δημοσίου Κυπριακού Ινστιτούτου

Ἡ μὲν ἤσκησεν ἐν Κωνσταντινουπόλει, περὶ τὰ τέλη τοῦ Δ'. αἰῶνος, καταγομένη ἐκ Καρχηδόνος τῆς ἐν Ἀφρικῇ. Ὁ δὲ περὶ τὰς ἀρχὰς τοῦ Θ'. ἐν Παλαιστίνῃ, ἔν τινι μοναστηρίῳ, καλουμένῳ τοῦ Χοζεβᾶ.

## Ἀπολυτίκιον, καὶ Κοντάκιον τῆς Ἑορτῆς.

✠ 9. Τοῦ ἁγίου Μάρτυρος Πολυεύκτου.

Ἠθλησεν ἐπὶ Οὐαλεριανοῦ, τῷ 255 ἔτει, ἐκ Μελιτινῆς πόλεως τῆς Ἀρμενίας καταγόμενος, στρατιώτης τὴν τάξιν.

## Ἀπολυτίκιον τῆς Ἑορτῆς· καὶ τοῦ Ἁγίου, Ἦχος δ'.

Ὁ Μάρτυς σε Κύριε ἐν τῇ ἀθλήσει αὐτοῦ, τὸ στέφος ἐκομίσατο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· ἔχων γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλεν· ἔθραυσε καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση. Αὐτοῦ ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

## Κοντάκιον, Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Τοῦ Σωτῆρος κλίναντος, ἐν Ἰορδάνῃ, κεφαλὴν ἐθλάσθησαν, αἱ τῶν δρακόντων κεφαλαί· τοῦ Πολυεύκτου ἡ κάρα δὲ ἀποτμηθεῖσα τὸν δόλιον ἤσχυνεν.

## ✠ 10. Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου ἐπισκόπου Νύσσης· καὶ τοῦ ὁσίου Δομετιανοῦ, ἐπισκόπου Μελιτινῆς.

Οὗτος μὲν ἤκμασεν ἐν τοῖς χρόνοις Ἰουστινιανοῦ τοῦ Ῥινοτμήτου, βασιλεύσαντος τῷ 685 ἔτει — Ὁ δὲ Γρηγόριος ἦν ἀδελφὸς τοῦ Μεγάλου Βασιλείου νεώτερος, λαμπρὸς καὶ οὗτος ἐν τοῖς λόγοις, καὶ τῆς ὀρθοδόξου πίστεως ζηλωτής. Ἐγεννήθη τῷ 331 ἔτει· ἐγένετο ἐπίσκοπος τῷ 372. ἐξωρίσθη ὑπὸ τοῦ ἀρειανόφρονος Οὐάλεντος τῷ 374· ἀνεκλήθη εἰς τὸν θρόνον αὐτοῦ τῷ 378, ὑπὸ Θεοδοσίου τοῦ Μεγάλου· παρέστη εἰς τὴν ἐν Ἀντιοχείᾳ τοπικὴν Σύνοδον, ὑφ' ἧς ἀπεστάλη πρὸς ἐπίσκεψιν τῶν τῆς Ἀραβίας καὶ Παλαιστίνης Ἐκκλησιῶν, ὑπὸ τοῦ Ἀρειανισμοῦ μολυνομένων καὶ σπαραττομένων· ἐπαρουσίασεν ἔπειτα εἰς τὴν Β'. Οἰκουμενικὴν Σύνοδον, τῷ 381 ἐν Κωνσταντινουπόλει συγκροτηθεῖσαν· καὶ ζήσας τὰ πάντα ἔτη 65, καὶ καταλιπὼν πολλὰ καὶ ἀξιόλογα Συγγράμματα, ἐτελεύτησε τῷ 396 ἔτει, ἐπονομαζόμενος ὑπὸ πάντων, Πατὴρ Πατέρων.

## Ἀπολυτίκιον, Ἦχος δ'.

Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὁ ποιῶν ἀεὶ μεθ' ἡμῶν κατὰ τὴν σὴν ἐπιείκειαν, μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν· ἀλλὰ ταῖς αὐτῶν ἱκεσίαις ἐν εἰρήνῃ κυβέρνησον τὴν ζωὴν ἡμῶν.

ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΕΣ

Κοντακιον, Ἦχος β'. Τὴν ἐν πρεσβείαις.

Τῆς Ἐκκλησίας ὁ ἔνθεος Ἱεράρχης, καὶ τῆς σοφίας σεβάσμιος μυστολέκτης, Νύσσης ὁ γρήγορος νοῦς Γρηγόριος, ὁ σὺν Ἀγγέλοις χορεύων, καὶ ἐντρυφῶν τῷ θείῳ φωτὶ, πρεσβεύει ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

✠ 11. Τῷ ὁσίου Πατρὸς ἡμῶν Θεοδοσίου τοῦ Κοινοβιάρχου.

Ἦν Καππαδόκης τὴν πατρίδα· ἤκμασεν ἐπὶ τῶν χρόνων Λέοντος τοῦ Θρᾳκὸς, βασιλεύσαντος τῷ 457, ἕως περὶ τὰς ἀρχὰς τοῦ ς'. αἰῶνος· ἀνήγειρεν ἐκ θεμελίων εὐρυχωροτάτην μονὴν, ἐν ᾗ ποιμάνας πολλοὺς μοναχοὺς, καὶ ζήσας ἔτη 103, ἀνεπαύσατο ἐν εἰρήνῃ.

Κατάλυσις οἴνου καὶ ἐλαίου.

Ἀπολυτίκιον Ἦχος πλ. δ'.

Ταῖς τῶν δακρύων σου ῥοαῖς, τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας· καὶ τοῖς ἐκ βάθους στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας· καὶ γέγονας φωστὴρ, τῇ οἰκουμένῃ λάμπων τοῖς θαύμασι. Θεοδόσιε Πατὴρ ἡμῶν ὅσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Πεφυτευμένος ἐν αὐλαῖς παῖς τοῦ Κυρίου σου, τὰς σὰς ὁσίας ἀρετὰς τερπνῶς ἐξήνθησας, καὶ ἐπλήθυνας τὰ τέκνα σου ἐν ἐρήμῳ, τῶν δακρύων σου τοῖς ὄμβροις ἀρδευόμενα, ἀγελάρχα τῶν Θεοῦ θείων ἐπαύλεων· ὅθεν κράζομεν: Χαίροις Πάτερ Θεοδόσιε.

✠ 12. Τῆς ἁγίας Μάρτυρος Τατιανῆς.

Ὑπῆρχεν ἐκ Ῥώμης, θυγάτηρ πατρὸς ἐπισημοτάτου, Ὑπάτου τὸ ἀξίωμα· ἐγένετο τῆς Ἐκκλησίας διάκονος εἰς τὰ τῶν γυναικῶν· διὰ δὲ τὴν ὁμολογίαν τῆς πίστεως, ἤθλησεν ἐπὶ Ἀλεξάνδρου τῷ 218 ἔτει.

Ἀπολυτίκιον, καὶ Κοντάκιον τῆς Ἑορτῆς.

✠ 13. Τῶν ἁγίων Μαρτύρων Ἑρμύλου, καὶ Στρατονίκης.

Ἤθλησαν ἐπὶ Λικινίου, τῷ 314 ἔτει.

Συμψάλλεται σήμερον καὶ τῶν ὁσίων Πατέρων ἡ Ἀκολουθία, διὰ τὴν τῆς Ἑορτῆς ἀπόδοσιν ἐπὶ τὴν αὔριον.

Ἀπολυτίκιον, Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Οἱ Μάρτυρές σου Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν, στεφάνους ἐκομίσαντο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν·



Δημόσια Κεντρική Βιβλιοθήκη Σουρίου - Μουσείο Τυπογραφίας Βιβλιοθήκης

σχόντες γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλον· ἔθραυσαν καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση. Αὐτῶν ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ τῶν Ὁσίων, ὁ αὐτός.

Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν. Ὅρα ἀνωτέρω.

Κοντάκιον τῶν Ὁσίων, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Ἐκ τῆς κοσμικῆς, συγχύσεως ἐφύγετε, καὶ πρὸς γαλήνην, κατάσασιν μετέστητε, μαρτυρίου αἵμασι, καὶ ἀσκήσεως πόνοις στεφόμενοι· ὅθεν καὶ ἀνεδείχθητε, Μαρτύρων καὶ Ὁσίων ὁμόσκηνοι.

✠ 14. Τῶν ὁσίων Πατέρων ἡμῶν τῶν ἐν Σινᾷ καὶ Ῥαϊθὼ ἀναιρεθέντων.

Τῶν μὲν ἐπὶ Διοκλητιανοῦ κατὰ τὸ 296 ἔτος, ὑπὸ τῶν τῆς Ἀραβίας καὶ Αἰγύπτου βαρβάρων, Βλεμμύων καλουμένων. Τῶν δὲ, περὶ τὰ μέσα τοῦ Ε'. αἰῶνος, ὑπὸ τῶν αὐτῶν βαρβάρων λαῶν.

Ἐν ταύτῃ τῇ ἡμέρᾳ ἀποδίδοται τῶν Θεοφανείων ἡ Ἑορτή.

✠ 15. Τῶν ὁσίων Πατέρων ἡμῶν Παύλου τοῦ Θηβαίου, καὶ Ἰωάννου τοῦ Καλυβίτου.

Ὁ μὲν Παῦλος, τῶν ἐρημιτῶν ἁπάντων ὁ πρώτιστος, ἐγεννήθη τῷ 227 ἐν Θηβαΐδι τῆς Αἰγύπτου· τῷ δὲ 250 ἔφυγεν εἰς τὴν ἔρημον, διὰ τὸν τότε κινηθέντα διωγμὸν ὑπὸ Δεκίου· καὶ ζήσας μονώτατος ἔν τινι σπηλαίῳ ἔτη 91, τὰ δὲ πάντα 114, ἐτελεύτησε τῷ 341 ἔτει, καὶ ἐτάφη ὑπὸ τοῦ Μ. Ἀντωνίου, ὁδηγηθέντος ἐκεῖ παρὰ Θεοῦ, ἡμέρας τινὰς πρὸ τῆς τελευτῆς αὐτοῦ — Ὁ δὲ Ἰωάννης ἦν Κωνσταντινουπολίτης τὴν πατρίδα, υἱὸς γονέων λαμπρῶν, Εὐτροπίου Συγκλητικοῦ καὶ Θεοδώρας. Τῷ 12 ἔτει τῆς ἡλικίας αὐτοῦ, ἀναχωρήσας κρυφίως, ἀπῆλθεν εἰς τὴν τῶν Ἀκοιμήτων μονὴν (Δεκεμβ. 29). Μετὰ 6 ἔτη, τῷ πόθῳ τῶν γονέων φλεγόμενος, ὑπέστρεψεν εἰς τὴν πατρικὴν αὐτοῦ οἰκίαν, ἐν σχήματι πένητος καὶ ἐπαίτου (ψωμοζήτου)· καὶ ποιήσας παρὰ τὴν πύλην αὐτῆς καλύβην μικράν, ἀφ' οὗ καὶ Καλυβίτης ἐπωνομάσθη, ἔμεινεν ἄγνωστος ἐν αὐτῇ χρόνον πολὺν, ὑπὸ τῶν ἰδίων οἰκετῶν ἐμπαιζόμενος. Προϊδὼν δὲ τὸν θάνατον αὐτοῦ, ἐφανέρωσεν ἑαυτὸν τοῖς γονεῦσι, καὶ μετ' ὀλίγας στιγμὰς ἐτελεύτησε, περὶ τὸ 450 ἔτος.

Ἀπολυτίκιον, Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ἐκ βρέφους τὸν Κύριον, ἐπιποθήσας θερμῶς, τὸν κόσμον κατέλιπες, καὶ τὰ ἐν κόσμῳ τερπνὰ, καὶ ἠσκησας ἄριστα· ἔπηξας τὴν καλύβην, πρὸ πυλῶν σῶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κοινοφελή Βιβλιοθήκη Διδυμοτείχου
Μουσείο Τραπεζούντιου Ιστορίου

γονέων· ἔθραυσας τῶν δαιμόνων, τὰς ἐνέδρας παμμάκαρ· διόσε Ἰωάννη ὁ Χριστὸς, ἀξίως ἐδόξασεν.

Ἀπὸ γ'. Ὠδῆς, Κοντάκιον τοῦ Καλυβίτου, Ἦχος β'.

Τὰ ἄνω ζητῶν.

Ποθήσας σοφὲ, πτωχείαν Χρισομίμητον, γονέων τῶν σῶν, τὸν πλοῦτον ἐγκατέλιπες, καὶ τὸ Εὐαγγέλιον, ἐν χερσί σου κρατῶν ἠκολούθησας, Χριστῷ τῷ Θεῷ Ἰωάννη, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

Ἀφ' ἕκτης, τοῦ Θηβαίου, Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Τὸν φωστῆρα ἅπαντες, τὸν ἐν τῷ ὕψει, ἀρετῶν ἐκλάμψαντα, ἀνευφημήσωμεν πιστοὶ, Παῦλον τὸν θεῖον κραυγάζοντες: Σὺ τῶν Ὁσίων, Χριστὲ ἀγαλλίαμα.

✠ 16. Ἡ προσκύνησις τῆς τιμίας Ἁλύσεως τοῦ ἁγίου καὶ πανευφήμου Ἀποστόλου Πέτρου.

Ἡρῴδης ὁ Ἀγρίππας, ὁ Ἡρῴδου τοῦ Μεγάλου ἔγγονος (Δεκεμβ. 25,) καὶ τῶν Ἰουδαίων βασιλεὺς, ἐκμανεὶς κατὰ τῆς Ἐκκλησίας τοῦ Χριστοῦ κατέσφαξεν ἐν Ἱερουσαλὴμ, τῷ 43 ἔτει, Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου τοῦ Εὐαγγελιστοῦ. Ἰδὼν δὲ, ὅτι τοῦτο ἔφάνη ἀρεστὸν τοῖς Ἰουδαίοις, συνέλαβεν ὁμοίως καὶ τὸν Πέτρον, καὶ κατέκλεισεν εἰς φυλακὴν, τηρῶν αὐτὸν ἕως οὗ, παρελθούσης τῆς ἑορτῆς τοῦ τομικοῦ [illegible]χα, προσενέγκῃ καὶ τοῦτον εἰς τὸν λαὸν, ὡς κεχαρισμένον σφάγιον· ἀλλ' ὁ Ἀπόστολος, διὰ Ἀγγέλου παραδόξως ἀπολυθεὶς τῶν δεσμῶν, διεσώθη (Πράξ. ιβ'. 1-19). Τὰ δεσμὰ ταῦτα, ὅ ἐστιν ἡ Ἅλυσις, ἐν ᾗ ὁ Ἀπόστολος ἐδεσμεύθη, λαβοῦσα ἐκ τοῦ πανιέρου αὐτοῦ σώματος ἁγιαστικὴν καὶ ἰαματικὴν χάριν, εἰς τοὺς μετὰ πίστεως προσερχομένους αὐτῇ, καὶ εἰς χεῖρας Χριστιανῶν μεταπεσοῦσα, μετεκομίσθη ἔπειτα εἰς Κωνσταντινούπολιν ὑπὸ τῶν εὐσεβῶν Βασιλέων, καὶ κατ' ἔτος ἐτελεῖτο ἑορτὴ εἰς προσκύνησιν αὐτῆς, πρὸς ἁγιασμὸν τῶν πιστῶν.

Ὅτι δὲ τὰ τοιαῦτα ἐνέργουν θαύματα καὶ ἰάσεις πολλὰς, μάρτυς ἡ θεία Γραφὴ, λέγουσα περὶ τοῦ Παύλου, ὅτι οἱ ἐν Ἐφέσῳ Χριστιανοὶ τοσοῦτον σέβας προσέφερον εἰς αὐτὸν, ὥστε καὶ τὰ μανδήλια καὶ περιζώματα αὐτοῦ μετὰ πολλῆς εὐλαβείας λαμβάνοντες, ἐθεράπευον δι' αὐτῶν, τῶν ἀσθενῶν τὰς ἀῤῥωστίας. Ὥστε ἐπὶ τοὺς ἀσθενοῦντας ἐπιφέρεσθαι ἀπὸ τοῦ χρωτὸς αὐτοῦ σουδάρια, ἢ σιμικίνθια, καὶ ἀπαλλάσσεσθαι ἀπ' αὐτῶν τὰς νόσους (Πράξ. ιθ'. 12). Καὶ οὐ μόνον τὰ ἱμάτια, τὰ ὀπωσδήποτε ἐγγίσαντα εἰς τὰ σώματα αὐτῶν, ἀλλὰ καὶ μονὴ ἡ ἐξ αὐτῶν ἐκπεμπομένη σκιὰ τὰς αὐτὰς ἐποίει θεραπείας· καὶ τοῦτο βλέποντες οἱ ἄνθρωποι, βάλλοντες τοὺς ἀσθενεῖς αὐτῶν ἐπὶ κλινῶν καὶ ῥαβδά-

ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
Δημόσια Κεντρική Βιβλιοθήκη Αλεξανδρείου Μουσείου Τεμπλόν Δακοδάτου

των, ἔφερον αὐτοὺς, καὶ εἰς τὰς εὐρυχώρους ὁδοὺς ἐτίθουν, ἵνα ἐρχομένου Πέτρου, κἂν ἡ σκιὰ ἐπισκιάσῃ τινὶ αὐτῶν (Πράξ. ε. 15)· καθότι ἐὰν αὐτοὶ οὐκ ἐθεραπεύοντο, οἱ μετὰ κόπου ἐκφέροντες αὐτοὺς, οὐκ ἔστεργον κοπιάζειν ματαίως. Ἐκ τούτου ἔμαθεν ἡ ὀρθόδοξος Ἐκκλησία τὸ σέβας καὶ τὴν εὐλάβειαν οὐ μόνον τῶν λειψάνων, ἀλλὰ καὶ τῶν ἱματίων τῶν ἁγίων Ἀνδρῶν.

## Κατάλυσις οἴνου καὶ ἐλαίου.

### Ἀπολυτίκιον Ἦχος δ΄.

Τὴν Ῥώμην μὴ λιπὼν, πρὸς ἡμᾶς ἐπεδήμησας, δι' ὧν ἐφόρεσας τιμίων Ἀλύσεων, τῶν Ἀποστόλων πρωτόθρονε· ἃς ἐν πίσει προσκυνοῦντες δεόμεθα: Ταῖς πρὸς Θεὸν πρεσβείαις σου, δώρησαι ἡμῖν τὸ μέγα ἔλεος.

### Κοντάκιον, Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Ἡ πέτρα Χριστὸς, τὴν πέτραν τῆς πίστεως, δοξάζει φαιδρῶς, τῶν μαθητῶν τὸν πρωτόθρονον· συγκαλεῖ γὰρ ἅπαντας, ἑορτάσαι Πέτρου τὰ θαύματα, τῆς τιμίας Ἁλύσεως· καὶ νέμει πταισμάτων τὴν συγχώρησιν.

## ✠ 17. Τοῦ ὁσίου καὶ θεοφόρου Πατρὸς ἡμῶν Ἀντωνίου τοῦ Μεγάλου.

Ἀντώνιος, ὁ τοῦ μοναστικοῦ βίου ἀρχηγὸς, ἐγεννήθη ἐν Αἰγύπτῳ τῷ 261 ἔτει, ἐκ γονέων εὐσεβῶν. Ἀκούσας δέ ποτε τὴν εὐαγγελικὴν φωνήν: Εἰ θέλεις τέλειος εἶναι, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς,... (Ματθ. ιθ΄. 21), ἔβαλεν ἀμέσως αὐτὴν εἰς πρᾶξιν· καὶ πάντα, ὅσα εἶχε, διαμερίσας εἰς πένητας, καὶ πᾶσαν τύρβην τοῦ κόσμου φυγὼν, ἀνεχώρησεν εἰς τὴν ἔρημον. Οἱ εἰς εἴκοσιν ἔτη κατὰ συνέχειαν ποικίλοι αὐτοῦ πειρασμοὶ εἰσὶν ἀπίστευτοι· οἱ ἡμέρας καὶ νυκτὸς ἀσκητικοὶ αὐτοῦ ἀγῶνες, δι' ὧν, νεκρώσας τὰ σκιρτήματα τῶν παθῶν, ἔφθασεν εἰς τὸν βαθμὸν τῆς ἀπαθείας, ὑπερβαίνουσι τῆς φύσεως τοὺς ὅρους· καὶ τῶν ἐναρέτων αὐτοῦ πράξεων ἡ ἀκοὴ ἔσυρε τοσοῦτον πλῆθος πρὸς μίμησιν, ὥστε ἡ ἔρημος μετεμορφώθη εἰς πόλιν, ὑπάρχοντος αὐτοῦ καὶ πολιτάρχου, καὶ νομοθέτου, καὶ γυμνασιάρχου πάντων τῶν πολιτῶν τῆς νεοσυστάτου ταύτης πόλεως. Ἀλλὰ καὶ αὐταὶ τοῦ κόσμου αἱ πόλεις ἀπήλαυσαν τῆς ἀρετῆς αὐτοῦ τὸν καρπόν. Διωκομένων τῶν Χριστιανῶν καὶ θανατουμένων ἐπὶ Μαξιμίνου τῷ 312, ἔδραμεν εἰς βοήθειαν αὐτῶν καὶ παραμυθίαν. Ταραττομένης τῆς Ἐκκλησίας ὑπὸ τῶν Ἀρειανῶν, κατέβη μετὰ ζήλου εἰς Ἀλεξάνδρειαν τῷ 335, καὶ ἠγωνίσατο κατ' αὐτῶν ὑπὲρ τῆς ὀρθοδοξίας· ὅτε καὶ πολλοὺς τῶν ἀπίστων ἐπέστρεψεν εἰς Χριστὸν, διὰ τῆς χάριτος τῶν ἑαυτοῦ λόγων. Καὶ οὕτω πολιτευσάμενος, καὶ γενόμενος τύπος ἀρετῆς, καὶ κανὼν τῶν

μοναζόντων, ἐτελεύτησε τῇ 17 Ἰανουαρίου τοῦ 356 ἔτους, ζήσας τὰ πάντα ἔτη 105.

## Ἀργία, καὶ Κατάλυσις οἴνου καὶ ἐλαίου.

### Ἀπολυτίκιον, Ἦχος δ'.

Τὸν ζηλωτὴν Ἠλίαν τοῖς τρόποις μιμούμενος, τῷ Βαπτιστῇ εὐθείαις ταῖς τρίβοις ἑπόμενος, Πάτερ Ἀντώνιε, τῆς ἐρήμου γέγονας οἰκιστής, καὶ τὴν οἰκουμένην ἐστήριξας εὐχαῖς σου. Διὸ πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

### Κοντάκιον, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τοὺς βιωτικοὺς, θορύβους ἀπωσάμενος, ἡσυχαστικῶς τὸν βίον ἐξετέλεσας, τὸν Βαπτιστὴν μιμούμενος, κατὰ πάντα τρόπον ὁσιώτατε. Σὺν αὐτῷ οὖν σὲ γεραίρομεν, Ἀντώνιε Πάτερ, τῶν Πατέρων κρηπίς.

## ✠ 18. Τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν, καὶ ἀρχιεπισκόπων Ἀλεξανδρείας, Ἀθανασίου καὶ Κυρίλλου.

Καὶ οἱ δύο οὗτοι σοφοὶ τῆς ἀληθείας Διδάσκαλοι, καὶ πρόμαχοι τῆς Ἐκκλησίας τοῦ Χριστοῦ, ἦσαν Ἀλεξανδρεῖς τὴν πατρίδα. Ὧν ὁ μὲν Ἀθανάσιος ἐγεννήθη, ὡς συμπεραίνουσι τινὲς, τῷ 296 ἔτει. Διάκονος ἔτι ὤν, ἐπαρουσίασεν εἰς τὴν ἐν Νικαίᾳ Α'. Οἰκουμενικὴν Σύνοδον τῶν 318 ἁγίων Πατέρων, τῷ 325 ἔτει κατὰ τοῦ Ἀρείου συγκροτηθεῖσαν, ἐν ᾗ διέπρεψεν ὑπὲρ πάντας διὰ τοῦ ζήλου αὐτοῦ, καὶ τῆς τοῦ Ὁμοουσίου διδασκαλίας. Τὸ ἑφεξῆς 326 ἔτος, διαδεξάμενος τὸν τῆς Ἀλεξανδρείας ἐπίσκοπον Ἀλέξανδρον, ἠρνήσατο τὴν πρὸς τὸν Ἄρειον κοινωνίαν, γινώσκων αὐτοῦ τὴν τῆς γνώμης διαστροφὴν, καὶ τὴν ἔτι ἐμφωλεύουσαν ἐν τῇ καρδίᾳ αὐτοῦ τῆς αἱρέσεως νόσον. Ἐντεῦθεν ἤρξαντο εὐθὺς αἱ κατ' αὐτοῦ συκοφαντίαι καὶ ἐπιβουλαὶ τῶν ὀπαδῶν τοῦ Αἱρεσιάρχου τούτου· ἐντεῦθεν τὰ λῃστρικὰ αὐτῶν συνέδρια, καὶ αἱ παρὰ τῶν βασιλέων, Κωνσταντίνου τοῦ Μεγάλου, Κωνσταντίνου τοῦ υἱοῦ αὐτοῦ, Ἰουλιανοῦ τοῦ Παραβάτου, καὶ τοῦ θερμοῦ προστάτου τῶν Ἀρειανῶν Οὐάλεντος, τοῦ μὲν, ὑπὸ εὐπιστίας εἰς τὰς τῶν ἄλλων διαβολὰς, τῶν δὲ, ὑπὸ τῆς οἰκείας κακοπιστίας κινουμένων, ἄδικοι ψῆφοι κατ' αὐτοῦ, καὶ ἐξορίαι αἱ ἀλλεπάλληλοι. Ὁ δὲ τῆς ὀρθοδοξίας ὑπερασπιστὴς, ποτὲ μὲν ὑπὸ τῆς βίας τῶν κρατούντων συρόμενος, ποτὲ δὲ τῶν ἐχθρῶν τῇ ὀργῇ τόπον διδούς, ἀπήχθη εἰς Τρίβεριν τῆς Γαλλίας, κατέφυγεν εἰς τὴν Ῥώμην, ἐμάκρυνε φυγαδεύων εἰς τὰς ἐρήμους, ἐκρύβη εἰς ὑπόγεια μῆνας ὁλοκλήρους, ὑπέμεινε μυρίους κινδύνους καὶ διωγμοὺς 46 ἔτη· ἐν οἷς ἀνακαλούμενος πρὸς καιρὸν, μετ' ὀλίγον ἐδιώκετο πάλιν. Τελευταῖον, ἀναφανεὶς ἐπὶ τὸ ὕψος τοῦ θρόνου αὐτοῦ, ὡς ἀστὴρ φαεινὸς μὲν, ἀλλ'

ἐστερίως, καὶ τῇ λαμπρότητι τῶν λόγων αὐτοῦ καταφωτίσας τὸν ὀρθόδοξον λαὸν ἐπὶ μικρὸν χρόνον, κλίνας πρὸς τὴν δύσιν τῆς ζωῆς, ἀνεπαύσατο ὁ πολύτλας ἀπὸ τῶν μακρῶν αὐτοῦ πόνων, τῷ 373 ἔτει.

Ὁ δὲ Κύριλλος ἦν ἀνεψιὸς Θεοφίλου, ἀδελφοῦ τῆς μητρὸς αὐτοῦ, καὶ τῆς Ἀλεξανδρείας ἐπισκόπου, ὑφ' οὗ καὶ ἐδιδάχθη ἐκ νεότητος. Συνδιατρίψας δὲ πρότερον, ἐφ' ἱκανὸν χρόνον, μετὰ τῶν ἐν τῇ Νιτρίᾳ μοναχῶν, ἐγένετο ἔπειτα διάδοχος τοῦ θείου αὐτοῦ, τῷ 412 ἔτει. Ἐξωσθεὶς τοῦ θρόνου αὐτοῦ, διὰ τῆς τῶν Νεστοριανῶν συνεργίας, ἐπανέλαβεν αὐτὸν πάλιν μετ' οὐ πολύ. Ἐπαρουσίασεν εἰς τὴν Γ'. Οἰκουμενικὴν Σύνοδον τῶν 200 Πατέρων, τῷ 431 ἔτει ἐπὶ Θεοδοσίου τοῦ Μικροῦ ἐν Ἐφέσῳ συγκροτηθεῖσαν, ἧς καὶ ἔξαρχος ὑπῆρξε, καὶ τὸν κατὰ τῆς Θεοτόκου βλασφημοῦντα Νεστόριον κατήσχυνε, διὰ τῶν σοφωτάτων αὐτοῦ λόγων, καὶ τὸ δυσσεβὲς ἐκείνου δόγμα ἐξήλεγξε. Ποιμάνας δὲ τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ 32 ἔτη, ἐτελεύτησε τῷ 444. — Κατέλιπον ἀμφότεροι πολλὰ σοφὰ Συγγράμματα, ἑρμηνευτικὰ τῶν θείων Γραφῶν, δογματικά, τῆς πίστεως τοῦ Χριστοῦ, ἀποδεικτικὰ τῆς ἀληθείας, καὶ τῆς τῶν αἱρέσεων πλάνης ἐλεγκτικά.

## Ἀργία, καὶ Κατάλυσις οἴνου καὶ ἐλαίου.

## Ἀπολυτίκιον, Ἦχος γ'. Θείας πίστεως.

Ἔργοις λάμψαντες ὀρθοδοξίας, πᾶσαν σβέσαντες κακοδοξίαν, νικηταὶ τροπαιοφόροι γεγόνατε· τῇ εὐσεβείᾳ τὰ πάντα πλουτίσαντες, τὴν Ἐκκλησίαν μεγάλως κοσμήσαντες, ἀξίως εὕρατε Χριστὸν τὸν Θεόν, δωρούμενον πᾶσι τὸ μέγα ἔλεος.

## Κοντάκιον, Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἱεράρχαι μέγιστοι τῆς εὐσεβείας, καὶ γενναῖοι πρόμαχοι τῆς Ἐκκλησίας τοῦ Χριστοῦ, πάντας φρουρεῖτε τοὺς ψάλλοντας· Σῶσον οἰκτίρμον, τοὺς πίστει τιμῶντάς σε.

## ✠ 19. Τοῦ ὁσίου Πατρὸς ἡμῶν Μακαρίου τοῦ Αἰγυπτίου καὶ τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἀρσενίου Κερκύρας.

Τούτων, ὁ μὲν Ὅσιος ὑπῆρχεν ἐκ Θηβαΐδος τῆς Αἰγύπτου, μαθητὴς, ὡς λέγουσί τινες, Ἀντωνίου τοῦ Μεγάλου· ἐγεννήθη περὶ τὰ 301 ἔτος· ἤσκησεν ἐν τῇ κατὰ τὴν ἔρημον Σκήτῃ· διὰ τὴν ἄκραν αὐτοῦ φρόνησιν καὶ σκληραγωγίαν, νέος ἔτι ὤν, ἐκαλεῖτο Παιδαριογέρων· ἐχειροτονήθη δὲ καὶ πρεσβύτερος· καὶ ζήσας ἔτη 90, ἐτελεύτησε τῷ 391. Ὑπὸ τὸ ὄνομα τούτου σώζονται 50 Ὁμιλίαι· τινὲς δὲ λέγουσιν ὅτι ὁ Μ. Ἀντώνιος συνέγραψεν αὐτὰς Συριστὶ, ὁ δὲ Μακάριος μετεγλώττισεν εἰς τὸ Ἑλληνικόν.

Ὁ δὲ Ἀρσένιος ἦν Παλαιστῖνος τὴν πατρίδα, Θεοφιλῶν γονέων υἱός· ἀφιερώθη παιδιόθεν τῷ Θεῷ, καὶ τὸ μοναδικὸν ἐνεδύσατο σχῆμα· ἐ-

μαθήτευσεν ἐν Σελευκείᾳ, ἐν ᾗ καὶ τὸ τῆς ἱερωσύνης ἀξίωμα ἔλαβε· μεταβὰς ἐκεῖθεν εἰς Κωνσταντινούπολιν, προεχειρίσθη ἐπίσκοπος Κερκύρας· ἐκόσμησε τὸν θρόνον αὐτῆς διὰ τῆς ἀρετῆς αὐτοῦ καὶ παιδείας· ἐπανελθὼν εἰς Κωνσταντινούπολιν, γέρων ἤδη τὴν ἡλικίαν, κατέπαυσε τὴν ἄδικον τοῦ βασιλέως ὀργὴν, Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, κατὰ τῶν προκρίτων τῆς Κερκύρας. Τελευταῖον, ὑποστρέφων εἰς τὸν θρόνον αὐτοῦ, καὶ ἀσθενήσας κατὰ τὴν Κόρινθον, ἀνεπαύσατο ἐν Κυρίῳ περὶ τὰ τέλη τοῦ Η'. αἰῶνος.

Ἀπολυτίκιον τοῦ Ὁσίου, Ἦχος α'.

Τῆς ἐρήμου πολίτης, καὶ ἐν σώματι ἄγγελος, καὶ θαυματουργὸς ἀνεδείχθης, θεοφόρε Πατὴρ ἡμῶν Μακάριε· νηστείᾳ, ἀγρυπνίᾳ, προσευχῇ, οὐράνια χαρίσματα λαβὼν, θεραπεύεις τοὺς νοσοῦντας, καὶ τὰς ψυχὰς τῶν πίστει προστρεχόντων σοι. Δόξα τῷ δεδωκότι σοι ἰσχύν· δόξα τῷ σὲ στεφανώσαντι· δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Ἕτερον τοῦ Ἁγίου, Ἦχος δ'.

Κανόνα πίστεως, καὶ εἰκόνα πραότητος. Ὅρα σελ. 227.

Κοντάκιον, τοῦ Ὁσίου, Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἐν τῷ οἴκῳ Κύριος, τῆς ἐγκρατείας, ἀληθῶς σε ἔθετο, ὥσπερ ἀστέρα ἀπλανῆ, φωταγωγοῦντα τὰ πέρατα, Πάτερ Πατέρων Μακάριε ὅσιε.

✠ 20. Τοῦ ὁσίου καὶ θεοφόρου Πατρὸς ἡμῶν Εὐθυμίου τοῦ Μεγάλου.

Ὑπῆρχεν ἐκ Μελιτινῆς τῆς ἐν Ἀρμενίᾳ, υἱὸς γονέων εὐσεβῶν, Παύλου καὶ Διονυσίας. Ἐγεννήθη περὶ τὸ 377 ἔτος· στείρας δὲ οὔσης τῆς μητρὸς αὐτοῦ πρότερον, ὠνομάσθη Εὐθύμιος, διὰ τὴν εὐθυμίαν τῶν γονέων καὶ χαρὰν ἐπὶ τῇ γεννήσει αὐτοῦ. Ἐμαθήτευσε παρὰ τῷ ἐπισκόπῳ τῆς Μελιτινῆς Εὐτρωΐῳ, ὑφ' οὗ καὶ πρεσβύτερος ἐχειροτονήθη, καὶ τὴν ἐπιμέλειαν ἐνεπιστεύθη τῶν ἐν Μελιτινῇ μοναστηρίων. Εἶτα, εἰς Παλαιστίνην ἀπελθὼν, κατέστη πολλοῦ πλήθους μοναχῶν προστάτης· ἐπέστρεψεν εἰς εὐσέβειαν πολλοὺς τῶν Σαρακηνῶν· κατεπολέμησε τοὺς Νεστοριανοὺς, Εὐτυχιανοὺς καὶ Μανιχαίους· διώρθωσεν Εὐδοκίαν τὴν βασίλισσαν Θεοδοσίου τοῦ Μικροῦ, εἰς τὴν αἵρεσιν τῶν Μονοφυσιτῶν πεσοῦσαν· ἐγένετο τῆς Ἀνατολικῆς Ἐκκλησίας ὁ Χρυσμὸς, ἢ μᾶλλον εἰπεῖν τὸ Χρυστήριον, καθὼς τῶν ἱστορικῶν τις γράφει· καὶ ζήσας ἔτη 96, ἐτελεύτησε τῷ 473, κατὰ τὴν 20 Ἰανουαρίου.

Ἀργία, καὶ Κατάλυσις οἴνου καὶ ἐλαίου.

ΗΛΙΟΣΙΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ψηφιακή Βιβλιοθήκη Λαμπρινού - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἀπολυτίκιον, Ἦχος δ΄.

Εὐφραίνου ἔρημος ἡ οὐ τίκτουσα, εὐθύμησον ἡ οὐκ ὠδίνουσα· ὅτι ἐπλήθυνέ σοι τέκνα, ἀνὴρ ἐπιθυμιῶν τῶν τοῦ Πνεύματος, εὐσεβείᾳ φυτεύσας, ἐγκρατείᾳ ἐκθρέψας, εἰς ἀρετῶν τελειότητα. Ταῖς αὐτοῦ ἱκεσίαις Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν.

Κοντάκ. Ἦχος πλ. δ΄. Ὡς ἀπαρχὰς τῆς φύσεως.

Ἐν τῇ σεπτῇ γεννήσει σου, χαρὰν ἡ κτίσις εὕρατο· καὶ ἐν τῇ θείᾳ μνήμῃ σου ὅσιε, τὴν εὐθυμίαν ἔλαβε τῶν πολλῶν σου θαυμάτων· ἐξ ὧν παράσχου πλουσίως ταῖς ψυχαῖς ἡμῶν, καὶ ἀποκάθαρον ἁμαρτημάτων κηλίδας, ὅπως ψάλλωμεν· Ἀλληλουϊα.

✠ 21. Τοῦ ὁσίου Πατρὸς ἡμῶν Μαξίμου τοῦ ὁμολογητοῦ· καὶ τοῦ ἁγίου Μάρτυρος Νεοφύτου.

Ὁ μὲν Μάρτυς ἦν ἐκ Νικαίας τῆς ἐν Βιθυνίᾳ, υἱὸς γονέων εὐσεβῶν, Θεοδώρου καὶ Φλωρεντίας· ἤθλησε δὲ ἐπὶ Διοκλητιανοῦ, τῷ 290 ἔτει.—Ὁ δὲ θεῖος Μάξιμος ἦν Κωνσταντινουπολίτης τὴν πατρίδα, ἐκ γένους λαμπροῦ καταγόμενος, ἀνὴρ φιλόσοφος καὶ περιφανέστατος θεολόγος. Καὶ κατ' ἀρχὰς μὲν ἐχρημάτισε πρῶτος μυστικὸς γραμματεὺς τοῦ βασιλέως Ἡρακλείου, καὶ Κώνσταντος τοῦ ἐγγόνου αὐτοῦ· κυριευθείσης δὲ τῆς βασιλικῆς αὐλῆς ὑπὸ τῆς τῶν Μονοθελητῶν αἱρέσεως, μισήσας αὐτὴν, ἀνεχώρησεν εἰς τὴν κατὰ τὴν Χρυσόπολιν (Σκούταρι) μονὴν, ἧς καὶ ἡγούμενος ἐγένετο ὕστερον. Ἀναγκασθεὶς δὲ ὑπὸ τοῦ Κώνσταντος ἵνα, ἢ τὸν τῶν Μονοθελητῶν δέξηται δόγμα, ἢ παύσηται λέγων καὶ γράφων κατ' αὐτῶν· ὁ δὲ μηδέτερον τούτων στέργων ποιῆσαι, ἐκτέμνεται τὴν γλῶσσαν καὶ τὴν χεῖρα τὴν δεξιὰν, καὶ πέμπεται εἰς ἐξορίαν, ἐν ᾗ ἐτελεύτησε τῷ 662 ἔτει. Τινὲς δὲ τῶν ἱστορικῶν ἀποσιωπῶσι τῆς γλώσσης καὶ τῆς χειρὸς τὴν ἐκτομήν.

Ἀπολυτίκιον, Ἦχος πλ. δ΄.

Ὀρθοδοξίας ὁδηγὲ, εὐσεβείας διδάσκαλε καὶ σεμνότητος, τῆς οἰκουμένης ὁ φωστὴρ, τῶν μοναζόντων θεόπνευστον ἐγκαλλώπισμα, Μάξιμε σοφὲ, ταῖς διδαχαῖς σου πάντας ἐφώτισας, λύρα τοῦ Πνεύματος. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.

Τὸν τῆς Τριάδος ἐραστὴν καὶ μέγαν Μάξιμον, τὸν ἐκδιδάσκοντα τρανῶς πίστιν τὴν ἔνθεον, τοῦ δοξά-

ζειν τὸν Χριστὸν ἐν δύο φύσεσι, θελήσεσί τε καὶ ἐνεργείαις ὑπάρχοντα, ἐπαξίως ἐν ᾠδαῖς πιστοὶ τιμήσωμεν, ἀνακράζοντες: Χαῖρε Κήρυξ τῆς Πίστεως.

## ✠ 22. Τοῦ ἁγίου Ἀποστόλου Τιμοθέου· καὶ τοῦ ἁγίου Ὁσιομάρτυρος Ἀναστασίου τοῦ Πέρσου.

Ὁ μὲν Ἀπόστολος ἦν ἐκ Λύστρας τῆς Λυκαονίας, γεννηθεὶς ἐκ πατρὸς μὲν Ἕλληνος, μητρὸς δὲ Ἰουδαίας. Ἐγένετο μαθητὴς τοῦ Ἀποστόλου Παύλου, ὅτε πρῶτον ἐκήρυξεν ἐκεῖ, ᾧ καὶ ἠκολούθησε καθ' ὅλην τὴν περίοδον τοῦ κηρύγματος αὐτοῦ, ὑφ' οὗ καὶ πρῶτος ἐπίσκοπος τῆς ἐν Ἐφέσῳ Ἐκκλησίας κεχειροτόνηται ὕστερον. Ποιμάνας δὲ αὐτὴν ὑπὸ τὴν ἐφορίαν Ἰωάννου τοῦ Εὐαγγελιστοῦ, τοῦ πάσας τὰς ἐν τῇ Ἀσίᾳ Ἐκκλησίας διοικοῦντος, ἐτελεύτησε μαρτυρικῶς τῷ 97 ἔτει, λιθοβοληθεὶς ὑπὸ τῶν ἐθνικῶν, διότι ἠθέλησεν, ὡς νομίζουσι τινές, ἐναντιωθῆναι εἰς τὴν τῆς λατρευομένης ὑπ' αὐτῶν Ἀρτέμιδος ἑορτήν. Ἡ πρὸς Τιμόθεον Α'. καὶ Β'. Ἐπιστολὴ τοῦ Παύλου πρὸς τοῦτον ἐγράφησαν.—Ὁ δὲ Ἀναστάσιος ἦν Πέρσης τὸ γένος· βλέπων δὲ τὸ κατὰ τῶν Χριστιανῶν ἄσπονδον μῖσος Χοσρόου Β'. βασιλέως Περσῶν, καὶ ἀπορῶν τὴν αἰτίαν, ἠθέλησεν ἵνα μάθῃ κατὰ βάθος τὴν τῆς πίστεως αὐτῶν διδασκαλίαν· ἣν καὶ διδαχθείς, καὶ θαυμάσας, καὶ ὑπεραγαπήσας, ἐνηγκαλίσατο αὐτήν· καὶ βαπτισθεὶς ἐν Παλαισίνῃ, καὶ Ἀνασάσιος μετονομασθείς, ἀντὶ Μαγουδάτ, ὅπερ ἐκαλεῖτο πρότερον, ἐμόνασε χρόνον ἱκανὸν ἐν τοῖς ἐκεῖ μοναστηρίοις. Ὅτε δὲ ὁ Χοσρόης ἐποιήσατο κατὰ τῆς Παλαιστίνης τὴν φοβερὰν ἐκείνην ἐκστρατείαν, καθ' ἣν καὶ τὴν Ἱερουσαλὴμ ἐκυρίευσε, καὶ τὰς Ἐκκλησίας πάσας κατέκαυσε, καὶ πάντα τὸν κλῆρον κατέσφαξε, καὶ τὸν αἰχμαλωτισθέντα λαὸν, τὰς ϛ0,000 ὑπερβαίνοντα, ὡς ἱστοροῦσι τινες, ἐπώλησεν εἰς τοὺς Ἰουδαίους, καὶ πάντα τὰ σκεύη τὰ ἱερὰ, καὶ αὐτὸ τὸ τίμιον ξύλον τοῦ Σταυροῦ ἐκόμισεν εἰς Περσίαν, τότε καὶ ὁ Ἀνασάσιος οὗτος, τὸν Χριστὸν παῤῥησίᾳ ὁμολογῶν, μετὰ πολλὰς καὶ πικροτάτας βασάνους, ἀπετμήθη τὴν κεφαλὴν, τῇ 22 Ἰανουαρίου, ἐν ἔτει 614.

### Κατάλυσις οἴνου καὶ ἐλαίου.

### Ἀπολυτίκιον τοῦ Ἀποστόλου, Ἦχος α'.

Χρηστότητα ἐκδιδαχθεὶς, καὶ νήφων ἐν πᾶσιν, ἀγαθὴν συνείδησιν ἱεροπρεπῶς ἐνδυσάμενος, ἥντλησας ἐκ τοῦ Σκεύους τῆς ἐκλογῆς τὰ ἀπόῤῥητα, καὶ τὴν πίστιν τηρήσας, τὸν ἴσον δρόμον τετέλεκας, Ἀπόστολε Τιμόθεε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

### Τοῦ Μάρτυρος, Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ὁ Μάρτυς σου Κύριε ἐν τῇ ἀθλήσει αὐτοῦ, τὸ ζέφος ἐκομίσατο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν·

ἔχων γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλεν· ἔθραυσε καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση. Αὐτοῦ ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν.

**Κοντάκιον, Ἦχος ά. Τὸν τάφον σου Σωτήρ.**

Τὸν θεῖον μαθητὴν, καὶ συνέκδημον Παύλου, Τιμόθεον πιστοὶ, εὐφημήσωμεν ὕμνοις, σὺν τούτῳ γεραίροντες, τὸν σοφὸν Ἀναστάσιον, τὸν ἐκλάμψαντα, ἐκ τῆς Περσίδος ὡς ἄστρον, καὶ ἐλαύνοντα, τὰ ψυχικὰ ἡμῶν πάθη, καὶ νόσους τοῦ σώματος.

**✠ 23. Τοῦ ἁγίου Ἱερομάρτυρος Κλήμεντος Ἀγκύρας καὶ τοῦ ἁγίου Μάρτυρος ἀγαθαγγέλου.**

Ὁ μὲν Ἀγαθάγγελος ἦν Ῥωμαῖος τὴν πατρίδα. Ὁ δὲ Κλήμης ὑπῆρχεν ἐξ Ἀγκύρας τῆς ἐν Γαλατίᾳ, υἱὸς πατρὸς μὲν ἀπίστου, μητρὸς δὲ πιστῆς, Σοφίας τὸ ὄνομα. Μονάσας δὲ πρότερον, εἶτα καὶ τῆς πατρίδος αὐτοῦ ἐπίσκοπος γενόμενος, καὶ τοσαῦτα παθὼν ὑπὲρ τῆς πίστεως τοῦ Χριστοῦ, ὥστε τῶν παθημάτων αὐτοῦ καὶ ἀγώνων ὁ χρόνος παρετάθη εἰς 28 ἔτη, τελευταῖον συναπετμήθη μετὰ τοῦ Ἀγαθαγγέλου τὴν κεφαλὴν, ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, τῷ 296 ἔτει.

**Ἀπολυτίκιον, Ἦχος δ'.**

Κλῆμα ὁσιότητος, καὶ στέλεχος ἀθλήσεως, ἄνθος ἱερώτατον, καὶ καρπὸς ὡς θεόσδοτος, τοῖς πιστοῖς πανίερε ἡδύτατος ἐβλάστησας. Ἀλλ' ὡς Μαρτύρων σύναθλος, καὶ Ἱεραρχῶν σύνθρονος, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Κοντάκιον, Ἦχος δ'. Ἐπεφάνης σήμερον.**

Τῆς ἀμπέλου γέγονας, τίμιον κλῆμα, τοῦ Χριστοῦ πολύαθλος, Κλήμη πανεύφημε ὀφθεὶς, σὺν τῷ συναθλήσασ ἔκραζες: Χριστὸς Μαρτύρων φαιδρὸν ἀγαλλίαμα.

**✠ 24. Τῆς ὁσίας Μητρὸς ἡμῶν Ξένης.**

Αὕτη ἦν Ῥωμαία τὴν πατρίδα, ἐκ γένους ἐπισήμου καταγομένη. Ἐν ᾧ δὲ οἱ γονεῖς ἡτοίμαζον αὐτὴν εἰς γάμον, λαθοῦσα αὐτοὺς, καὶ δύο θεραπαινίδας μεθ' ἑαυτῆς παραλαβοῦσα, ἀνεχώρησεν εἰς Μύλασσαν, πόλιν τῆς ἐν Ἀσίᾳ Καρίας, καὶ ἐκεῖ ἐτέλεσε τὸν βίον ἀσκητικῶς, μετονομασθεῖσα Ξένη, διὰ τὴν ξενιτείαν αὐτῆς, ἀντὶ Εὐσεβίας, ὅπερ ἐκαλεῖτο πρότερον.

**Ἀπολυτίκιον, Ἦχος πλ. δ'.**

Ἐν σοὶ Μῆτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα· λαβοῦσα γὰρ τὸν σταυρὸν, ἠκολούθησας τῷ Χριστῷ,

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Λιβαδειάς - Μουσείο Εκκλησιαστικής Τέχνης

ἡ πράττουσα ἐδίδασκες, ὑπερορᾶν μὲν σαρκὸς, παρέρχεται γάρ· ἐπιμελεῖσθαι δὲ ψυχῆς, πράγματος ἀθανάτου· διὸ καὶ μετὰ Ἀγγέλων συναγάλλεται, ὁσία Ξένη τὸ πνεῦμά σου.

Κοντάκιον, Ἦχος β'. Τοῖς τῶν αἱμάτων σου.

Τὸ σὸν ξενότροπον Ξένη μνημόσυνον, ἐπιτελοῦντες οἱ πόθῳ τιμῶντές σε, ὑμνοῦμεν Χριστὸν τὸν ἐν ἅπασι, σοὶ παρέχοντα ἰσχὺν τῶν ἰάσεων· ὃν πάντοτε δυσώπει ὑπὲρ πάντων ἡμῶν.

✠ 25. Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τοῦ Θεολόγου.

Ὁ μέγας οὗτος τῆς Ἐκκλησίας Πατὴρ καὶ Διδάσκαλος ἐγεννήθη ἐν Ἀρειανζῷ, κώμῃ τῆς Β'. Καππαδοκίας, οὐ μακρὰν τῆς Ναζιανζοῦ. Ὁ πατὴρ αὐτοῦ ἐκαλεῖτο Γρηγόριος, ἐπίσκοπος Ναζιανζοῦ γενόμενος ὕστερον, ἡ δὲ μήτηρ, Νόννα. Ἐμαθήτευσε κατ' ἀρχὰς μὲν ἐν Καισαρείᾳ τῆς Παλαιστίνης· μετὰ ταῦτα δὲ ἐν Ἀλεξανδρείᾳ, καὶ τελευταῖον ἐν Ἀθήναις, ὅπου καὶ ἐφιλιώθη μεγάλως μετὰ τοῦ Μ. Βασιλείου, μεθ' οὗ καὶ συνήσκησε, καὶ συνέζησεν ἱκανῶς ἐν τοῖς κατὰ τὸν Πόντον ἡσυχαστηρίοις. Ἐχειροτονήθη πρεσβύτερος τῆς τῶν Ναζιανζηνῶν Ἐκκλησίας ὑπὸ τοῦ ἰδίου πατρὸς, ὑπὸ δὲ τοῦ Μ. Βασιλείου προεχειρίσθη ἐπίσκοπος Σασίμων, ἢ Ζασίμων, ὑποκειμένων τῷ τῆς Καισαρείας ἐπισκόπῳ. Κατὰ δὲ τὸ 378 ἔτος, ἀπελθὼν εἰς βοήθειαν τῆς ἐν Κωνσταντινουπόλει Ἐκκλησίας, ταραττομένης ἤδη πεντεκαίδεκα ἔτη ὑπὸ τῶν Ἀρειανῶν, καὶ διὰ τῶν σοφωτάτων αὐτοῦ λόγων, καὶ καμάτων πολλῶν, ἐλευθερώσας αὐτὴν ἀπὸ τῆς λύμης τῶν αἱρέσεων, ἐψηφίσθη καὶ ἐπίσκοπος αὐτῆς, ὑπὸ τῆς ἐκεῖ τότε συγροτηθείσης Β'. Οἰκουμενικῆς Συνόδου, ἐν ᾗ καὶ διέπρεψε διὰ τῶν θεολογικῶν αὐτοῦ δογμάτων. Κυβερνήσας δὲ αὐτὴν μέχρι τοῦ 382, εἶτα τὸν Συντακτήριον, ὅ ἐστιν ἀποχαιρετικὸν αὐτοῦ λόγον, ἐνώπιον 150 ἐπισκόπων καὶ αὐτοῦ τοῦ βασιλέως ἐκφωνήσας, δι' οὗ τὴν παραίτησιν αὐτοῦ παρὰ πάντων αἰτήσας ἐπέτυχεν, ὑπέστρεψεν εἰς Ναζιανζόν· ὅπου τελέσας τὸ ὑπόλοιπον τοῦ βίου, ἀνεπαύσατο ἐν Κυρίῳ τῷ 391. ζήσας, ὡς λέγουσιν, ὑπὲρ τὰ 80 ἔτη. Τὰ σωζόμενα αὐτοῦ Συγγράμματα, λογογραφικὰ καὶ ποιητικὰ παντὸς μέτρου, δεικνύουσι τὴν λαμπρὰν καὶ γλαφυρὰν αὐτοῦ ῥητορείαν, καὶ τὴν θαυμάσιον πολυμάθειαν. Τὸ ὕψος τῶν Θεολογικῶν αὐτοῦ νοημάτων προεξένησεν αὐτῷ τὴν ἐπωνυμίαν Θεολόγος, καὶ ἰδικώτερον, Θεολόγος Τριαδικός· διότι εἰς πάντα λόγον σχεδὸν ἀναφέρει περὶ τῆς ἁγίας Τριάδος, καὶ τῆς μιᾶς αὐτῆς οὐσίας καὶ φύσεως. Διὸ καὶ Ἀλέξιος ὁ Ἀνθρωπος ἐστιχούργησεν εἰς αὐτὸν ταῦτα·

Ὡς ἄλλος ἀστὴρ ἀπλανὴς σελασφόρος, Ἡμᾶς παρθεύειν μυσταγωγίαις, Πάτερ
Πρὸς ἡλιακὴν Τριάδος φωταυγίαν, Γρηγόριε μέγιστε, πυρσεύνου στόμα.

Ἀργία, καὶ Κατάλυσις οἴνου καὶ ἐλαίου.

Ηλεκτρονική Βιβλιοθήκη Λήξουριου - Μουσείο Υπομνημάτων

Ἀπολυτίκιον, Ἦχος ά.

Ὁ ποιμενικὸς αὐλὸς τῆς Θεολογίας σου, τὰς τῶν ῥητόρων ἐνίκησε σάλπιγγας· ὡς γὰρ τὰ βάθη τοῦ πνεύματος ἐκζητήσαντι, καὶ τὰ κάλλη τοῦ φθέγματος προσετέθη σοι. Ἀλλὰ πρέσβευε Χριστῷ τῷ Θεῷ, Πάτερ Γρηγόριε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Θεολόγῳ γλώττῃ σου, τὰς συμπλοκὰς τῶν ῥητόρων, διαλύσας ἔνδοξε, ὀρθοδοξίας χιτῶνα, ἄνωθεν ἐξυφανθέντα τῇ Ἐκκλησίᾳ, ἐστόλισας, ὃν καὶ φοροῦσα σὺν ἡμῖν κράζει, τοῖς σοῖς τέκνοις: Χαίροις Πάτερ, Θεολογίας ὁ νοῦς ὁ ἀκρότατος.

✠ 26. Τοῦ ὁσίου Πατρὸς ἡμῶν Ξενοφῶντος, καὶ τῆς Συνοδίας αὐτοῦ.

Οὗτος ἦν Κωνσταντινουπολίτης τὴν πατρίδα, ἀνὴρ πλούσιος καὶ εὐγενὴς, καὶ τὴν πρὸς Θεὸν εὐσέβειαν πνέων. Ἔχων δὲ δύο υἱούς, Ἀρκάδιον καὶ Ἰωάννην, ἔπεμψεν αὐτοὺς εἰς Βηρυτόν, πρὸς μάθησιν τῶν νόμων καὶ ἄσκησιν· οἱ δὲ, ναυαγήσαντες κατὰ τὸν πλοῦν, καὶ μόλις διασωθέντες, ἀπῆλθον εἰς Παλαιστίνην. Ἀγνοῶν δὲ ὁ πατὴρ τὰ κατ' αὐτοὺς, παραλαβὼν Μαρίαν τὴν σύζυγον αὐτοῦ, ἐξῆλθον εἰς τὴν τῶν υἱῶν ἀναζήτησιν· καὶ εὑρόντες αὐτοὺς εἰς Ἱεροσόλυμα, τὸ μοναδικὸν σχῆμα ἐνδεδυμένους, ἐποίησαν καὶ αὐτοὶ τὸ αὐτό· καὶ οὕτω τελέσαντες ὁσίως τὸ λοιπὸν τῆς ζωῆς, πρὸς Κύριον ἐξεδήμησαν, περὶ τὰς ἀρχὰς τοῦ ε'. αἰῶνος.

Ἀπολυτίκιον, Ἦχος δ'.

Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὁ ποιῶν ἀεὶ μεθ' ἡμῶν, κατὰ τὴν σὴν ἐπιείκειαν, μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν· ἀλλὰ ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ κυβέρνησον τὴν ζωὴν ἡμῶν.

Κοντάκιον, Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἐν αὐλαῖς ἠγρύπνησας, ταῖς τοῦ Δεσπότου, τοῖς πτωχοῖς σκορπίσας σου, τὸν πλοῦτον Μάκαρ ἱλαρῶς, σὺν τῇ συζύγῳ καὶ τέκνοις σου· διὸ κληρῶσθε τὴν θείαν ἀπόλαυσιν.

✠ 27. Ἡ Ἀνακομιδὴ τοῦ Λειψάνου τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

Αὕτη ἐγένετο τῷ 438 ἔτει, κατὰ τὴν παροῦσαν ἡμέραν, βασιλεύον-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Ἁγιορειτικὴ Κεντρικὴ Βιβλιοθήκη Ἀρχείων
Μουσεῖο Τυπογραφίας Ἰακώβατων

τος ἤδη 30 ἔτη Θεοδοσίου τοῦ Μικροῦ, υἱοῦ Ἀρκαδίου καὶ Εὐδοξίας, τῶν ἐξορισάντων τὸν Ἅγιον, Ἀρχιεπισκόπου δὲ Κωνσαντινουπόλεως ὄντος Πρόκλου, τοῦ μαθητοῦ αὐτοῦ (Ὅρα Νοεμβ. 20).

## Ἀργία, καὶ Κατάλυσις οἴνου καὶ ἐλαίου.

### Ἀπολυτίκιον, Ἦχος πλ. δ'.

Ἡ τοῦ στόματός σου καθάπερ πυρσὸς ἐκλάμψασα χάρις, τὴν οἰκουμένην ἐφώτισεν, ἀφιλαργυρίας τῷ κόσμῳ θησαυροὺς ἐναπέθετο, τὸ ὕψος ἡμῖν τῆς ταπεινοφροσύνης ὑπέδειξεν. Ἀλλὰ σοῖς λόγοις παιδεύων, Πάτερ Ἰωάννη Χρυσόστομε, πρέσβευε τῷ Λόγῳ Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

### Κοντάκιον, Ἦχος α'. Χορὸς ἀγγελικός.

Εὐφράνθη μυστικῶς, ἡ σεπτὴ Ἐκκλησία, τῇ Ἀνακομιδῇ τοῦ σεπτοῦ σου Λειψάνου· καὶ τοῦτο κατακρύψασα, ὡς χρυσίον πολύτιμον, τοῖς ὑμνοῦσί σε, ἀδιαλείπτως παρέχει, ταῖς πρεσβείαις σου, τῶν ἁμαρτῶν τὴν χάριν, Ἰωάννη Χρυσόστομε.

✠ 28. **Τοῦ ὁσίου Πατρὸς ἡμῶν Ἐφραὶμ τοῦ Σύρου.**

Ὑπῆρχεν ἐκ Νισίβεως τῆς ἐν Μεσοποταμίᾳ, υἱὸς γεωργοῦ τινος τὴν τέχνην. Μετὰ τοὺς πρώτους χρόνους τῆς νεότητος, ἠσκήσεν εἰς ἄκρον τὴν μοναστικὴν ζωήν, καὶ ἐγένετο ἁγιώτατος ἐρημίτης· ἐχειροτονήθη ἔπειτα καὶ διάκονος τῆς Ἐδεσσηνῶν Ἐκκλησίας. Ὁ ἔνθεος αὐτοῦ ζῆλος κατέστησεν αὐτὸν εὐγλωττότατον ῥήτορα· συνέγραψε Συριστὶ πολλὰ καὶ θαυμάσια, ἐξελληνισθέντα σχεδὸν πάντα, ἔτι ζῶντος αὐτοῦ, πρὸς διδασκαλίαν τῶν πιστῶν, καὶ ὑπεράσπισιν τῆς ἀληθείας· καὶ οὕτω θεαρέστως τελέσας τὸν βίον αὐτοῦ, ἐκοιμήθη ἐν εἰρήνῃ τῷ 379 ἔτει.

### Ἀπολυτίκιον, Ἦχος πλ. δ'.

Ταῖς τῶν δακρύων σου ῥοαῖς, τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας· καὶ τοῖς ἐκ βάθους στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας· καὶ γέγονας φωστὴρ, τῇ οἰκουμένῃ λάμπων τοῖς θαύμασι, Ἐφραὶμ Πατὴρ ἡμῶν ὅσιε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

### Κοντάκιον, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τὴν ὥραν ἀεὶ προβλέπων τῆς ἐτάσεως, ἐθρήνεις Ἐφραὶμ, δάκρυα κατανύξεως· πρακτικὸς δὲ γέγονας

ἐν τοῖς ἔργοις διδάσκαλος ὅσιε· ὅθεν Πάτερ παγκόσμιε, ῥᾳθύμους ἐγείρεις πρὸς μετάνοιαν.

✠ 29. Ἡ Ἀνακομιδὴ τῶν Λειψάνων τοῦ ἁγίου Ἱερομάρτυρος Ἰγνατίου τοῦ Θεοφόρου. (Ὅρα Δεκεμβρίου 20).

Ἀπολυτίκιον, Ἦχος δ'.

Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος, τῶν Ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὖρες θεόπνευστε, εἰς θεωρίας ἐπίβασιν· διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίστει ἐνήθλησας μέχρις αἵματος Ἱερομάρτυς Ἰγνάτιε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος ὁ αὐτός. Ἐπεφάνης σήμερον.

Ἐξ ἑῴας σήμερον, ἐξανατείλας, καὶ τὴν κτίσιν ἅπασαν, καταλαμπρύνας διδαχαῖς, τῷ μαρτυρίῳ κεκόσμηται, ὁ θεοφόρος καὶ θεῖος Ἰγνάτιος.

✠ 30. Τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν καὶ οἰκουμενικῶν Διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου, καὶ Ἰωάννου τοῦ Χρυσοστόμου.

Ἡ κοινὴ αὕτη τῶν τριῶν τούτων Διδασκάλων ἑορτὴ συνέστη περὶ τὸ 1100 ἔτος, ἐπὶ τῆς βασιλείας Ἀλεξίου τοῦ Κομνηνοῦ, διὰ τότε γενομένην στάσιν καὶ φιλονεικίαν μεταξὺ τῶν ἐλλογίμων καὶ ἐναρέτων ἀνδρῶν· ἐξ ὧν τινὲς μὲν προτιμῶντες τὸν Βασίλειον, ἕτεροι δὲ τὸν Γρηγόριον, καὶ ἄλλοι τὸν Χρυσόστομον, ἐμάχοντο πρὸς ἀλλήλους· καὶ πρὸς διαφορὰν αὐτῶν, ἐπωνομάζοντο ἐκ τῶν ὀνομάτων τῶν Ἁγίων, οἱ μὲν Βασίλειται, οἱ δὲ Γρηγορῖται, οἱ δὲ Ἰωαννῖται. — Τῆς δὲ κοινῆς ταύτης ἑορτῆς τὴν Ἀκολουθίαν ἐποίησεν ἄριστα Ἰωάννης ὁ Εὐχαΐτων ἐπίσκοπος (Φεβρ. 8), ὁ καὶ Ἰωάννης Μελανόπους, ἢ Μαυρόπους ἐπονομαζόμενος, ἡνίκα ὑπῆρχεν εἰς τὸ τάγμα τῶν μοναχῶν πρὶν ἀρχιερατεύσῃ, ὡς φαίνεται ἐκ τῆς ἐπιγραφῆς τοῦ Κανόνος, τοῦ εἰς τὸν Ἄγγελον τὸν φύλακα τῆς τοῦ ἀνθρώπου ζωῆς. Ἤκμασε δὲ ὁ Ἰωάννης οὗτος περὶ τὰ μέσα τοῦ ΙΑ' αἰῶνος, παρατείνας τὸ ζῆν ἕως καὶ ἐπὶ τοῦ ἀνωτέρω Κομνηνοῦ.

Ἀργία, καὶ Κατάλυσις οἴνου καὶ ἐλαίου.

Ἀπολυτίκιον, Ἦχος ά.

Τοὺς τρεῖς μεγίστους φωστῆρας τῆς Τρισηλίου Θεότητος, τοὺς τὴν οἰκουμένην ἀκτῖσι δογμάτων θείων πυρσεύσαντας, τοὺς μελιῤῥύτους ποταμοὺς τῆς σοφίας,

τοὺς τὴν κτίσιν πᾶσαν θεογνωσίας νάμασι καταρδεύσαντας, Βασίλειον τὸν Μέγαν, καὶ τὸν Θεολόγον Γρηγόριον, σὺν τῷ κλεινῷ Ἰωάννῃ, τῷ τὴν γλῶτταν χρυσορρήμονι, πάντες οἱ τῶν λόγων αὐτῶν ἐρασταὶ, συνελθόντες ὕμνοις τιμήσωμεν· αὐτοὶ γὰρ τῇ Τριάδι, ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύουσιν.

Κοντάκιον, Ἦχος β'. Τοὺς ἀσφαλεῖς.

Τοὺς ἱεροὺς καὶ θεοφθόγγους κήρυκας, τὴν κορυφὴν τῶν Διδασκάλων Κύριε, προσελάβου εἰς ἀπόλαυσιν, τῶν ἀγαθῶν σου καὶ ἀνάπαυσιν· τοὺς πόνους γὰρ ἐκείνων καὶ τὸν κάματον, ἐδέξω ὑπὲρ πᾶσαν ὁλοκάρπωσιν, ὁ μόνος δοξάζων τοὺς Ἁγίους σου.

✠ 31. Τῶν ἁγίων καὶ Θαυματουργῶν Ἀναργύρων, Κύρου, καὶ Ἰωάννου.

Ἦσαν ἐν τοῖς χρόνοις Διοκλητιανοῦ, ὁ μὲν Κῦρος ἐκ τῆς Ἀλεξανδρείας, ὁ δὲ Ἰωάννης ἐκ τῆς Ἐδέσσης τῆς ἐν Μεσοποταμίᾳ. Διὰ δὲ τὸν τότε ἐπικρατοῦντα διωγμὸν, κατέφυγον εἴς τινα μονὴν, παρὰ τὸν Ἀραβικὸν κόλπον κειμένην· καὶ μονάσαντες ἐκεῖ, διετέλουν πᾶσαν ἀρετὴν ἐργαζόμενοι, καὶ πᾶσαν νόσον καὶ μαλακίαν δωρεὰν θεραπεύοντες, διὰ τῆς χάριτος τοῦ Χριστοῦ. Ἀκούσαντες δὲ, ὅτι γυνή τις Ἀθανασία τὸ ὄνομα, συλληφθεῖσα μετὰ τῶν τριῶν αὐτῆς θυγατέρων Θεοδότης, Θεοκτίσης, καὶ Εὐδοξίας, ἀπήχθη εἰς τὸ πριτώριον διὰ τὴν τῆς πίστεως ὁμολογίαν, καὶ φοβούμενοι μήπως, ἐν ταῖς βασάνοις ἀποδειλιάσασαι, ὡς γυναῖκες, ἀρνηθῶσι τὸν Χριστὸν, ἀπῆλθον πρὸς ἐνίσχυσιν αὐτῶν εἰς τὸ μαρτύριον. Διὸ συλληφθέντες καὶ αὐτοὶ, καὶ μετὰ τῶν ἱερῶν ἐκείνων Γυναικῶν τιμωρηθέντες, ἀπετμήθησαν πάντες τὴν κεφαλὴν, τῷ 292 ἔτει.

Ἀπολυτίκιον. Ἦχος πλ. α.

Τὰ θαύματα τῶν ἁγίων σου Μαρτύρων, τεῖχος ἀκαταμάχητον ἡμῖν δωρησάμενος, Χριστὲ ὁ Θεὸς, ταῖς αὐτῶν ἱκεσίαις, βουλὰς ἐθνῶν διασκέδασον, τῆς Βασιλείας τὰ σκῆπτρα κραταίωσον, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Κοντάκιον, Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Ἐκ τῆς θείας χάριτος, τὴν δωρεὰν τῶν θαυμάτων, εἰλήφοτες Ἅγιοι, θαυματουργεῖτε ἀπαύστως· ἅπαντα ἡμῶν τὰ πάθη τῇ χειρουργίᾳ, τέμνοντες τῇ ἀοράτῳ Κῦρε θεοφρον, σὺν τῷ θείῳ Ἰωάννῃ· ὑμεῖς γὰρ θεῖοι ἰατροὶ ὑπάρχετε.

Δημόσια Κεντρική Βιβλιοθήκη Κέρκυρας - Μουσείο Ιονίου Λαογραφίας

# ΜΗΝ ΦΕΒΡΟΥΑΡΙΟΣ.

Ἔχων ἡμέρας 28. εἰ δέ ἐστι Βίσεκτος, 29.

Ἡ ἡμέρα ἔχει ὥρας 11, καὶ ἡ νὺξ ὥρας 13.

✠ 1. Προεόρτια τῆς Ὑπαπαντῆς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ μνήμη τοῦ ἁγίου Μάρτυρος Τρύφωνος.

Ἠθλησεν ἐν ἔτει 250, ἐπὶ τῆς βασιλείας Δεκίου.

Ἀπολυτίκιον, Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ὁ Μάρτυς σου Κύριε, ἐν τῇ ἀθλήσει αὐτοῦ, τὸ στέφος ἐκομίσατο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· ἔχων γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλεν· ἔθραυσε καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση. Αὐτοῦ ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἕτερον Προεόρτιον, Ἦχος α'. Χορὸς ἀγγελικός.

Οὐράνιος χορός, οὐρανίων Ἀγγέλων, προκύψας ἐπὶ γῆς, ἀφικόμενον βλέπει, ὡς βρέφος βασταζόμενον, πρὸς Ναὸν τὸν Πρωτότοκον, πάσης κτίσεως, ὑπὸ Μητρὸς ἀπειράνδρου· προεόρτιον οὖν σὺν ἡμῖν μελῳδοῦσι, φρικτῶς ἐξιστάμενοι (*).

Κοντάκιον τοῦ Μάρτυρος, Ἦχος πλ. δ'. Ὡς ἀπαρχάς.

Τριαδικῇ στερρότητι, πολυθεΐαν ἔλυσας, ἐκ τῶν περάτων ἀοίδιμε, τίμιος ἐν Κυρίῳ γενόμενος· καὶ νικήσας τυράννους, ἐν Χριστῷ τῷ Σωτῆρι, τὸ στέφος εἴληφας τῆς μαρτυρίας σου, καὶ χαρίσματα θείων ἰά[illegible] ὡς ἀήττητος.

---

(*) Ἐν παλαιῷ Ὡρολογίῳ, τετυπωμένῳ τῷ ᾳφξγ'. ἔτει, εὑρίσκεται τὸ παρὸν Τροπάριον οὕτως·

Οὐράνιος χορός, οὐρανίων ἀψίδων, προκύψας ἐπὶ γῆς, καὶ φερόμενον βλέπων, ὡς βρέφος ὑπομάζιον, πρὸς Ναὸν τὸν πρωτότοκον, πάσης κτίσεως, ὑπὸ Μητρὸς ἀπειράνδρου, προεόρτιον, νῦν σὺν ἡμῖν μελῳδοῦσι, φρικτῶς ἐξιστάμενοι.

ΔΗΜΟΣΙΕΥΣΗ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λήξουριου - Ιόνιο Πανεπιστήμιο Τμήμα Αρχείου και Βιβλιοθηκών

## Η ΥΠΑΠΑΝΤΗ ΤΟΥ ΧΡΙΣΤΟΥ.



## ✠ 2. Ἡ Ὑπαπαντὴ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ἀφ' οὗ ἐπληρώθησαν αἱ 40 ἡμέραι τοῦ καθαρισμοῦ τῆς καθαρωτάτης Μητρὸς, καὶ ἀειπαρθένου Μαριὰμ, ἀνήγαγεν εἰς Ἱερουσαλὴμ τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον, κατὰ τὴν σήμερον ἡμέραν, ἥτις ἐστὶν ἡ τεσσαρακοστὴ ἀπὸ τῆς Γεννήσεως αὐτοῦ, ἵνα καὶ αὐτὸν παραστήσῃ ἐν τῷ Ἱερῷ, κατὰ τὸν νόμον Μωσέως. ὅτι πᾶν ἄρσεν πρωτότοκον ἔσται ἁφιερωμένον τῷ Θεῷ· καὶ τὴν εἰς τοῦτο νενομισμένην θυσίαν προσενέγκῃ, ζεῦγος τρυγόνων, ἢ δύο νεοσσοὺς περιστερῶν (Λουκ. β'. 22-24. Ἐξ. ιγ'. 2. Λευϊτ. ιβ', 6-8).—Κατὰ τὴν αὐτὴν δὲ ἡμέραν τε καὶ ὥραν, ὁδηγηθεὶς ὑπὸ Πνεύματος ἁγίου, εὑρέθη παρὼν ἐκεῖ καὶ ὁ εὐλαβὴς καὶ δίκαιος ὑπέργηρως Συμεών· ὅς τις, περιμένων πρὸ πολλοῦ τοῦ Θεοῦ τὸ σωτήριον, καὶ πεπληροφορημένος ἐκ θείας ἀποκαλύψεως, ὅτι οὐκ ἀποθανεῖται, πρὶν ἴδῃ τὸν Χριστὸν Κυρίου, ἰδὼν τότε αὐτὸν, καὶ δεξάμενος εἰς τὰς γηραιὰς αὐτοῦ ἀγκάλας, ἀπέδωκε δόξαν τῷ Θεῷ, ἅσας τὴν τρίτην καὶ τελευταίαν Ὠδὴν τῆς Νέας Διαθήκης: "Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα,"... καὶ ὡμολόγησεν, ὅτι μετὰ χαρᾶς λοιπὸν κλείει τὰ ὄμματα εἰς θάνατον, ἀφ' οὗ εἶδε τὸ φῶς τῆς τῶν ἐθνῶν ἀποκαλύψεως, καὶ τὴν δόξαν τοῦ Ἰσραὴλ (Λουκ. β'. 25-32).

### Ἀργία, καὶ ἰχθύος Κατάλυσις.

### Ἀπολυτίκιον, Ἦχος α'.

Χαῖρε κεχαριτωμένη, Θεοτόκε Παρθένε· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν, φωτίζων τοὺς ἐν σκότει. Εὐφραίνου καὶ σὺ Πρεσβῦτα δίκαιε, δεξάμενος ἐν ἀγκάλαις, τὸν ἐλευθερωτὴν τῶν ψυχῶν ἡμῶν, χαρίζόμενον ἡμῖν καὶ τὴν Ἀνάστασιν.

Κοντάκιον, Ἦχος ά.

Ὁ μήτραν παρθενικὴν ἁγιάσας τῷ τόκῳ σε, καὶ χεῖρας τὸ Συμεὼν εὐλογήσας ὡς ἔπρεπε, προφθάσας καὶ νῦν ἔσωσας ἡμᾶς, Χριστὲ ὁ Θεός. Ἀλλ' εἰρήνευσον ἐν πολέμοις τὸ πολίτευμα, καὶ κραταίωσον βασιλεῖς, οὓς ἠγάπησας, ὁ μόνος φιλάνθρωπος.

✠ 3. Τοῦ ἁγίου καὶ δικαίου Συμεὼν τοῦ Θεοδόχου καὶ τῆς ἁγίας Προφήτιδος Ἄννης.

Ἀπολυτίκιον, καὶ Κοντάκιον τῆς Ἑορτῆς, ὡς ἄνω.

✠ 4. Τῷ ὁσίῳ Πατρὸς ἡμῶν Ἰσιδώρου τοῦ Πηλουσιώτου.

Ὑπῆρχεν ἐκ τῆς Ἀλεξανδρείας· ἐχρημάτισε μαθητὴς τοῦ Χρυσοστόμου· ἤσκησεν ἐν τῇ κατὰ τὸ Πηλούσιον Ὄρος μονῇ, ἀφ' οὗ καὶ Πηλουσιώτης ἐπονομάζεται· ἐγένετο ἡγούμενος τῶν ἐν τῇ αὐτῇ μονῇ ἀσκημένων· συνέγραψε πολλὰ, καὶ μάλιστα Ἐπιστολὰς, κατά τινας μὲν 10,000. κατ' ἄλλους δὲ, 3,000. πλήρεις θείας καὶ ἀνθρωπίνης χάριτος, καὶ πάσης ὠφελείας· ἐτελεύτησε τῇ 5 Φεβρουαρίου, τῷ 440 ἔτει.

Ἀπολυτίκιον, Ἦχος πλ. δ'.

Ἐν σοὶ Πάτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα· λαβὼν γὰρ τὸν ζυγὸν, ἠκολούθησας τῷ Χριστῷ, καὶ πράττων ἐδίδασκες, ὑπεροράν μὲν σαρκὸς, παρέρχεται γάρ· ἐπιμελεῖσθαι δὲ ψυχῆς, πράγματος ἀθανάτου· διὸ καὶ μετὰ Ἀγγέλων συναγάλλεται, ὅσιε Ἰσίδωρε τὸ πνεῦμά σου.

Κοντάκιον, Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἑωσφόρον ἄλλον σε, ἡ Ἐκκλησία, εὐραμένη ἔνδοξε, ταῖς τῶν σῶν λόγων ἀστραπαῖς, λαμπρυνομένη κραυγάζει σοι: Χαίροις παμμάκαρ, θεόφρον Ἰσίδωρε.

✠ 5. Τῆς ἁγίας Μάρτυρος Ἀγάθης.

Ὑπῆρχεν ἐκ Πανόρμου τῆς Σικελίας, παρθένος περικαλλὴς καὶ σωφρονεστάτη, ἥτις, μετὰ πολλὰς καὶ δριμυτάτας βασάνους, ἐτελεύτησεν ἐν φυλακῇ τῷ 251, μὴ βουληθεῖσα συγκατανεῦσαι εἰς τὸν ἔρωτα Κυντιανοῦ, τοῦ τῆς Σικελίας Κυβερνήτου.

Ἀπολυτίκιον Ἦχος δ'.

Ἡ ἀμνάς σου Ἰησοῦ. Ὅρα σελ. 181.

Κοντάκιον, Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Στολίζεσθε σήμερον, ἡ Ἐκκλησία, πορφυρίδα ἔνδοξον, καταβαφεῖσαν ἐξ ἀγώνων, λύθρων Ἀγάθης τῆς Μάρτυρος: Χαῖρε, βοῶσα, Κατάνης τὸ καύχημα.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Κηφισιάς
Μουσείο Τυπογραφίας Ιακώβου Μανού

✠ 6. Τοῦ ὁσίου Πατρὸς ἡμῶν Βουκόλου, ἐπισκόπου Σμύρνης.

Χειροτονηθέντος μὲν παρὰ Ἰωάννου τοῦ Εὐαγγελιστοῦ, καταλιπόντος δὲ διάδοχον αὐτοῦ τὸν Πολύκαρπον.

Ἀπολυτίκιον, Ἦχος δ'.

Κανόνα πίστεως, καὶ εἰκόνα πραότητος, ἐγκρατείας διδάσκαλον, ἀνέδειξέ σε τῇ ποίμνῃ σου ἡ τῶν πραγμάτων ἀλήθεια· διὰ τοῦτο ἐκτήσω τῇ ταπεινώσει τὰ ὑψηλά, τῇ πτωχείᾳ τὰ πλούσια. Πάτερ Ἱεράρχα Βουκόλε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

✠ 7. Τοῦ ἁγίου Παρθενίου, ἐπισκόπου Λαμψάκου· καὶ τοῦ ὁσίου Λουκᾶ, τοῦ ἐν τῷ Στειρίῳ τῆς Ἑλλάδος.

Ὁ μὲν ἤκμασεν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Μεγάλου, περὶ τὰ 318. Ὁ δὲ Λουκᾶς περὶ τὰ μέσα τοῦ δεκάτου αἰῶνος, τῶν προγόνων αὐτοῦ ἐκ τῆς Αἰγίνης καταγομένων. Ἦν δὲ τὸ Στείριον, ὄρος κατὰ τὴν Φωκίδα, καὶ πόλις κατ' αὐτό, Στεῖρις, ἢ Στίρις καλουμένη.

Ἀπολυτίκιον, Ἦχος δ'.

Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὁ ποιῶν ἀεὶ μεθ' ἡμῶν, κατὰ τὴν σὴν ἐπιείκειαν, μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν· ἀλλὰ ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ κυβέρνησον τὴν ζωὴν ἡμῶν.

Κοντάκιον Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Τῶν θαυμάτων εἴληφας, τὴν θείαν χάριν θεόφρον, ἱερὲ Παρθένιε, θαυματουργὲ θεοφόρε, ἅπαντα πιστῶν τὰ πάθη ἀποκαθαίρων, πνεύματα τῆς πονηρίας πάτερ ἐλαύνων· διὰ τοῦτό σε ὑμνοῦμεν, ὡς μέγαν μύστην Θεοῦ τῆς χάριτος.

✠ 8. Τοῦ ἁγίου Μεγαλομάρτυρος Θεοδώρου τοῦ Στρατηλάτου· καὶ τοῦ ἁγίου Προφήτου Ζαχαρίου.

Ὁ μὲν Μάρτυς ὑπῆρχεν ἐκ τῶν Εὐχαΐτων τῆς Γαλατίας· κατῴκει εἰς τὴν Ἡράκλειαν, στρατιωτικὸς τὴν τάξιν· ἤθλησεν ἐπὶ Λικινίου, τῷ 320 ἔτει. — Ὁ δὲ Προφήτης ἦν υἱὸς Βαραχίου, σύγχρονος τοῦ Προφήτου Ἀγγαίου, προφητεύσας καὶ αὐτὸς κατὰ τοὺς αὐτοὺς χρόνους, καθ' οὓς ἐκεῖνος. (Δεκεμβ. 16). Ἡ προφητεία αὐτοῦ, εἰς 14 κεφάλαια διηρημένη, τάττεται ἡ ἑνδεκάτη τῶν Ἑλασσόνων Προφητῶν.

Κατάλυσις οἴνου καὶ ἐλαίου.

ΔΙΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

Ἀπολυτίκ. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Στρατολογίᾳ ἀληθεῖ ἀθλοφόρε, τοῦ οὐρανίου στρατηγὸς Βασιλέως, περικαλλὴς γεγένησαι Θεόδωρε· ὅπλοις γὰρ τῆς πίστεως, παρετάξω ἐμφρόνως, καὶ κατεξωλόθρευσας τῶν δαιμόνων τὰ στίφη, καὶ νικηφόρος ὤφθης ἀθλητής· ὅθεν σε πίστει ἀεὶ μακαρίζομεν.

Κοντάκιον, Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Ἀνδρείᾳ ψυχῆς, τὴν πίστιν ὁπλισάμενος, καὶ ῥῆμα Θεοῦ, ὡς λόγχην χειρισάμενος, τὸν ἐχθρὸν κατέτρωσας, τῶν Μαρτύρων κλέος Θεόδωρε. Σὺν αὐτοῖς Χριστῷ τῷ Θεῷ, πρεσβεύων μὴ παύσῃ ὑπὲρ πάντων ἡμῶν.

✠ 9. Τοῦ ἁγίου Μάρτυρος Νικηφόρου.

Ἤθλησεν ἐπὶ Οὐαλεριανοῦ καὶ Γαλιήνου, ἐν ἔτει 260.

Ἐν ταύτῃ τῇ ἡμέρᾳ ἀποδίδοται τῆς Ὑπαπαντῆς ἡ Ἑορτή, καὶ ψάλλονται πάντα τὰ αὐτῆς, εἰ οὐκ ἔστι Τεσσαρακοστή. Ἐὰν δὲ τύχῃ ἐν αὐτῇ, ψάλλεται ἡ Ἀκολουθία τοῦ Ἁγίου, ὡς προαποδεδομένης τῆς Ἑορτῆς.

Ἀπολυτίκιον. Ὁ Μάρτυς σου Κύριε. Σελ. 272.

Κοντάκιον, Ἦχος ά. Χορὸς ἀγγελικός.

Ἀγάπῃ τῷ δεσμῷ, συνδεθεὶς Νικηφόρε, διέλυσας τρανῶς, τὴν κακίαν τοῦ μίσους· καὶ ξίφει τὴν κάρα σου, ἐκτμηθεὶς ἐχρημάτισας, Μάρτυς ἔνθεος, τοῦ σαρκωθέντος Σωτῆρος· ὃν ἱκέτευε, ὑπὲρ ἡμῶν τῶν ὑμνούντων, τὴν ἔνδοξον μνήμην σου.

✠ 10. Τοῦ ἁγίου Μάρτυρος Χαραλάμπους.

Ὑπῆρχεν ἱερεὺς τῶν Χριστιανῶν ἐν Μαγνησίᾳ, πόλει πρωτευούσῃ τῆς κατὰ τὴν Θετταλίαν ὁμωνύμου ἐπαρχίας· ἤθλησεν ἐπὶ τῆς βασιλείας Σεβήρου, ἐπὶ ἡγεμόνος τῆς Μαγνησίας Λουκιανοῦ, τῷ 198 ἔτει.

Κατάλυσις οἴνου καὶ ἐλαίου.

Ἀπολυτίκιον, Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ὡς στῖλος ἀκλόνητος, τῆς Ἐκκλησίας Χριστοῦ, καὶ λύχνος ἀείφωτος, τῆς οἰκουμένης σοφὲ, ἐδείχθης Χαράλαμπες· ἔλαμψας ἐν τῷ κόσμῳ διὰ τὸ μαρτύριόν, ἔλυτας καὶ εἰδώλων τὴν σκοτομκιναν μάκαρ. Διὸ ἐν παῤῥησίᾳ Χριστῷ, πρέσβευε σωθῆναι ἡμᾶς.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Κοζάνης
Μουσείο Τσιτσάνειου Ιδρύματος

Κοντάκιον, Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ὡς φωστὴρ ἀνέτειλας, ἐκ τῆς ἑῴας, καὶ πιστοὺς ἐφώτισας, ταῖς τῶν θαυμάτων σου βολαῖς, Ἱερομάρτυς Χαράλαμπες· ὅθεν τιμῶμεν τὴν θείαν σου ἄθλησιν.

✠ 11. Τοῦ ἁγίου Ἱερομάρτυρος Βλασίου· καὶ τῆς ἁγίας Θεοδώρας τῆς Αὐγούστης.

Ὁ μὲν ὑπῆρχεν ἐπίσκοπος Σεβαστείας· ἡ θεία χάρις, δι' ἧς ἐθεράπευε τὰς νόσους ἀνθρώπων καὶ κτηνῶν, καὶ ἐξαιρέτως τῶν νηπίων, κατέστησε τὸ ὄνομα αὐτοῦ ἀκουστόν· ἤθλησεν ἐπὶ Λικινίου, τῷ 316 ἔτει. — Ἡ δὲ ἀοίδιμος Βασιλὶς Θεοδώρα κατήγετο ἐκ Παφλαγονίας, θυγάτηρ χιλιάρχου τινὸς, Μαρίνου τὸ ὄνομα. Ἐγένετο σύζυγος τοῦ Βασιλέως Θεοφίλου τοῦ Εἰκονομάχου, καὶ ἐκόσμησε τὸ σύζυγον διάδημα διὰ τῆς ἀρετῆς καὶ εὐσεβείας. Ἀνεστήλωσε τὰς ἁγίας Εἰκόνας μετὰ τὸν θάνατον τοῦ ἀνδρὸς αὐτῆς (Α'. Κυρ. τῶν Νηστ.). Ἐκυβέρνησε τὸν θρόνον μετὰ μεγάλης φρονήσεως 15 ἔτη, ἀνηλίκου ὄντος τοῦ υἱοῦ αὐτῆς Μιχαήλ. Τῷ δὲ 857 ἔτει, καταλιποῦσα τὰ βασίλεια, εἰσῆλθεν εἰς Παρθενῶνά τινα, καλούμενον Γαστρία· ὅπου ὁσίως τελέσασα τὸ λοιπὸν τῆς ζωῆς, ἀνεπαύσατο ἐν Κυρίῳ. Τὸ ἱερὸν αὐτῆς λείψανον εὑρίσκεται νῦν ἐν Κερκύρᾳ, ἐν τῇ ἐπ' ὀνόματι τοῦ Ταξιάρχου Μιχαὴλ ἐκκλησίᾳ τῆς Μητροπόλεως (Δεκεμβρ. 12).

Κατάλυσις οἴνου καὶ ἐλαίου.

Ἀπολυτίκιον, Ἦχος δ'.

Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος, τῶν Ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὗρες θεόπνευστε, εἰς θεωρίας ἐπίβασιν· διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίστει ἐνήθλησας μέχρις αἵματος, Ἱερομάρτυς Βλάσιε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Ὁ θεῖος βλαστὸς τὸ ἄνθος τὸ ἀμάραντον, ἀμπέλου Χριστοῦ, τὸ κλῆμα τὸ πολύφορον, θεοφόρε Βλάσιε, τοὺς ἐν πίστει τιμῶντας τὴν μνήμην σου, εὐφροσύνης πλήρωσον τῆς σῆς, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

✠ 12. Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Μελετίου, ἀρχιεπισκόπου Ἀντιοχείας τῆς Μεγάλης.

Ὁ θεσπέσιος οὗτος πατὴρ ὑπῆρχεν ἐκ Μελιτινῆς τῆς ἐν τῇ μικρᾷ Ἀρμενίᾳ, ἀνὴρ ἄμεμπτος, δίκαιος, θεοσεβὴς, εἰλικρινὴς, καὶ ἐπιεικέστα-

ΔΗΜΟΣΙΕΥΣΙΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

τος. Προχειρισθεὶς ἐπίσκοπος Σεβαστείας τῷ 357 ἔτει, ἐξώσθη τοῦ θρόνου, καὶ ἀπῆλθεν εἰς Βέρροιαν τῆς Συρίας, τὸ νῦν Χαλέπ, κατά τινας. Μετακληθεὶς εἰς τὸν τῆς Ἀντιοχείας θρόνον τῷ 360, ἐξωρίσθη μετ' ὀλίγον ὑπὸ τοῦ ἀρειανόφρονος Κωνσταντίου, υἱοῦ τοῦ Μ. Κωνσταντίνου. Μετὰ παρέλευσιν χρόνου, ἀνακληθεὶς πάλιν εἰς τὸν αὐτὸν θρόνον, ἐξωρίσθη καὶ τρίτον ὑπὸ τοῦ Οὐάλεντος. Ἐπιζήσας δὲ μέχρι τῆς ἐν Κωνσταντινουπόλει Β'. Οἰκουμενικῆς Συνόδου, ἐπὶ Θεοδοσίου τοῦ Μεγάλου συγκροτηθείσης τῷ 381, ἐπαρουσίασεν εἰς αὐτὴν, καὶ ἐθαυμάσθη ὑπὸ πάντων, καὶ τοῦ Βασιλέως αὐτοῦ· ἀλλ' ἀσθενήσας ἐκεῖ, ἐτελεύτησε μετ' ὀλίγον, καὶ ἐθρήνησαν αὐτὸν πάντες οἱ τῆς Συνόδου ἐπίσκοποι, ὡς ἑαυτῶν πατέρα.

## Ἀπολυτίκιον, Ἦχος δ'.

Κανόνα πίστεως, καὶ εἰκόνα πραότητος, ἐγκρατείας διδάσκαλον, ἀνέδειξέ σε τῇ ποίμνῃ σου ἡ τῶν πραγμάτων ἀλήθεια· διὰ τοῦτο ἐκτήσω τῇ ταπεινώσει τὰ ὑψηλά, τῇ πτωχείᾳ τὰ πλούσια. Πάτερ Ἱεράρχα Μελέτιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκ. Ἦχος πλ. β'. Τὴν σωματικήν σου παρουσίαν. Τὴν πνευματικήν σου παῤῥησίαν δεδοικὼς ὁ ἀποσάτης, φεύγει Μακεδόνιος· τὴν πρεσβευτικὴν δὲ λειτουργίαν ἐκπληροῦντές σε οἱ δῶλοι, πόθῳ σοὶ προστρέχομεν, τῶν Ἀγγέλων ἐφάμιλλε Μελέτιε, ἡ πύρινος ῥομφαία Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἡ πάντας τοὺς ἀθέους κατασφάττουσα, ὑμνοῦμέν σε τὸν φωστῆρα, τὸν φωτίσαντα τὰ πάντα.

## ✠ 13. Τοῦ ὁσίου Πατρὸς ἡμῶν Μαρτινιανοῦ.

Ὑπῆρχεν ἐκ Καισαρείας τῆς Παλαιστίνης· ἤκμασε περὶ τὰς ἀρχὰς τοῦ Ε'. αἰῶνος· ἤσκησεν ἐκ νεότητος εἰς τὰς ἐρήμους· πεσὼν δὲ εἰς πειρασμὸν, μετῴκησεν εἴς τινα νῆσον· ἀλλὰ κἀκεῖ τὰ αὐτὰ παθὼν, ἔφευγε τοῦ λοιποῦ ἐκ τόπου εἰς τόπον, λέγων καθ' ἑαυτόν· Φεῦγε Μαρτινιανέ, καὶ σώζου.

## Ἀπολυτίκιον, Ἦχος πλ. δ'.

Τὴν φλόγα τῶν πειρασμῶν, δακρύων τοῖς ὀχετοῖς, ἐναπέσβεσας Μακάριε, καὶ τῆς θαλάσσης τὰ κύματα, καὶ τῶν θηρῶν τὰ ὁρμήματα χαλινώσας ἐκραύγαζες· Δεδοξασμένος εἶ Παντοδύναμε, πυρὸς καὶ ζάλης ὁ σώσας με.

ΔΗΜΟΣΙΕΥΣΗ ΒΙΒΛΙΟΘΗΚΗ

Κοντάκιον, Ἦχος β'. Τοὺς ἀσφαλεῖς.

Ὡς ἀσκητὴν τῆς εὐσεβείας δόκιμον, καὶ ἀθλητὴν τῇ προαιρέσει τίμιον, καὶ ἐρήμου καρτερόψυχον, πολίτην ἅμα καὶ συνίστορα, ἐν ὕμνοις ἐπαξίως εὐφημήσωμεν, Μαρτινιανὸν τὸν ἀεισέβαστον· αὐτὸς γὰρ τὸν ὄφιν κατεπάτησεν.

✠ 14. Τοῦ ὁσίου Πατρὸς ἡμῶν Αὐξεντίου.

Ὑπῆρχεν ἐξ Ἀνατολῶν, ἐπὶ Θεοδοσίου τοῦ Μικροῦ, ὅτε τῷ 433 ἔτει ἐνεγράφη εἰς τὸ τέταρτον στρατιωτικὸν τάγμα τῶν Σχολαρίων οὕτω καλουμένων ἐκ τοῦ σχολάζειν εἰς τὴν τοῦ βασιλέως καὶ τῆς βασιλικῆς αὐλῆς φυλακήν. Ὕστερον δὲ μονάσας ἐπί τινος βουνοῦ τῆς Βιθυνίας, καὶ Ἀρχιμανδρίτης τῶν ἐκεῖ συναχθέντων μοναχῶν γενόμενος, καὶ φανεὶς καρτερικώτατος εἰς τὴν ἄσκησιν, καὶ ὀρθοδοξότατος τὴν πίστιν, ἐτελεύτησεν ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ Θρακὸς, τῷ 447-474 βασιλεύσαντος.

Ἀπολυτίκ. Ἦχος ά. Τοῦ λίθου σφραγισθέντος.

Τῆς ἐρήμου πολίτης, καὶ ἐν σώματι ἄγγελος, καὶ θαυματουργὸς ἀνεδείχθης, θεοφόρε Πατὴρ ἡμῶν Αὐξέντιε· νηστείᾳ, ἀγρυπνίᾳ, προσευχῇ, οὐράνια χαρίσματα λαβών, θεραπεύεις τοὺς νοσοῦντας, καὶ τὰς ψυχὰς τῶν πίστει προστρεχόντων σοι. Δόξα τῷ δεδωκότι σοι ἰσχύν· δόξα τῷ σὲ στεφανώσαντι· δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

✠ 15. Τῶ ἁγίω Ἀποστόλω Ὀνησίμω, (Ὅρα Νοεμβρ. 22).

Ἀπολυτίκιον, Ἦχος γ'.

Ἀπόστολε ἅγιε Ὀνήσιμε, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Κοντάκιον, Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ὡς ἀκτὶς ἐξέλαμψας τῇ οἰκουμένῃ, ταῖς βολαῖς λαμπόμενος, ἡλίου μάκαρ παμφαοῦς, Παύλου τοῦ κόσμον φωτίσαντος· διό σε πάντες τιμῶμεν Ὀνήσιμε.

✠ 16. Τῶ ἁγίου Μάρτυρος Παμφίλω, καὶ τῶν σὺν αὐτῷ.

Ἡθλησεν ἐπὶ Μαξιμιανοῦ τῷ 290 ἔτει, ἐν Καισαρείᾳ· τῶν δὲ συναθλητῶν αὐτοῦ τὰ ὀνόματα εἰσὶν: Οὐάλης, Παῦλος, Σέλευκος Πορφύριος, Ἰουλιανὸς: Θεόδουλος, καὶ πέντε Αἰγύπτιοι: Ἡλίας, Ἱερεμίας, Ἡσαΐας, Σαμουὴλ, καὶ Δανιήλ.

Ἀπολυτίκιον, Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Οἱ Μάρτυρές σου Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν, στεφάνους ἐκομίσαντο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· σχόντες γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλον· ἔθραυσαν καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση. Αὐτῶν ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Κολαστηρίων φοβερῶν προκειμένων, οἱ τοῦ Κυρίου ἀθληταὶ οἱ γενναῖοι, ἐν ἀπτοήτῳ χαίροντες φρονήματι, τούτοις προσωμίλησαν, τῆς σαρκὸς ἀλογοῦντες· ὅθεν ἐκληρώσαντο αἰωνίζουσαν δόξαν, ὑπὲρ ἡμῶν πρεσβεύοντες ἀεί, τῶν εὐφημούντων αὐτῶν τὰ παλαίσματα.

✠ 17. Τοῦ ἁγίου Μεγαλομάρτυρος Θεοδώρου τοῦ Τήρωνος.

Ὑπῆρχεν ἐκ τῆς κατὰ τὸν Πόντον Ἀμασείας· ἤθλησεν ἐπὶ Μαξιμιανοῦ καὶ Μαξιμίνου, τῷ 297 ἔτει. Ἐπωνομάσθη δὲ Τήρων, ἢ ὀρθότερον, Τίρων, (ἐκ τοῦ Λατινικοῦ Tiro, ὅπερ καὶ Tyro γράφεται.) διότι, μόλις συναριθμηθεὶς εἰς τὸ τάγμα τῶν Τιρώνων, ὅ ἐστι νεοσυλλέκτων, ἢ πρωτοπείρων στρατιωτῶν, παῤῥησιασμένος τὴν πίστιν τοῦ Χριστοῦ, ὑπέστη διὰ πυρὸς τὸν τοῦ μαρτυρίου θάνατον.

Κατάλυσις οἴνου καὶ ἐλαίου.

Ἀπολυτίκιον, Ἦχος β'.

Μεγάλα τὰ τῆς πίστεως κατορθώματα! ἐν τῇ πηγῇ τῆς φλογὸς, ὡς ἐπὶ ὕδατος ἀναπαύσεως, ὁ ἅγιος Μάρτυς Θεόδωρος ἠγάλλετο· πυρὶ γὰρ ὁλοκαυτωθείς, ὡς ἄρτος ἡδὺς τῇ Τριάδι προσήνεκται. Ταῖς αὐτοῦ ἱκεσίαις Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον αὐτόμελον, Ἦχος πλ. δ'.

Πίστιν Χριστοῦ ὡσεὶ θώρακα, ἔνδον λαβὼν ἐν καρδίᾳ σου, τὰς ἐναντίας δυνάμεις κατεπάτησας πολύαθλε, καὶ στέφει οὐρανίῳ ἐστέφθης, αἰωνίως ὡς ἀήττητος.

✠ 18. Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Λέοντος Πάπα Ῥώμης.

Ἐγεννήθη, κατὰ τινας μὲν ἐν Ῥώμῃ, κατ' ἄλλους δὲ ἐν Τυρρηνίᾳ (Τοσκάνᾳ) προεχειρίσθη εἰς τὸν ἀρχιεπισκοπικὸν τῆς Ῥώμης θρόνον, τῷ 440 ἔτει· ἀπέστειλε τέσσαρας τοποτηρητὰς ἑαυτοῦ εἰς τὴν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημοσία Κεντρική Βιβλιοθήκη Λαπεσυρίου - Μουσείο Γυαλινών Τσακαβάτων

ἐν Χαλκηδόνι Δ'. Οἰκουμενικὴν Σύνοδον τῶν 630 ἁγίων Πατέρων, ἐπὶ Μαρκιανοῦ τῷ 451 συγκροτηθεῖσαν κατὰ Διοσκούρου καὶ Εὐτυχοῦς· συνέγραψε Λατινιστὶ πολλά· ἐτελεύτησε τῷ 461.

Ἀπολυτίκιον, Ἦχος δ'.

Κανόνα πίστεως, καὶ εἰκόνα πραότητος, ἐγκρατείας διδάσκαλον, ἀνέδειξέ σε τῇ ποίμνῃ σου, ἡ τῶν πραγμάτων ἀλήθεια· διὰ τοῦτο ἐκτήτω τῇ ταπεινώσει τὰ ὑψηλά, τῇ πτωχείᾳ τὰ πλούσια. Πάτερ Ἱεράρχα Λέων, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Ἐπὶ θρόνου ἔνδοξε, ἱερωσύνης καθίσας, καὶ λεόντων στόματα, τῶν λογικῶν ἀποφράξας, δόγμασιν ἐνθεοπνεύστοις σεπτῆς Τριάδος, ηὔγασας φῶς τῇ σῇ ποίμνῃ θεογνωσίας· διὰ τοῦτο ἐδοξάσθης, ὡς θεῖος μύστης Θεοῦ τῆς χάριτος.

✠ 19. Τῶ ἁγίῳ Ἀποστόλῳ Ἀρχίππῳ. (Ὅρα Νοεμβρ. 22).

Ἀπολυτίκιον, Ἦχος γ'.

Ἀπόστολε ἅγιε Ἄρχιππε, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ, ταῖς ψυχαῖς ἡμῶν.

Κοντάκιον, Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ὡς ἀστέρα μέγαν σε, ἡ Ἐκκλησία, κεκτημένη Ἄρχιππε, ταῖς τῶν θαυμάτων σου βολαῖς, φωτιζομένη κραυγάζει σοι: Σῶσον τοὺς πίστει, τιμῶντας τὴν μνήμην σου.

✠ 20. Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Λέοντος, ἐπισκόπου Κατάνης.

Ὑπῆρχεν ἐκ Ῥαβέννης τῆς Ἰταλίας· ἤκμασεν ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ Σοφοῦ, καὶ τοῦ υἱοῦ αὐτοῦ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, περὶ τὰ 886-919.

Ἀπολυτίκιον, Ἦχος δ'.

Κανόνα πίστεως, καὶ εἰκόνα πραότητος.

Ὅρα ἀνωτέρω.

Κοντάκιον, Ἦχος β'. Τὴν ἐν πρεσβείαις.

Τὸν ἀπὸ βρέφους Κυρίῳ ἀνατεθέντα, καὶ ἐκ σπαργάνων τὴν χάριν ἀνειληφότα, πάντες τοῖς ἄσμασι

στεφανώσωμεν, Λέοντα τὸν φωστῆρα τῆς Ἐκκλησίας καὶ πρόμαχον· αὐτῆς γὰρ ὑπάρχει τὸ στήριγμα.

✠ 21. Τοῦ ὁσίου Πατρὸς ἡμῶν Τιμοθέου, τοῦ ἐν Συμβόλοις· καὶ τοῦ ἁγίου Εὐσταθίου, ἐπισκόπου Ἀντιοχείας τῆς Μεγάλης.

Τοῦ μὲν Ὁσίου ἄδηλος καὶ ἡ πατρὶς καὶ ὁ χρόνος, καθ' ὃν ἤσκησεν. Ὁ δὲ μέγας τῆς εὐσεβείας ὑπερασπιστὴς Εὐστάθιος ὑπῆρχεν ἐκ Σίδης τῆς Παμφυλίας· ἐγένετο πρῶτον τῆς Βερροίας (Χαλὲπ) ἐπίσκοπος· εἶτα τῷ 325, παρουσιάσας εἰς τὴν Α'. Οἰκουμενικὴν Σύνοδον, μετετέθη ὑπ' αὐτῆς εἰς τὸν τῆς Ἀντιοχείας θρόνον. Ἀλλ' ὁ Μ. Κωνσταντῖνος, πιστεύσας εἰς τὰς κατ' αὐτοῦ συκοφαντίας τῶν Ἀρειανῶν, ἐξώρισεν αὐτὸν εἰς Τραϊανούπολιν τῆς Θράκης, ὅπου ἐτελεύτησε τῷ 337, κατά τινας· ἄλλοι δὲ παρατείνουσι τὸν βίον αὐτοῦ μέχρι τῶν 360.

Ἀπολυτίκιον, Ἦχος δ'.

Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν. Ὅρα σελ. 275.

Κοντάκιον, Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ὡς ἀϛὴρ πολύφωτος, ἐκ τῆς ἑῴας, ἀναλάμψας ηὔγασας, ἐν ταῖς καρδίαις τῶν πιστῶν, τὰς ἀρετὰς τῶν θαυμάτων σου, θαυματοφόρε παμμάκαρ Τιμόθεε.

✠ 22. Ἡ εὕρεσις τῶν τιμίων Λειψάνων τῶν ἁγίων Μαρτύρων, τῶν ἐν τοῖς Εὐγενίου.

Ἀπολυτίκιον. Οἱ Μάρτυρές σου Κύριε. Σελ. 280.

✠ 23. Τοῦ ἁγίου Ἱερομάρτυρος Πολυκάρπου, ἐπισκόπου Σμύρνης.

Ὁ Ἀποστολικὸς οὗτος καὶ Προφητικὸς ἀνὴρ, καὶ χαρακτὴρ τῆς πίστεως καὶ τῆς ἀληθείας, ὑπῆρχε μαθητὴς Ἰωάννου τοῦ Εὐαγγελιστοῦ, καὶ τοῦ Βουκόλου διάδοχος (Φεβρ. 6). Γηραλέος δὲ ὢν τὴν ἡλικίαν, 95 ἐτῶν, ὅτε ὁ Ε'. κατὰ τῶν Χριστιανῶν διωγμὸς ἐκινήθη, ἐπὶ Μάρκου Αὐρηλίου, τοῦ καὶ Ἀντωνίνου Φιλοσόφου καλουμένου, συλληφθεὶς ὑπὸ τοῦ Ἀνθυπάτου τῆς Σμύρνης, καὶ παρακινούμενος ἵνα βλασφημήσῃ τὸν Χριστὸν, εἶπεν: "Ὀγδοήκοντα καὶ ἓξ ἔτη δουλεύω αὐτῷ, καὶ οὐδέν με ἠδίκησε· καὶ πῶς δύναμαι βλασφημῆσαι τὸν Βασιλέα μου, τὸν σώσαντά με„; Ὁ δὲ τύραννος ὀργισθεὶς ἐπὶ τοῖς λόγοις τούτοις, ἐκέλευσε ῥιφθῆναι αὐτὸν εἰς τὸ πῦρ· καὶ οὕτως ἐτελεύτησεν ἐνδόξως τῷ 166 ἔτει, ταῦτα διδάξας πάντοτε, κατὰ τὸν Εὐσέβιον, ἃ καὶ παρὰ τῶν Ἀποστόλων ἔμαθεν, ἃ καὶ ἡ Ἐκκλησία παραδίδωσιν, ἃ καὶ μόνα ἐστὶν ἀληθῆ (Ἱστορ. Ἐκκλ. βιβλ. δ'. κεφ. 14. καὶ 15).

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ἀπολυτίκιον, Ἦχος δ'.

Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος, τῶν Ἀποστόλων γενόμενος τὴν πρᾶξιν εὗρες θεόπνευστε, εἰς θεωρίας ἐπίβασιν· διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίστει ἐνήθλησας μέχρις αἵματος, Ἱερομάρτυς Πολύκαρπε. Πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος ά. Χορὸς ἀγγελικός.

Καρποὺς τοὺς λογικοὺς τῷ Κυρίῳ προσφέρων, Πολύκαρπε σοφὲ, ἀρετῶν δι' ἐνθέων, ἐδείχθης ἀξιόθεος, Ἱεράρχα μακάριε· ὅθεν σήμερον, οἱ φωτισθέντες σοῖς λόγοις, ἀνυμνοῦμέν σου, τὴν ἀξιέπαινον μνήμην, Θεὸν μεγαλύνοντες.

✠ 24. Ἡ Πρώτη καὶ Δευτέρα Εὕρεσις τῆς τιμίας Κεφαλῆς τοῦ Προδρόμου.

Κατάλυσις οἴνου καὶ ἐλαίου.

Ἀπολυτίκιον, Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ἐκ γῆς ἀνατείλασα, ἡ τοῦ Προδρόμου Κεφαλὴ, ἀκτῖνας ἀφίησι τῆς ἀφθαρσίας, πιστοῖς τῶν ἰάσεων· ἄνωθεν συναθροίζει τὴν πληθὺν τῶν Ἀγγέλων, κάτωθεν συγκαλεῖται τῶν ἀνθρώπων τὰ γένη, ὁμόφωνον ἀναπέμψαι δόξαν Χριστῷ τῷ Θεῷ.

Κοντάκιον, Ἦχος β. Τὰ ἄνω ζητῶν.

Προφῆτα Θεοῦ, καὶ Πρόδρομε τῆς χάριτος, τὴν Κάραν τὴν σὴν, ὡς ῥόδον ἱερώτατον, ἐκ τῆς γῆς εὑράμενοι, πᾶς ἰάσεις πάντοτε λαμβάνομεν· καὶ γὰρ πάλιν ὡς πρότερον ἐν κόσμῳ κηρύττεις τὴν μετάνοιαν.

✠ 25. Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ταρασίου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.

Ὑπῆρχεν υἱὸς τῶν ἐν Κωνσταντινουπόλει πρώτων ἀρχόντων· ἐχρημάτισε πρότερον Ὕπατος, καὶ πρῶτος τῶν ἐξ ἀπορρήτων· εἶτα τῷ 784 ἐψηφίσθη Κωνσταντινουπόλεως Ἀρχιεπίσκοπος ὑπὸ τῶν βασιλέων Εἰρήνης, καὶ τοῦ υἱοῦ αὐτῆς Κωνσταντίνου τοῦ Πορφυρογεννήτου· ἐκήρυσσε τὴν συνάθροισιν τῆς περὶ τῶν ἁγίων Εἰκόνων Ζ'. Οἰκουμενικῆς Συνόδου· ἐγένετο ἡ εὐωδία τῆς Ἐκκλησίας αὐτοῦ, καὶ τὸ φῶς τοῦ ὑπ' αὐτὸν πλήρου· ἐτελεύτησε τῷ 806. ἔτει.

Ἀπολυτίκιον, Ἦχος δ΄.

Κανόνα πίστεως. Ὅρα σελ. 281.

Κοντάκιον, Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Ὀρθοδόξοις δόγμασι, τὴν Ἐκκλησίαν φαιδρύνας, καὶ Χριστοῦ μακάριε, τὴν σεβασμίαν Εἰκόνα, σέβεσθαι καὶ προσκυνεῖσθαι πᾶσι διδάξας, ἤλεγξας Εἰκονομάχων ἄθεον δόγμα· διὰ τοῦτό σοι βοῶμεν: Ὦ Πάτερ, χαίροις σοφὲ Ταράσιε.

✠ 26. Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Πορφυρίου ἐπισκόπου Γάζης.

Ὑπῆρχε Θεσσαλονικεὺς τὴν πατρίδα· ἐμόνασε πρότερον ἐν τοῖς τῶν Ἱεροσολύμων μοναστηρίοις· ἐγένετο ἔπειτα Γάζης τῆς ἐν Παλαιστίνῃ ἐπίσκοπος· ἐτελεύτησε περὶ τὰ 450.

Ἀπολυτίκιον, Ἦχος δ΄.

Κανόνα πίστεως. Ὅρα ἀνωτέρω.

Κοντάκιον, Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.

Ἱερωτάτοις τοῖς τρόποις κοσμούμενος, ἱερωσύνης ζολῇ κατηγλάϊσαι, παμμάκαρ θεόφρον Πορφύριε, καὶ ἱαμάτων ἐμπρέπεις δυνάμεσι, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

✠ 27. Τοῦ ὁσίου Πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Προκοπίου, τοῦ Δεκαπολίτου.

Οὗτος, καὶ ὁ κατωτέρω εἰς τὰς 28 συνασκητὴς καὶ συναθλητὴς αὐτοῦ Βασίλειος, ἤκμασαν περὶ τὰ μέσα τοῦ Η΄. αἰῶνος, ἐν τοῖς χρόνοις Λέοντος τοῦ Ἰσαύρου, ὑφ᾽ οὗ καὶ πολλὰ ἔπαθον διὰ τὴν τῶν ἁγίων Εἰκόνων τιμήν· ἐτέλεσαν δὲ τὸν βίον αὐτῶν ἀσκητικῶς.

Ἀπολυτίκιον, Ἦχος πλ. δ΄.

Ταῖς τῶν δακρύων σου ῥοαῖς, τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας· καὶ τοῖς ἐκ βάθους στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας· καὶ γέγονας φωστὴρ τῇ οἰκουμένῃ λάμπων τοῖς θαύμασι, Προκόπιε Πατὴρ ἡμῶν ὅσιε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἐωσφόρον σήμερον, ἡ Ἐκκλησία, κεκτημένη ἅπασαν, κακοδοξίας τὴν ἀχλύν, διασκεδάζει τιμῶσά σε, ὑρανομύστα Προκόπιε ἔνδοξε.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ἀρμόζον Κυπριακὸ Βιβλιοθηκονομικὸ Λογισμικό
Μουσεῖο Τσιμπλή Ἀννίτσας Βόλου

✠ 28. Τοῦ ὁσίου Πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Βασιλείου, συνασκητοῦ τοῦ ἁγίου Προκοπίου.

Ἀπολυτίκ. Ἦχος ἀ. Τοῦ λίθου σφραγισθέντος.

Τῆς ἐρήμου πολίτης ᾖ ἐν σώματι ἄγγελος, ᾖ θαυματουργὸς ἀνεδείχθης, θεοφόρε Πατὴρ ἡμῶν Βασίλειε· νηστείᾳ, ἀγρυπνίᾳ, προσευχῇ, οὐράνια χαρίσματα λαβών, θεραπεύεις τοὺς νοσοῦντας, καὶ τὰς ψυχὰς τῶν πίστει προστρεχόντων σοι. Δόξα τῷ δεδωκότι σοι ἰσχύν· δόξα τῷ σὲ στεφανώσαντι· δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Κοντάκιον, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Ἐξ ὕψους λαβὼν, τὴν θείαν ἀποκάλυψιν, ἐξῆλθες σοφὲ, ἐκ μέσου τῶν συγχύσεων, καὶ μονάσας Ὅσιε, τῶν θαυμάτων εἴληφας τὴν ἐνέργειαν, καὶ τὰς νόσους ἰᾶσθαι τῇ χάριτι, Βασίλειε παμμάκαρ ἱερώτατε.

✠ 29. Τοῦ ὁσίου Πατρὸς ἡμῶν Καασσιανῆ τοῦ Ῥωμαίᾳ.

Ὑπῆρχεν ἐκ Ῥώμης, ἀνὴρ ἐλλόγιμος, στρατιωτικὸς πρότερον τὴν τάξιν· εἶτα καταλιπὼν αὐτὴν καὶ μονάσας, ἐτελεύτησεν ἀσκητικῶς περὶ τὰς ἀρχὰς τοῦ Ε'. αἰῶνος.

Ἀλληλουΐα.

## ΜΗΝ ΜΑΡΤΙΟΣ.

Ἔχων ἡμέρας 31. Ἡ ἡμέρα ἔχει ὥρας 12. καὶ ἡ νὺξ ὥρας 12.

✠ 1. Τῆς ἁγίας Ὁσιομάρτυρος Εὐδοκίας.

Εἰδωλολάτρις ἦν πρότερον, καὶ ἀκόλαστος τὸν βίον, ἐξ Ἡλιουπόλεως τῆς κατὰ Φοινίκην καταγομένη. Ὕστερον δὲ προσελθοῦσα εἰς τὴν πίστιν τοῦ Χριστοῦ, καὶ πολλοὺς ἀγῶνας ἀσκητικοὺς τελέσασα, ἐτελεύτησε μαρτυρικῶς περὶ τὰ 126, ἐπὶ Ἀδριανοῦ τοῦ Αἰλίου.

Ἀλληλουΐα· ἦ, Ἀπολυτίκιον, Ἦχος, πλ. δ'.

Ἐν σοὶ Μῆτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα· λαβοῦσα γὰρ τὸν σταυρὸν, ἠκολούθησας τῷ Χριστῷ, καὶ πράττουσα ἐδίδασκες ὑπερορᾶν μὲν σαρκὸς, παρέρχεται γάρ· ἐπιμελεῖσθαι δὲ ψυχῆς, πράγματος ἀθανάτου· διὸ καὶ μετὰ Ἀγγέλων συναγάλλεται, ὁσία Εὐδοκία τὸ πνεῦμά σου.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Ψηφιοποίηση από τη Βιβλιοθήκη Απόστολος Μανουσάκης - Μουσείο Παιδικών Χαρών Ιακώβου

✠ 2. Τοῦ ἁγίου Μάρτυρος Ἡσυχίου.

Ἠθλησεν ἐπὶ Μαξιμιανοῦ τῷ 302, λίθῳ βαρεῖ προσδεθεὶς τὸν λαιμὸν, καὶ εἰς τὸν Ὀρόντην ποταμὸν τῆς Κοίλης Συρίας ῥιφθείς.

Ἀλληλούϊα· ἦ, Ὁ Μάρτυς σου Κύριε. Σελ. 272.

✠ 3. Τῶν ἁγίων Μαρτύρων Εὐτροπίου, Κλεονίκου, καὶ Βασιλίσκου.

Ἠθλησαν ἐν ἔτει 296 ἐπὶ Διοκλητιανοῦ.

Ἀλληλούϊα· ἦ,

Οἱ Μάρτυρές σου Κύριε. Ὅρα σελ. 280.

✠ 4. Τοῦ ὁσίου Πατρὸς ἡμῶν Γερασίμου τοῦ ἐν Ἰορδάνῃ.

Ὑπῆρχεν ἐκ Λυκίας· ἔζησεν ἐν αὐτῇ πολλὰ ἔτη ἐρημικῶς· μετέβη ἔπειτα εἰς τὴν Παλαιστίνην· ἔκτισε μεγίστην Λαύραν παρὰ τῷ Ἰορδάνῃ· ἐτελεύτησε τῷ 475 ἔτει.

Ἀλληλούϊα· ἦ, Ἀπολυτίκιον, Ἦχος ά.

Τοῦ λίθου σφραγισθέντος.

Τῆς ἐρήμου πολίτης καὶ ἐν σώματι ἄγγελος, καὶ θαυματουργὸς ἀνεδείχθης, θεοφόρε Πατὴρ ἡμῶν Γεράσιμε· νηστείᾳ ἀγρυπνίᾳ, προσευχῇ, οὐράνια χαρίσματα λαβὼν, θεραπεύεις τοὺς νοσοῦντας, καὶ τὰς ψυχὰς τῶν πίστει προστρεχόντων σοι. Δόξα τῷ δεδωκότι σοι ἰσχύν· δόξα τῷ σὲ στεφανώσαντι· δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

✠ 5. Τοῦ ἁγίου Μάρτυρος Κόνωνος.

Ἠθλησεν ἐν ἔτει 250, ἐπὶ Δεκίου.

Ἀλληλούϊα· ἦ, Ὁ Μάρτυς σου Κύριε, ὡς ἀνωτέρω.

✠ 6. Τῶν ἁγίων 42. Μαρτύρων τῶν ἐν τῷ Ἀμορίῳ.

Ἠθλησαν ἐν ἔτει 840, ἐπὶ τῆς βασιλείας Θεοφίλου τοῦ Εἰκονομάχου.

Ἀλληλούϊα· ἦ, Οἱ Μάρτυρές σου Κύριε, ὡς ἀνωτέρω.

Κοντάκιον, Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Οἱ ἐν τῇ γῇ διὰ Χριστὸν ἠθληκότες, ἀναδειχθέντες εὐσεβεῖς στεφανῖται, τὰς οὐρανοὺς ἐλάβετε οἰκεῖν ἐν χαρᾷ· πᾶσαν γὰρ ἐπίνοιαν, τοῦ ἐχθροῦ καθελόντες, πόνοις καὶ τοῖς αἵμασι, τῶν ὑμῶν αἰκισμάτων, τοῖς εὐφημοῦσιν ἄνωθεν ἀεὶ, ἁμαρτημάτων τὴν λύσιν βραβεύετε.

ΔΗΜΟΣΙΕΥΣΗ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ϯ 7. Τῶν ἁγίων Ἱερομαρτύρων, τῶν ἐν Χερσῶνι ἐπισκοπησάντων, Βασιλέως, Ἐφραὶμ, Εὐγενίου, Καπίτωνος, Αἰθερίου, Ἀγαθοδώρου, καὶ Ἐλπιδίου.

Ἠθλησαν ἐπὶ Διοκλητιανοῦ, τῷ 296 ἔτει.

Ἀλληλούϊα.

Ϯ 8. Τοῦ ὁσίου Πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Θεοφυλάκτου, ἐπισκόπου Νικομηδείας.

Ἐξορισθεὶς ὑπὸ Λέοντος τοῦ Ἀρμενίου, διὰ τὴν τῶν ἁγίων Εἰκόνων προσκύνησιν· ἐτελεύτησε περὶ τὰ 832.

Ἀλληλούϊα.

Ϯ 9. Τῶν ἁγίων Τεσσαράκοντα Μαρτύρων, τῶν ἐν Σεβαστείᾳ τῇ πόλει μαρτυρησάντων.

Οὗτοι, ἐκ διαφόρων πατρίδων καταγόμενοι, ἦσαν πάντες στρατιῶται τὴν τάξιν, ὑφ' ἕνα στρατηγόν. Διὰ δὲ τὴν εἰς Χριστὸν πίστιν συλληφθέντες, καὶ δεινῶς ἐτασθέντες πρότερον, τελευταῖον ἐρρίφθησαν εἰς τὴν κατὰ τὴν Σεβάστειαν τῆς Καππαδοκίας λίμνην, καθ' ὃν καιρὸν ὑπῆρχε ψύχος δριμύτατον, καὶ παγετὸς πολύς· ἐν ᾗ διαπαρτερήσαντες γυμνοὶ ὅλην τὴν νύκτα, παρακινοῦντες ἀλλήλους εἰς τὴν μέχρι τέλους ὑπομονὴν, καὶ νεκρωθέντες σχεδὸν ὑπὸ τοῦ ψύχους, τὸ πρωὶ συνετρίβησαν τὰ σκέλη, καὶ οὕτω παρέθεντο τὰ πνεύματα αὐτῶν τῷ Θεῷ, τῷ 320 ἔτει, ἐπὶ τῆς βασιλείας Λικινίου. Τὰ δὲ ὀνόματα αὐτῶν εἰσὶ ταῦτα, κατὰ Ἀλφάβητον: Ἀγγίας, Ἀγλαΐος, Αἴτιος, Ἀθανάσιος, Ἀκάκιος, Ἀλέξανδρος, Βιβιανὸς, Γάϊος, Γοργόνιος, Γοργόνιος ἕτερος, Δομετιανὸς, Δόμνος, Ἐκδίκιος, Εὐνοϊκὸς, Εὐτυχὴς, Εὐτύχιος, Ἡλιανὸς, Ἡλίας, Ἡράκλειος, Ἡσύχιος, Θεόδουλος, Θεόφιλος, Ἰωάννης, Κλαύδιος, Κύριλλος, Κυρίων, Λυσίμαχος, Μελίτων, Νικόλαος, Ξανθίας, Οὐαλέριος, Οὐάλης, Πρῖσκος, Σακερδὼν, Σεβηριανὸς, Σισίνιος, Σμάραγδος, Φιλοκτήμων, Φλάβιος, καὶ Χουδίων.

Ἐν ταύτῃ τῇ ἡμέρᾳ γίνεται καὶ ἡ ἐαρινὴ Ἰσημερία.

Ἀργία, καὶ Κατάλυσις οἴνου καὶ ἐλαίου.

Ἀπολυτίκιον, Ἦχος ἀ.

Τὰς ἀλγηδόνας τῶν Ἁγίων, ἃς ὑπὲρ σοῦ ἔπαθον, δυσωπήθητι Κύριε· καὶ πάσας ἡμῶν τὰς ὀδύνας ἴασαι, φιλάνθρωπε δεόμεθα.

Κοντάκιον, Ἦχος πλ. β'. Τὴν ὑπὲρ ἡμῶν.

Πᾶσαν στρατιὰν τοῦ κόσμου καταλιπόντες, τῷ ἐν οὐρανοῖς Δεσπότῃ προσεκολλήθητε, ἀθλοφόροι Κυρίου Τεσσαράκοντα· διὰ πυρὸς γὰρ καὶ ὕδατος διελ-

θόντες μακάριοι, ἐπαξίως ἐκομίσασθε, δόξαν ἐκ τῶν οὐρανῶν, καὶ στεφάνων πληθύν.

✠ 10. Τοῦ ἁγίου Μάρτυρος Κοδράτου, καὶ τῆς συνοδίας αὐτοῦ. Ἀλληλούϊα.

✠ 11. Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Σωφρονίου, ἀρχιεπισκόπου Ἱεροσολύμων.

Διεδέχθη τὸν Μόδεστον τῷ 633 ἔτει· ἐτελεύτησε περὶ τὸ 638. καταλιπὼν εἰς τὴν Ἐκκλησίαν καὶ τινα Συγγράμματα. Ἡ δὲ Ἐπιλύχνιος Εὐχαριστία: Φῶς ἱλαρὸν... ἡ εἰς αὐτὸν ἀποδιδομένη, ἔστι καὶ τοῦ Μ. Βασιλείου ἀρχαιοτέρα, ὡς αὐτὸς οὗτος μαρτυρεῖ ἐν Κεφ. κθ'. περὶ τοῦ ἁγίου Πνεύματος, οὕτω λέγων: "Ἔδοξε τοῖς Πατράσιν ἡμῶν, μὴ σιωπῇ τὴν χάριν τὸ ἑσπερινοῦ φωτὸς δέχεσθαι, ἀλλ' εὐθὺς φανέντος, εὐχαριστεῖν. Καὶ ὅς τις μὲν ὁ Πατὴρ τῶν ῥημάτων ἐκείνων τῆς Ἐπιλυχνίου Εὐχαριστίας, εἰπεῖν οὐκ ἔχομεν· ὁ μέντοι λαὸς ἀρχαίαν ἀφίησι τὴν φωνήν, καὶ οὐδενὶ πώποτε ἀσεβεῖν ἐνομίσθησαν οἱ λέγοντες: Αἰνοῦμεν Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα Θεοῦ (ἴσως Θεόν). Εἰδέ τις καὶ τὸν ὕμνον Ἀθηνογένους ἔγνω, ὃν ὥσπερτι ἀλεξιτήριον (ἢ ἄλλο ἐξιτήριον) τοῖς συνοῦσιν αὐτῷ καταλέλοιπεν, ὁρμῶν ἤδη πρὸς τὴν διὰ πυρὸς τελείωσιν, οἶδε καὶ τὴν τῶν Μαρτύρων γνώμην, ὅπως εἶχον περὶ τοῦ Πνεύματος". Καὶ ταῦτα μὲν ὁ Βασίλειος περὶ τῆς Ἐπιλυχνίου ταύτης Εὐχαριστίας, ἢ Ὕμνου Τριαδικοῦ, ὡς ἐπεγράφετο πρότερον. Ὕστερον ὅμως φαίνεται ὅτι ὁ Σωφρόνιος, ἀναπληρώσας ἐλλείποντά τινα, ἐποίησεν αὐτὸν τοιοῦτον, ὁποῖος ἤδη εὑρίσκεται· ὅθεν καὶ ἔφερε τοῦ ὀνόματος αὐτοῦ τὴν ἐπιγραφήν.

Ἀλληλούϊα.

✠ 12. Τοῦ ὁσίου Πατρὸς ἡμῶν καὶ Ὁμολογητοῦ Θεοφάνους τῆς Σιγριανῆς. Ἀλληλούϊα.

✠ 13. Ἡ Ἀνακομιδὴ τοῦ Λειψάνου τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Νικηφόρου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Ὅρα Ἰουνίου 2. Ἀλληλούϊα.

✠ 14. Τοῦ ὁσίου Πατρὸς ἡμῶν Βενεδίκτου.

Ἐγεννήθη τῷ 480 ἐν Νουρσίᾳ, τῇ κατὰ τὴν Οὐμβρίαν τῆς Ἰταλίας· ἤσκησεν ἐκ νεότητος εἰς τὰς ἐρήμους, ὅπου τὸ παράδειγμα αὐτοῦ ἔσυρε πολλοὺς μιμητάς· διὸ ἀναβὰς ἐπὶ τοῦ ὄρους Κασσίου τῆς Καμπανίας, καὶ κτίσας ἐκεῖ μοναστήριον, συνέστησε τὸ τάγμα τῶν μοναχῶν, τῶν ἐκ τοῦ ὀνόματος αὐτοῦ, (ὅπερ σημαίνει Ἑλληνιστὶ Εὐλογημένος) Βενεδικτίνων καλουμένων, δοὺς εἰς αὐτοὺς κανόνα καὶ τύπον διαγωγῆς. Ἐκ τούτου ὀνομάζεται καθηγητὴς, καὶ πρῶτος τῶν ἐν τῇ δύσει μοναχῶν. Ἐτελεύτησε δὲ τῷ 543 ἔτει.

Ἀλληλούϊα.

✠ 15. Τοῦ ἁγίου Μάρτυρος Ἀγαπίου, καὶ τῶν σὺν αὐτῷ ἑπτὰ Μαρτύρων. Ἀλληλουϊα.

✠ 16. Τῆ ἁγίᾳ Μάρτυρος Σαβίνᾳ· καὶ τῆ ὁσίᾳ Πατρὸς ἡμῶν Χρισοδούλου τοῦ ἐν τῇ Πάτμῳ. Ἀλληλουϊα.

Ὁ μὲν Μάρτυς, ἐξ Αἰγύπτου καταγόμενος, ἦλθεν ἐπὶ Διοκλητιανοῦ τῷ 299 ἔτει — Ὁ δὲ Ὅσιος ὑπῆρχεν ἐκ τῶν περιχώρων Νικαίας τῆς ἐν Βιθυνίᾳ, Θεοδώρου καὶ Ἄννης υἱός, Ἰωάννης καλούμενος πρότερον. Ἐνδυθεὶς δὲ τὸ μοναδικὸν σχῆμα ἐκ νεότητος, καὶ Χριστόδουλος μετονομασθεὶς ἤσκησε κατ' ἀρχὰς ἐν διαφόροις τόποις· εἶτα, λαβὼν ἄδειαν, καὶ βοήθειαν χρηματικὴν παρὰ τοῦ βατιλέως Ἀλεξίου τοῦ Κομνηνοῦ, ἀνήγειρεν ἐν τῇ νήσῳ Πάτμῳ, ἐπ' ὀνόματι Ἰωάνιου τοῦ Εὐαγγελιστοῦ, τόν τε ναὸν καὶ τὴν περὶ αὐτὸν εἰσέτι σωζομένην βασιλικὴν μονὴν, Μοναστήριον τοῦ ἁγίου Χριστοδούλου καλουμένην. Ἐπιδραμόντων δὲ ἐκεῖ τῶν Ἀράβων, φυγὼν μετὰ τῶν μαθητῶν αὐτοῦ, ἀπῆλθεν εἰς τὴν Εὔβοιαν (Εὔριπον), ὅπου καὶ ἐτέλεσε τὸν δρόμον τῆς ζωῆς περὶ τὰ τέλη τοῦ ΙΑ'. αἰῶνος, τῇ 16 Μαρτίου. Οἱ δὲ μαθηταὶ αὐτοῦ, λαβόντες τὸ ἱερὸν αὐτοῦ λείψανον, μετεκόμισαν εἰς τὴν οἰκείαν μονὴν, ἔνθα κατάκειται μέχρι τῆς σήμερον, πρὸς ἁγιασμὸν τῶν μετὰ πίστεως προσερχομένων.

Ἀλληλουϊα.

✠ 17. Τοῦ ὁσίου Πατρὸς ἡμῶν Ἀλεξίου, τοῦ Ἀνθρώπου τοῦ Θεοῦ. Ἀλληλουϊα.

✠ 18. Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Κυρίλλου, ἀρχιεπισκόπου Ἱεροσολύμων.

Ἐγεννήθη τῷ 315. διεδέχθη τὸν Μάξιμον εἰς τὸν ἀρχιεπισκοπικὸν τῶν Ἱεροσολύμων θρόνον τῷ 350. ἐφάνη ζηλωτὴς τῆς ὀρθοδόξου πίστεως, καὶ τῶν πτωχῶν ὑπερασπιστής· τρὶς ἐξωρίσθη ὑπὸ τῶν ἀρειανοφρόνων βασιλέων, Κωνσταντίου καὶ Οὐάλεντος· μετὰ δὲ τὸν θάνατον τούτων, ἀνακληθεὶς εἰς τὸν θρόνον αὐτοῦ, ἐτελεύτησεν ἐν εἰρήνῃ τῷ 386 ἔτει. Τῶν ἱερῶν Συγγραμμάτων αὐτοῦ τὰ ἐπισημότερα εἰσὶν αἱ 25 Κατηχήσεις, θεωρούμεναι ὡς ἡ ἀρχαιοτέρα, καὶ μεθοδικωτέρα ἐπιτομὴ τῆς Χριστιανικῆς διδασκαλίας.

Ἀλληλουϊα.

✠ 19. Τῶν ἁγίων Μαρτύρων Χρυσάνθου, καὶ Δαρείας.

Ἀλεξανδρεὺς ἦν τὴν πατρίδα ὁ Χρύσανθος, κατηχηθεὶς τὴν εἰς Χριστὸν πίστιν ὑπό τινος ἐπισκόπου. Ὁ δὲ πατὴρ αὐτοῦ, ὅς τις ἦν Συγκλητικὸς τὸ ἀξίωμα, κατακλείσας αὐτὸν πρότερον εἰς φυλακὴν ἐπὶ πολλὰς ἡμέρας, εἶτα τὸ ἀμετάθετον τῆς γνώμης αὐτοῦ βλέπων, ἀποστείλας ἔλαβεν ἐξ Ἀθηνῶν τὴν Δαρείαν, παρθένον περικαλλῆ μὲν καὶ ἐλλόγιμον, εἰδωλολάτριν δὲ, καὶ μετ' αὐτῆς ἐτέλεσε τὸν γάμον τοῦ

υἱοῦ· ἵνα, διὰ τῆς πρὸς αὐτὴν ἀγάπης, ἀποσπάσῃ αὐτὸν τῆς πίστεως τοῦ Χριστοῦ. Ὁ δὲ ταύτην μᾶλλον ἑλκύσας εἰς τὴν εὐσέβειαν, καὶ παῤῥησιασάμενοι ἀμφότεροι τὸν Χριστὸν, ἔλαβον τὸν στέφανον τοῦ μαρτυρίου τῷ 284 ἐπὶ Νουμεριανοῦ, ῥιφθέντες εἰς λάκκον βορβορώδη.

Ἀλληλούϊα.

✠ 20. Τῶν ὁσίων Πατέρων ἡμῶν, τῶν ἐν τῇ Μονῇ τοῦ ἁγίου Σάββα ἀναιρεθέντων. Ἀλληλούϊα.

✠ 21. Τοῦ ὁσίου Πατρὸς ἡμῶν Ἰακώβου τοῦ ὁμολογητοῦ. Ἀλληλούϊα.

✠ 22. Τοῦ ἁγίου Ἱερομάρτυρος Βασιλείου, πρεσβυτέρου τῆς Ἀγκυρανῶν Ἐκκλησίας. Ἀλληλούϊα.

✠ 23. Τοῦ ἁγίου Ὁσιομάρτυρος Νίκωνος, καὶ τῶν 199 Μαθητῶν αὐτοῦ. Ἀλληλούϊα.

✠ 24. Προεόρτια τοῦ Εὐαγγελισμοῦ τῆς ὑπεραγίας ἡμῶν Θεοτόκου.

Ἀπολυτίκιον, Ἦχος δ΄.

Σήμερον τῆς παγκοσμίου χαρᾶς τὰ προοίμια, μετὰ χαρμοσύνης προεορτάσωμεν· ἰδοὺ γὰρ Γαβριὴλ παραγίνεται, τῇ Παρθένῳ κομίζων τὰ εὐαγγέλια, ἅμα καὶ φόβῳ καὶ θαύματι: Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

Κοντάκιον Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἐπελεύσει Πνεύματος τοῦ παναγίου, τῷ Πατρὸς τὸν σύνθρονον καὶ ὁμοούσιον φωνῇ τοῦ Ἀρχαγγέλου συνέλαβες, Θεοκυῆτορ, Ἀδὰμ ἡ ἀνάκλησις.

ΔΗΜΟΣΙΕ ΒΙΒΛΙΟΘΗΚΗ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

## Ο ΕΥΑΓΓΕΛΙΣΜΟΣ ΤΗΣ ΠΑΡΘΕΝΟΥ.



✠ 25. **Ὁ Εὐαγγελισμὸς τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας.**

Μετὰ μῆνας ἓξ ἀπὸ τῆς τοῦ Προδρόμου Συλλήψεως, ἀπεστάλη ὁ Ἄγγελος Γαβριὴλ ὑπὸ τοῦ Θεοῦ, εἰς τὴν πόλιν τῆς Γαλιλαίας Ναζαρὲτ, πρὸς τὴν Παρθένον Μαριάμ· ἥτις, ἐξελθοῦσα τοῦ Ναοῦ ὡς κόρη τελεία (Νοεμβρ. 21), ὑπῆρχεν ἤδη πρὸ τεσσάρων μηνῶν, κατὰ τὴν παράδοσιν τῶν Πατέρων, μεμνηστευμένη τῷ Ἰωσήφ. Καὶ εἰσελθὼν εἰς τὸν οἶκον αὐτοῦ, ἠσπάσατο αὐτὴν, λέγων: Χαῖρε κεχαριτωμένη· ὁ Κύριος μετὰ σοῦ· εὐλογημένη σὺ ἐν γυναιξίν. Ἡ δὲ Παρθένος, μετά τινα ταραχὴν τῆς ψυχῆς, καὶ διαλογισμὸν καὶ φόβον, διὰ τὸν τοιοῦτον ἀσπασμὸν, τέλος, πληροφορηθεῖσα τὴν δι' αὐτῆς ἀνερμήνευτον τοῦ Θεοῦ συγκατάβασιν, καὶ ἀπόῤῥητον οἰκονομίαν, καὶ πιστεύσασα, ὅτι πάντα δυνατὰ εἰς τὸ θεῖον αὐτοῦ βούλημα, ἀποκρίνεται ἐν ταπεινώσει: Ἰδοὺ ἡ δούλη Κυρίου· γένοιτό μοι κατὰ τὸ ῥῆμά σου. Καὶ ἅμα τῷ λόγῳ τούτῳ, τὸ Πνεῦμα τὸ ἅγιον ἐπέρχεται ἐπ' αὐτὴν· ἡ δύναμις τοῦ Ὑψίστου ἐπισκιάζει τὴν παναμωμον αὐτῆς γαστέρα· καὶ ὁ προαιώνιος Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, καὶ Θεὸς συλλαμβάνεται, ὑπὲρ λόγον καὶ ἔννοιαν, καὶ σαρκοῦται ἐκ τῶν ἀχράντων αὐτῆς αἱμάτων (Λουκ. ά. 26-38)

Ἔχουσα λοιπὸν ἐν γαστρὶ τὸν ἀχώρητον ἡ μακαρία Παρθένος, ἐπορεύθη μετὰ σπουδῆς ἐκ Ναζαρὲτ εἰς τὰ ὀρεινὰ τῆς Ἰουδαίας μέρη, εἰς μίαν τῶν ἐκεῖ πόλεων, (τὰ Ἱεροσόλυμα τυχὸν, ἢ τὴν Βηθλεὲμ, ἢ τὴν Χεβρὼν, κατ' ἄλλους) ἔνθα εἶχε τὴν οἴκησιν ὁ Ζαχαρίας· ἵνα, εὑροῦσα Ἐλισάβετ τὴν συγγενῆ, συγχαρῇ αὐτῇ διὰ τὴν εἰς τὸ γῆρας αὐτῆς κυοφορίαν, ἣν παρὰ τοῦ Ἀγγέλου ἔμαθε· διηγηθῇ δὲ μᾶλλον πρὸς αὐτὴν καὶ τὰ μεγαλεῖα, ὅσα ὁ δυνατὸς εὐδόκησε ποιῆσαι δι' αὐτῆς. Καὶ ἀσπάζεται μὲν τὴν Ἐλισάβετ, εἰσελθοῦσα πρὸς αὐτὴν· ἡ δὲ, μόλις ἀκούσασα τῆς Μαριὰμ τὸν ἀσπασμὸν, αἰσθάνεται, ὅτι τὸ ἐν αὐτῇ ἐξάμηνον ἤδη ἔμβρυον σκιρτᾷ ἐν τῇ κοιλίᾳ αὐτῆς ὑπὸ τῆς χαρᾶς, καὶ διὰ τοῦ τοιούτου σκιρτήματος, καὶ πρὶν ἔτι ἴδῃ τὸ φῶς

τῆς ζωῆς, προφητεύει τὴν ἀνατολὴν τοῦ νοητοῦ Ἡλίου. Ἀμέσως Πνεύματος ἁγίου πλησθεῖσα ἡ γηραιὰ Ἐλισάβετ, γνωρίζει τὴν Μητέρα τοῦ Κυρίου αὐτῆς, καὶ μακαρίζει μεγαλοφώνως καὶ τὴν κοιλίαν τῆς Θεομήτορος, καὶ τὸν ἐν αὐτῇ βασταζόμενον καρπόν. Ἡ δὲ Παρθένος, κινηθεῖσα τότε καὶ αὐτὴ εἰς μίαν ὑπερφυῆ ἀγαλλίασιν πνεύματος, ψάλλει τὴν Θεοπρεπῆ Ὠδήν, τὴν ἐν τῇ Νέᾳ Διαθήκῃ πρώτην, δοξολογοῦσα τὸν ἑαυτῆς Θεὸν καὶ Σωτῆρα, καὶ λέγουσα: Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου, ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου· καὶ τὰ λοιπά, καθὼς ἐγγράφως παρέδωκεν ἡμῖν ὁ Θεηγόρος Λουκᾶς (ά. 39-55). Διὰ τοῦτο ἀξίως τάττεται ἡ Παρθένος Μαριὰμ, καὶ τοῦ Θεοῦ ἡμῶν Μήτηρ, ἡ Πρώτη τῶν ἱερῶν Συγγραφέων τῆς Νέας Διαθήκης.

## Ἀργία, καὶ ἰχθύος Κατάλυσις.

Ἀπολυτίκιον, Ἦχος δ'.

Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον, καὶ τὸ ἀπ' αἰῶνος Μυστηρίου ἡ φανέρωσις· ὁ Υἱὸς τοῦ Θεοῦ, Υἱὸς τῆς Παρθένου γίνεται, καὶ Γαβριὴλ τὴν χάριν εὐαγγελίζεται. Διὸ καὶ ἡμεῖς σὺν αὐτῷ τῇ Θεοτόκῳ βοήσωμεν: Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

Κοντάκιον αὐτόμελον, Ἦχος πλ. δ'.

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια, ὡς λυτρωθεῖσα τῶν δεινῶν εὐχαριστήρια, ἀναγράφω σοι ἡ Πόλις σου Θεοτόκε. Ἀλλ' ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον, ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον, ἵνα κράζω σοι: Χαῖρε Νύμφη ἀνύμφευτε.

## ✠ 26. Ἡ Σύναξις τοῦ Ἀρχαγγέλου Γαβριήλ.

Τὴν ἑορτάσιμον ταύτην Σύναξιν ποιοῦμεν εἰς δόξαν αὐτοῦ, ὡς ὑπουργήσαντος εἰς τὸ ὑπερφυὲς τῆς ἐνσάρκου τοῦ Θεοῦ οἰκονομίας Μυστήριον.

## Κατάλυσις οἴνου καὶ ἐλαίου.

Εἰ ἐστι Τεσσαρακοστὴ, Ἀλληλούϊα· εἰδὲ μὴ,

Ἀπολυτίκιον, Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῶν οὐρανίων στρατιῶν Ἀρχιστράτηγε, δυσωποῦμέν σε ἀεὶ ἡμεῖς οἱ ἀνάξιοι, ἵνα ταῖς σαῖς δεήσεσι τειχίσῃς ἡμᾶς, σκέπῃ τῶν πτερύγων, τῆς αὐλοῦ σου δόξης, φρουρῶν ἡμᾶς προσπίπτοντας, ἐκτενῶς καὶ βοῶντας: Ἐκ τῶν κινδύνων λύτρωσαι ἡμᾶς, ὡς Ταξιάρχης τῶν ἄνω Δυνάμεων.

ΔΗΜΟΣΙΕΥΣΗ ΒΙΒΛΙΟΘΗΚΗ
Ιερατικό Κέντρο Βιβλιοθήκη Αρσενίου
Μητροπόλεως Τυπαλδών Ακαρνανίας

Κοντάκιον, Ἦχος β΄.

Ἀρχιστράτηγε Θεοῦ, λειτουργὲ θείας δόξης, τῶν ἀνθρώπων ὁδηγὲ, καὶ ἀρχηγὲ Ἀσωμάτων, τὸ συμφέρον ἡμῖν πρέσβευε, καὶ τὸ μέγα ἔλεος, ὡς τῶν Ἀσωμάτων Ἀρχιστράτηγος.

✠ 27. Τῆς ὁσίας Μητρὸς ἡμῶν Ματρώνης τῆς ἐν Θεσσαλονίκῃ. Ἀλληλούϊα.

✠ 28. Τοῦ ὁσίου Ἰλαρίωνος τοῦ Νέου. Ἀλληλούϊα.

✠ 29. Τοῦ ὁσίου Πατρὸς ἡμῶν Μάρκου, ἐπισκόπου Ἀρεθουσίων, καὶ Κυρίλλου διακόνου, καὶ ἑτέρων τῶν ἐπὶ Ἰουλιανοῦ ἀθλησάντων. Ἀλληλούϊα.

✠ 30. Τοῦ ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου, τοῦ συγγραφέως τῆς Κλίμακος.

Οὗτος ἐγεννήθη ἐν Παλαιστίνῃ, περὶ τὰ 523. ἐδόθη εἰς τὴν ἄσκησιν ἐκ νεαρᾶς ἡλικίας· προεχειρίσθη ἡγούμενος τῆς ἐν τῷ Σιναίῳ Ὄρει μονῆς· συνέγραψε περὶ ἀρετῆς τριάκοντα λόγους, ὧν ἕκαστος περιλαμβάνων μίαν ἀρετὴν, καὶ ἀπὸ τῶν πρακτικῶν ἐπὶ τὰς θεωρητικὰς προχωροῦντες, ἀναβιβάζουσι τὸν ἄνθρωπον, ὡς διὰ βαθμίδων τινῶν, εἰς οὐράνιον ὕψος· διὸ ἣν αἰτίαν καὶ τὸ σύγγραμμα τοῦτο ὀνομάζεται, Κλίμαξ τῶν Ἀρετῶν. Ἀπέθανε δὲ τῷ 603, ἐτῶν ὀγδοήκοντα.

Ἀπολυτίκιον, Ἦχος πλ. δ΄.

Ταῖς τῶν δακρύων σου ροαῖς, τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας· καὶ τοῖς ἐκ βάθους στεναγμοῖς· εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας· καὶ γέγονας φωστὴρ, τῇ οἰκουμένῃ λάμπων τοῖς θαύμασιν. Ἰωάννη Πατὴρ ἡμῶν ὅσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος ά. Χορὸς ἀγγελικός.

Καρπουὺς ἀειθαλεῖς, ἐκ τῆς βίβλου προσφέρων, διδάγματα σοφὲ, καθηδύνεις καρδίας, τῶν τούτοις μετὰ νήψεως, προσεχόντων μακάριε· κλίμαξ γάρ ἐστι, ψυχὰς ἀνάγουσα γῆθεν, πρὸς οὐράνιον, καὶ διαμένουσαν δόξαν, τῶν πίστει τιμώντων σε.

✠ 31. Τοῦ ἁγίου Ἱερομάρτυρος Ὑπατίου ἐπισκόπου Γαγγρῶν. Ἀλληλούϊα. Ἀπολυτίκιον, Ἦχος δ΄.

Καὶ τρόπων μέτοχος, τῆ θρόνων διάδοχος. Ὅρα σελ. 283.

ΚΗΝΟΣΕΙΟΝ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημοσία Κεντρική Βιβλιοθήκη Δημοσίου Μουσείου Μπενάκη

## ΜΗΝ ΑΠΡΙΛΙΟΣ.

Ἔχων ἡμέρας 30. Ἡ ἡμέρα ἔχει ὥρας 13. καὶ ἡ νὺξ ὥρας 11.

✠ 1. Τῆς ὁσίας Μητρὸς ἡμῶν Μαρίας τῆς Αἰγυπτίας.

Αὕτη, δωδεκαετὴς ἔτι οὖσα, ἔλαθε τοὺς γονεῖς αὐτῆς, καὶ ἀπελθοῦσα εἰς Ἀλεξάνδρειαν, ἔζησε βίον ἄσωτον ιζ ἔτη. Εἶτα, ὑπὸ περιεργείας κινουμένη, ἀπῆλθε μετὰ πολλῶν ἄλλων προσκυνητῶν εἰς Ἱεροσόλυμα, ἵνα παρευρεθῇ εἰς τὴν τοῦ τιμίου Σταυροῦ Ὕψωσιν· ὅπου ἐδόθη εἰς πᾶν εἶδος ἀκολασίας καὶ ἀτοπημάτων, καὶ πολλοὺς ἔσυρεν εἰς τῆς ἀπωλείας τὸν βυθόν. Θέλουσα δὲ εἰσελθεῖν εἰς τὴν Ἐκκλησίαν, καθ' ἣν ἡμέραν ὑψοῦτο ὁ Σταυρὸς, ἠσθάνθη τρὶς καὶ τετράκις δύναμίν τινα ἀόρατον, κωλύουσαν αὐτὴν τῆς εἰσόδου, ἐν ᾧ τὸ μετ' αὐτῆς πλῆθος τοῦ λαοῦ ἀνεμποδίστως εἰσήρχετο. Πληγεῖσα οὖν τὴν καρδίαν ἐκ τούτου, ἀπεφάσισεν ἵνα μεταβάλῃ ζωὴν, καὶ ἐξιλεώσῃ τὸν Θεὸν διὰ μετανοίας· καὶ οὕτως ὑποστρέψασα πάλιν εἰς τὴν Ἐκκλησίαν, εἰσῆλθεν εὐκόλως εἰς αὐτήν. Προσκυνήσασα δὲ τὸ τίμιον Ξύλον, ἀνεχώρησε τὴν αὐτὴν ἡμέραν ἀπὸ τῆς Ἱερουσαλὴμ, διέβη τὸν Ἰορδάνην, εἰσῆλθεν εἰς τὰ ἐνδότερα τῆς ἐρήμου, καὶ ἔζησεν ἐν αὐτῇ μζ ἔτη, ζωὴν σκληροτάτην καὶ ὑπὲρ ἄνθρωπον, μόνῃ μόνῳ Θεῷ προσευχομένη. Περὶ δὲ τὰ τέλη τῆς ζωῆς, συναντήσασα ἐρημίτῃ τινὶ, Ζωσιμᾷ τὸ ὄνομα, καὶ τὸν ἀπ' ἀρχῆς βίον αὐτῆς διηγηθεῖσα, παρεκάλεσεν αὐτὸν, ἵνα κομίσῃ αὐτῇ τὰ ἅχραντα Μυστήρια πρὸς κοινωνίαν· ὃ καὶ ἐποίησεν ἐκεῖνος τὸ ἐρχόμενον ἔτος, κατὰ τὴν Μεγάλην Πέμπτην. Τὸ δὲ ἐφεξῆς ἔτος, ἐπανελθὼν πάλιν ὁ Ζωσιμᾶς, εὗρεν αὐτὴν νεκρὰν, ἐπὶ τῆς γῆς ἁπλωμένην, καὶ γράμματα πλησίον αὐτῆς, ταῦτα λέγοντα: "Ἀββᾶ Ζωσιμᾶ, θάψον ὧδε τὸ σῶμα τῆς ἁγίας Μαρίας. Ἀπέθανον τὴν αὐτὴν ἡμέραν, καθ' ἣν ἐκοινώνησα τῶν ἁχράντων Μυστηρίων. Εὔχου ὑπὲρ ἐμοῦ ,,. Τάττεται δὲ ὁ θάνατος αὐτῆς τῷ 378 ἔτει, ἢ τῷ 437, κατ' ἄλλους.

Ἀπολυτίκιον, Ἦχος πλ. δ'.

Ἐν σοὶ Μῆτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα· λαβοῦσα γὰρ τὸν σαυρὸν, ἠκολούθησας τῷ Χριστῷ, ᾗ πράττουσα ἐδίδασκες, ὑπεροράν μὲν σαρκὸς, παρέρχεται γάρ· ἐπιμελεῖσθαι δὲ ψυχῆς, πράγματος ἀθανάτου· διὸ καὶ μετὰ Ἀγγέλων συναγάλλεται, ὁσία Μαρία τὸ πνεῦμά σου.

Κοντάκιον, Ἦχος β'. Τοῖς τῶν αἱμάτων σου.

Τοῖς τῶν ἀγώνων σου πόνοις θεόληπτε, τὸ τῆς ἐρήμου τραχὺ καθηγίασας· διό σε τὴν μνήμην δοξάζομεν, ἐν ὑμνῳδίαις Μαρία τιμῶντές σε, ὁσία Ὁσίων ἀγλάϊσμα.

✠ 2. Τῆ ὁσίου Πατρὸς ἡμῶν Τίτου, τῆ Θαυματουργῆ.

✠ 3. Τῶν ὁσίων Πατέρων ἡμῶν, Νικήτα ἡγουμένου τῆς μονῆς τοῦ Μηδικίου, καὶ Ἰωσὴφ τοῦ Ὑμνογράφου.

Ὁ Ἰωσὴφ οὗτος ἦν ἐκ Σικελίας, Πλωτίνου καὶ Ἀγάθης υἱός. Διὰ δὲ τὴν τῆς πατρίδος αὐτοῦ αἰχμαλωσίαν ὑπὸ τῶν Ἀγαρηνῶν, φυγὼν ἐκεῖθεν, καὶ ἐκ τόπου εἰς τόπον μεταβὰς, κατήντησεν εἰς Κωνσταντινούπολιν, ὅπου καὶ θλίψεις πικρὰς ὑπέμεινε διὰ τὸν εὐσεβῆ αὐτοῦ ζῆλον. Τελέσας δὲ ὁσίως τὸν δρόμον τῆς ζωῆς, καὶ ἄριστος ἀσματογράφος χρηματίσας, ἐκοιμήθη ἐν Κυρίῳ τῷ 883 ἔτει. — Οἱ ἀσματικοὶ Κανόνες τῶν Μηναίων, πλὴν ὀλίγων τινῶν, οἱ λοιποὶ πάντες τοῦ Ἰωσὴφ τούτου εἰσὶ πόνημα, ἔχοντες εἰς τὴν ἐννάτην Ὠδὴν ἀκροστιχίδα τὸ ὄνομα αὐτοῦ, Ἰωσήφ. Αὐτὸς ἐξεπόνησε καὶ πᾶσαν σχεδὸν τὴν ἱερὰν βίβλον, τὴν καλουμένην Παρακλητικήν. Διὰ ταῦτα ὁ Ἰωσὴφ οὗτος ἐπονομάζεται κατ' ἐξοχὴν Ὑμνογράφος.

✠ 4. Τῆ ὁσίᾳ Πατρὸς ἡμῶν Γεωργίᾳ τῆ ἐν τῷ Μαλεῷ.

✠ 5. Τῶν ἁγίων Μαρτύρων Κλαυδίου, Διοδώρου, καὶ ἑτέρων πέντε.

✠ 6. Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Εὐτυχίου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.

✠ 7. Τοῦ ἁγίου Μάρτυρος Καλλιοπίου· καὶ τοῦ ὁσίου Πατρὸς ἡμῶν Γεωργίου, ἐπισκόπου Μιτυλήνης.

✠ 8. Τῶν ἁγίων Ἀποστόλων ἐκ τῶν Ἑβδομήκοντα, Ἡρωδίωνος, Ἀγάβου, Ῥάφα, Ἀσυγρίτα, Φλέγοντος, καὶ Ἑρμᾶ.

✠ 9. Τοῦ ἁγίου Μάρτυρος Εὐψυχίου, τοῦ ἐν Καισαρείᾳ.

✠ 10. Τῶν ἁγίων Μαρτύρων Τερεντίου, Πομπηΐου, καὶ τῶν σὺν αὐτοῖς.

✠ 11. Τοῦ ἁγίου Ἱερομάρτυρος Ἀντίπα, ἐπισκόπου Περγάμου τῆς Ἀσίας.

Οὗτος ὑπῆρχε σύγχρονος τῶν ἁγίων Ἀποστόλων, ὑφ' ὧν καὶ ἐπίσκοπος Περγάμου κατέστη· ἤθλησε δὲ ἐπὶ τῆς βασιλείας Δομιτιανοῦ τῷ 83 ἔτει, βληθεὶς, ὡς λέγουσιν, εἰς χάλκινον βοῦν πεπυρακτωμένον. Περὶ τούτου γράφει ὁ Εὐαγγελιστὴς Ἰωάννης εἰς τὴν Ἀποκάλυψιν, ὡς ἐκ προσώπου τοῦ Χριστοῦ, λέγοντος πρὸς τὸν Ἄγγελον, ὅ ἐστιν ἐπίσκοπον τῆς ἐν Περγάμῳ Ἐκκλησίας: Καὶ ἐν ταῖς ἡμέραις, ἐν αἷς Ἀντίπας ὁ Μάρτυρός μου ὁ πιστὸς, ὃς ἀπεκτάνθη παρ' ὑμῖν, ὅπου κατοικεῖ ὁ σατανᾶς (Ἀποκ. β'. 13).

✠ 12. Τοῦ ὁσίου Πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Βασιλείου, ἐπισκόπου Παρίου.

✠ 13. Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Μαρτίνου, Πάπα Ῥώμης.

✠ 14. Τῶν ἁγίων Ἀποστόλων ἐκ τῶν Ἑβδομήκοντα, Ἀριστάρχου, Πούδη, καὶ Τροφίμου.

✠ 15. Τοῦ ἁγίου Μάρτυρος Κρήσκεντος.

✠ 16. Τῶν ἁγίων Μαρτύρων παρθένων καὶ αὐταδέλφων, Ἀγάπης, Εἰρήνης, καὶ Χιονίας.

✠ 17. Τοῦ ἁγίου Ἱερομάρτυρος Συμεὼν τοῦ ἐν Περσίδι.

✠ 18. Τοῦ ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου, μαθητοῦ τοῦ ἁγίου Γρηγορίου τοῦ Δεκαπολίτου.

✠ 19. Τοῦ ἁγίου Ἱερομάρτυρος Παφνουτίου.

✠ 20. Τοῦ ὁσίου Πατρὸς ἡμῶν Θεοδώρου τοῦ Τριχινᾶ.

✠ 21. Τοῦ ἁγίου Ἱερομάρτυρος Ἰανουαρίου, καὶ τῆς συνοδίας αὐτοῦ.

✠ 22. Τοῦ ὁσίου Πατρὸς ἡμῶν Θεοδώρου τοῦ Συκεώτου.

Ἀπολυτίκιον. Ἦχος δ΄.

Γνωρισθεὶς ἐκ σπαργάνων ἡγιασμένος, καὶ φανεὶς τῶν χαρίτων πεπληρωμένος, τοῖς θαυμασίοις τὸν κόσμον κατηύγασας, καὶ τῶν δαιμόνων τὰ σμήνη ἀπήλασας, ἱερουργὲ Θεόδωρε· διὸ ὑπὲρ ἡμῶν δυσώπει τὸν Κύριον.

✠ 23. Τοῦ ἁγίου ἐνδόξου Μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου.

Ὁ μέγας ὄντως, καὶ ἔνδοξος Μάρτυς τοῦ Χριστοῦ Γεώργιος, ὑπῆρχεν ἐκ πατρὸς μὲν, Καππαδόκης τὸ γένος· ἐκ μητρὸς δὲ, Παλαιστῖνος· Τριβοῦνος, ὅ ἐστι Χιλίαρχος τὸ ἀξίωμα, καὶ εἰς τοὺς πολέμους λαμπρὸς καὶ τροπαιοφόρος, ἀφ' οὗ καὶ ἐπονομάζεται. Ἐν δὲ τοῖς χρόνοις Διοκλητιανοῦ, παῤῥησιασάμενος τὸν Χριστὸν, ὃν ἐκ προγόνων σεβόμενος ὑπεκρύπτετο ἕως τότε, πολυειδεῖς τε βασάνους δι' αὐτὸν ὑπομείνας, καὶ κατὰ πάντα Τροπαιοφόρος ἀναδειχθείς, καὶ διὰ τῶν ἐν τοῖς ἄθλοις αὐτοῦ γενομένων θαυματουργιῶν πολλοὺς ὑπήγαγε εἰς τὴν τῆς ἀληθείας ἐπίγνωσιν, τελευταῖον ἀποτέμνεται τὴν κεφαλὴν, τῷ 296 ἔτει. Τὸ δὲ ἱερὸν αὐτοῦ Λείψανον, (ἄθλον ποῦ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

ἐτέλεσε τὸν δρόμον τοῦ μαρτυρίου) κομισθὲν ὑπὸ τοῦ δούλου αὐτοῦ εἰς τὴν ἐν Παλαιστίνῃ κωμόπολιν Λύδδαν, ἀναμφιβόλως πατρίδα τῆς μητρὸς αὐτοῦ, κατετέθη ἔπειτα εἰς τὸν ἐκεῖ ἐπ' ὀνόματι αὐτοῦ ἀνεγερθέντα Ναόν (Νοεμβ. 3).

Ἀργία, καὶ Κατάλυσις οἴνου καὶ ἐλαίου.

Ἀπολυτίκιον, Ἦχος δ'.

Ὡς τῶν αἰχμαλώτων ἐλευθερωτὴς, καὶ τῶν πτωχῶν ὑπερασπιστὴς, ἀσθενούντων ἰατρὸς, βασιλέων ὑπέρμαχος, Τροπαιοφόρε Μεγαλομάρτυς Γεώργιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Γεωργηθεὶς ὑπὸ Θεοῦ ἀνεδείχθης, τῆς εὐσεβείας γεωργὸς τιμιώτατος, τῶν ἀρετῶν τὰ θράγματα συλλέξας σεαυτῷ· σπείρας γὰρ ἐν δάκρυσιν, εὐφροσύνην θερίζεις· ἀθλήσας δὲ δι' αἵματος, τὸν Χριστὸν ἐκομίσω· καὶ ταῖς πρεσβείαις Ἅγιε ταῖς σαῖς, πᾶσι παρέχεις πταισμάτων συγχώρησιν.

✠ 24. Τῆς ὁσίας Ἐλισάβετ τῆς Θαυματουργοῦ.

Αὕτη, ἐν παρθενίᾳ ζήσασα, καὶ ἐκ νεότητος κατατήξασα ἑαυτὴν πόνοις ἀσκητικοῖς καὶ πάσῃ κακουχίᾳ, καὶ διὰ τούτων τοῦ χαρίσματος τῆς θαυματουργίας ἀξιωθεῖσα παρὰ Θεοῦ, ἐκοιμήθη ἐν εἰρήνῃ.

Ἀπολυτίκιον, Ἦχος πλ. δ'.

Ἐν σοὶ Μῆτερ ἀκριβῶς. Ὅρα ὄπισθεν.

✠ 25. Τοῦ ἁγίου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Μάρκου.

Οὗτος ἦν τὸ γένος Ἕλλην, ἐκ Κυρήνης τῆς κατὰ τὴν Λιβύην Πενταπόλεως, ὡς λέγουσί τινες. Προσελθὼν δὲ εἰς τὴν πίστιν τοῦ Χριστοῦ διὰ τοῦ Ἀποστόλου Πέτρου, ἠκολούθησεν αὐτῷ ἕως Ῥώμης· ὅπου διατρίβων συνέγραψε, διὰ προτροπῆς τοῦ αὐτοῦ Πέτρου, καὶ αἰτήσεως τῶν ἐκεῖ Χριστιανῶν, τὸ κατ' αὐτὸν Εὐαγγέλιον Ἑλληνιστὶ, δεύτερος τοῦ Ματθαίου. Ὕστερον δὲ ἀπελθὼν εἰς τὴν Αἴγυπτον, καὶ κηρύξας τὸ Εὐαγγέλιον εἰς αὐτὴν, καὶ πρῶτος τὴν ἐν Ἀλεξανδρείᾳ Ἐκκλησίαν συστήσας, ἐτελεύτησε μαρτυρικῶς περὶ τὸ 64 ἔτος, ὡς λέγουσιν. Εἰς τοῦτον ἀποδίδοται ὁ Λέων, τὸ δεύτερον τῶν συμβολικῶν ζώων τοῦ Ἰεζεκιὴλ (α. 10), ἴσως διότι ἡ ἀρχὴ τοῦ κατ' αὐτὸν Εὐαγγελίου ἐστὶν ἡ ἐν ἐρήμοις διαγωγὴ τοῦ Προδρόμου, ἔνθα ζῶσιν οἱ λέοντες· ἢ, κατ' ἄλλους, διότι χαρακτὴρ τοῦ Εὐαγγελίου αὐτοῦ διακριτικός ἐστιν ἡ τοῦ Χριστοῦ βασιλεία, ὡς καὶ τὸ ζῶον αὐτὸ ἐστι βασιλικόν.

Κατάλυσις οἴνου καὶ ἐλαίου.

Μουσείο Τυπάλδων Ιακωβάτων

Ἀπολυτίκιον, Ἦχος γ'.

Ἀπόστολε ἅγιε, καὶ Εὐαγγελιστὰ Μάρκε, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Κοντάκιον, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Ἐξ ὕψους λαβὼν, τὴν χάριν τὴν τοῦ Πνεύματος, ῥήτορων πλοκὰς, διέλυσας Ἀπόστολε, καὶ τὰ ἔθνη ἅπαντα σαγηνεύσας, Μάρκε παναοίδιμε, τῷ σῷ Δεσπότῃ προσήγαγες, τὸ θεῖον κηρύξας Εὐαγγέλιον.

✠ 26. Τοῦ ἁγίου Ἱερομάρτυρος Βασιλέως, ἐπισκόπου Ἀμασείας.

✠ 27. Τοῦ ἁγίου Ἱερομάρτυρος Συμεὼν, συγγενοῦς τοῦ Κυρίου.

Οὗτος ἦν πρωτεξάδελφος τοῦ Ἰησοῦ, υἱὸς τοῦ Κλωπᾶ, ἢ Κλεόπα τοῦ καὶ Ἀλφαίου καλουμένου, ἀδελφοῦ Ἰωσὴφ τοῦ Μνήστορος. Ἐγένετο δεύτερος Ἱεροσολύμων ἐπίσκοπος, διάδοχος Ἰακώβου τοῦ Ἀδελφοθέου· ἐτελεύτησε σταυρωθεὶς ἐπὶ τῆς βασιλείας Τραϊανοῦ, τῷ 107 ἔτει, ὑπάρχων ἐτῶν 120.

Ἀπολυτίκιον, Ἦχος α'. Χορὸς ἀγγελικός.

Χριστοῦ σε συγγενῆ, Συμεὼν Ἱεράρχα, καὶ Μάρτυρα στερρὸν, ἱερῶς εὐφημοῦμεν, τὴν πλάνην ὠλέσαντα, καὶ τὴν πίστιν τηρήσαντα· ὅθεν σήμερον, τὴν παναγίαν σου μνήμην, ἑορτάζοντες ἁμαρτημάτων τὴν λύσιν, εὐχαῖς σου λαμβάνομεν.

Κοντάκιον, Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ὡς ἀστέρα μέγισον, ἡ Ἐκκλησία, κεκτημένη σήμερον, τὸν θεηγόρον Συμεὼν, φαταγωγεῖται κραυγάζουσα: Χαίροις Μαρτύρων, σεπτὸν ἀκροθίνιον.

✠ 28. Τῶν ἁγίων ἐννέα Μαρτύρων τῶν ἐν Κυζίκῳ.

✠ 29. Τῶν ἁγίων Ἀποστόλων, Ἰάσωνος καὶ Σωσιπάτρου.

Καὶ οἱ δύο οὗτοι ἐχρημάτισαν Παύλου τοῦ Ἀποστόλου μαθηταὶ, ὅς τις καὶ ἀναφέρων αὐτοὺς ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ, λέγει· Ἀσπάζονται ὑμᾶς... Ἰάσων καὶ Σωσίπατρος, οἱ συγγενεῖς μου (ιε'. 21). Ἦν δὲ ὁ μὲν Ἰάσων ἀπὸ Ταρσοῦ τῆς Κιλικίας, ἧς καὶ ἐπίσκοπος ἐγένετο· ὁ δὲ Σωσίπατρος ἐκ Πατρῶν τῆς Ἀχαΐας, γενόμενος καὶ αὐτὸς ἐπίσκοπος Ἰκονίου. Καλῶς δὲ τὰ

ἑαυτῶν Ἐκκλησίας ποιμάναντες ἐπὶ χρόνον ἱκανὸν, ἀπῆλθον πρὸς τὰ δυτικὰ μέρη, ἵνα καὶ ἄλλους ὠφελήσωσι. Καὶ καταλαβόντες τὴν νῆσον Κέρκυραν, γίνονται εἰς τοὺς κατοίκους αὐτῆς πρῶτοι Κήρυκες τοῦ Εὐαγγελίου, καὶ ἐκεῖ τελευταῖον πληροῦσι τὸν δρόμον τῆς ζωῆς, πολλὰ πρότερον ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ παθόντες — Ὁ ἐπ' ὀνόματι αὐτῶν σωζόμενος ἀρχαιότατος Ναὸς ἐν τῇ παλαιᾷ τῆς Κερκύρας πόλει, καὶ, Τῶν Ἁγίων, κατ' ἐξοχὴν ὀνομαζόμενος, βεβαιοῖ τὰ τῆς ἱστορίας.

Ἀπολυτίκιον, Ἦχος γ'.

Ἀπόστολοι ἅγιοι, πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

✠ 30. Τοῦ ἁγίου Ἀποστόλου Ἰακώβου, ἀδελφοῦ Ἰωάννου τοῦ Θεολόγου.

Οὗτος ἦν ἐκ τῶν Δώδεκα, ὡς καὶ Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ (Σεπτεμβρ. 26), οὓς ὁ Κύριος ἐπωνόμασε Βοανεργὲς, ὅ ἐστι υἱοὺς βροντῆς ὡς μεγαλοκήρυκας καὶ θεολογικωτάτους, ἢ διότι, ὡς λέγουσί τινες, ἐπειδὴ οἱ ἔκ τινος κώμης Σαμαρεῖται οὐκ ἐδέξαντο τὸν Ἰησοῦν εἰς ἐπιξένωσιν, οἱ δύο οὗτοι ἀδελφοὶ, ζήλει πλησθέντες ἐπεθύμησαν ἵνα καταβῇ πῦρ ἀπ' οὐρανοῦ, καὶ κατακαύσῃ τοὺς ἀξένους ἐκείνους (Μάρκ. γ', 17. Λουκ. θ'. 52-54). Τούτου οὖν τοῦ Ἰακώβου τὴν παῤῥησίαν εἰς τὸ εὐαγγελικὸν κήρυγμα μὴ ὑποφέρων Ἡρῴδης ὁ Ἀγρίππας ὁ τῆ Ἀριστοβούλου υἱὸς, καὶ τοῦ Μ. Ἡρῴδου ἔγγονος, συλλαβὼν αὐτὸν ἐν ταῖς ἡμέραις τῶν Πάσχα, ἐν μαχαίρᾳ κατέσφαξε, τῷ 43 ἔτει· καὶ ἕως ἔπιε τὸ ποτήριον, ὅπερ προεῖπεν εἰς αὐτὸν ὁ Σωτὴρ (Ματθ. κ', 23) — Ὁ δὲ Ἡρῴδης, κατελθὼν τὸ ἑφεξῆς ἔτος ἀπὸ τῆς Ἰουδαίας εἰς τὴν Καισάρειαν, καὶ ἐνδυσάμενος βασιλικῶς, ἐκάθισεν ἐπὶ τοῦ βήματος, καὶ ἐδημηγόρει πρὸς τοὺς πρέσβεις τῶν Τυρίων καὶ Σιδωνίων. Καὶ ἐνῷ οἱ περικυκλοῦντες αὐτὸν κόλακες προσηγόρευον αὐτὸν Θεὸν, λέγοντες: Θεοῦ φωνὴ, καὶ οὐκ ἀνθρώπου· παταξεται παρευθὺς ὑπὸ θείου Ἀγγέλου, διότι (λέγει ὁ ἱερὸς ἱστοριογράφος) οὐκ ἔδωκε τὴν δόξαν τῷ Θεῷ· καὶ γενόμενος σκωληκόβρωτος, ὡς καὶ ὁ πάππος αὐτῆ (Δεκεμβρ. 29), κατέστρεψεν ἐλεεινῶς τὸ ζῆν μετ' ὀλίγον (Πράξ. ιβ', 19-23).

Κατάλυσις οἴνου καὶ ἐλαίου.

Ἀπολυτίκιον, Ἦχος γ'.

Ἀπόστολε ἅγιε Ἰάκωβε, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν,

Κοντάκιον, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Φωνῆς θείκης, ἀκούσας προσκαλούσης σε, ἀγάπην πατρὸς, παρεῖδες καὶ προστέδραμες, τῷ Χριστῷ Ἰάκωβε, μετὰ τοῦ συγγόνου σου ἐνδόξε· μεθ' οὗ ἠξιώθης ἰδεῖν, Κυρίου τὴν θείαν Μεταμόρφωσιν.

## ΜΗΝ ΜΑΪΟΣ.

Ἔχων ἡμέρας 31. Ἡ ἡμέρα ἔχει ὥρας 14. καὶ ἡ νὺξ ὥρας 10.

✠ 1. Τοῦ ἁγίου Προφήτου Ἱερεμίου.

Ὁ μέγας οὗτος Προφήτης τοῦ Θεοῦ, ὁ φιλάδελφος καὶ θρηνητικώτατος, ὁ πολλὰ προσευχόμενος περὶ τοῦ λαοῦ καὶ τῆς ἁγίας Πόλεως, ὑπῆρχεν υἱὸς Χελκίου, ἐκ φυλῆς ἱερατικῆς, ἐκ πόλεως Ἀναθὼθ, ἐν γῇ Βενιαμὶν, ἡγιασμένος ἔτι ἐκ κοιλίας μητρὸς, ὡς αὐτὸς ὁ Κύριος περὶ αὐτοῦ λέγει: Πρὸ τοῦ με πλάσαι σε ἐν κοιλίᾳ, ἐπίσταμαί σε· καὶ πρὸ τοῦ σε ἐξελθεῖν ἐκ μήτρας, ἡγίακά σε, Προφήτην εἰς ἔθνη τέθεικά σε (Ἱερεμ. ά. 5). Προεφήτευσε 40 ἔτη, ἀπὸ τοῦ 628-588 πρὸ Χριστοῦ· ὅτε, γενομένης τῆς ἐσχάτης αἰχμαλωσίας τοῦ λαοῦ ἐπὶ Σεδεκίου, καὶ ὀλίγων μόνον τινῶν ἀφεθέντων πρὸς ἐργασίαν τῆς γῆς, ἔμεινε καὶ αὐτὸς μετ' αὐτῶν, κατὰ ἄδειαν Ναβουζαρδὰν τοῦ ἀρχιμαγείρου Ναβουχοδονόσορ, κλαίων καὶ πενθῶν ἀπαραμύθητα τὴν ἐρήμωσιν τῆς Ἱερουσαλὴμ, καὶ τὴν τῶν ὁμογενῶν δουλείαν. Ἀλλὰ καὶ οἱ ὀλίγοι οὗτοι, παρανομήσαντες πάλιν, καὶ φοβούμενοι τὴν τῶν Χαλδαίων ἐκδίκησιν, ἔφυγον εἰς Αἴγυπτον, συμπαραλαβόντες βιαίως καὶ τὸν Ἱερεμίαν μετὰ Βαροὺχ τοῦ μαθητοῦ αὐτοῦ καὶ γραφέως· ὅπου προφητεύων κατὰ τῆς Αἰγύπτου, καὶ ἄλλων ἐθνῶν, ἐλιθοβολήθη ἐν Τάφναις ὑπὸ τῶν ἰδίων ὁμογενῶν, περὶ τὸ 583 πρὸ Χ. μὴ ἀνεχομένων ἀκούειν τὴν τῶν λόγων αὐτοῦ ἀλήθειαν, καὶ τοὺς δικαίους ἐλέγχους. Ἡ προφητεία αὐτοῦ, εἰς κεφάλαια 51 διῃρημένη, καὶ οἱ Θρῆνοι εἰς 5, τάττεται ἡ δευτέρα τῶν Μειζόνων Προφητῶν.

Ἀπολυτίκιον, Ἦχος β΄.

Τοῦ Προφήτου σου Ἱερεμίου τὴν μνήμην Κύριε ἑορτάζοντες, δι' αὐτοῦ σε δυσωποῦμεν: Σῶσον τὰς ψυχὰς ἡμῶν.

✠ 2. Ἡ Ἀνακομιδὴ τοῦ Λειψάνου τῶ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἀθανασίου τοῦ Μεγάλου. Ὥρα Ἰανουαρ. 18.

Κατάλυσις οἴνου καὶ ἐλαίου.

Ἀπολυτίκιον, Ἦχος γ΄. Θείας πίστεως.

Στύλος γέγονας ὀρθοδοξίας, θείοις δόγμασιν ὑποστηρίζων, τὴν Ἐκκλησίαν Ἱεράρχα Ἀθανάσιε· τῷ γὰρ Πατρὶ τὸν Υἱὸν ὁμοούσιον ἀνακηρύξας, κατήσχυνας Ἄρειον. Πάτερ ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

ΔΗΜΟΣΙΕΥΜΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ἀπόκτησις Κέντρου Βιβλιοθηκῶν Δημοσίων
Μουσείο Τύπου των Ελληνικών

Κοντάκιον, Ἦχος β'. Τοῖς τῶν αἱμάτων σου.

Ὀρθοδοξίας φυτεύσας τὰ δόγματα, κακοδοξίας ἀκάνθας ἐξέτεμες, πληθύνας τὸν σπόρον τῆς πίστεως, τῇ ἐπομβρίᾳ τοῦ Πνεύματος ὅσιε· διό σε ὑμνοῦμεν Ἀθανάσιε.

✠ 3. Τῶν ἁγίων Μαρτύρων Τιμοθέου, καὶ Μαύρας.

Ἀπολυτίκιον, Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Οἱ Μάρτυρές σου Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν, στεφάνους ἐκομίσαντο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· σχόντες γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλον· ἐθραύσαν καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση. Αὐτῶν ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τοὺς πολυτρόπους αἰκισμοὺς ἐνεγκόντες, καὶ τοὺς στεφάνους ἐκ Θεοῦ εἰληφότες, ὑπὲρ ἡμῶν πρεσβεύσατε πρὸς Κύριον, μνήμην τὴν πανίερον, τὴν ὑμῶν ἐκτελούντων, μέγιστε Τιμόθεε, καὶ ἀοίδιμε Μαύρα, τοῦ εἰρηνεῦσαι πόλιν καὶ λαόν· αὐτὸς γὰρ ἐστι πιστῶν τὸ κραταίωμα.

✠ 4. Τῆς ἁγίας Μάρτυρος Πελαγίας.

Ὑπῆρχεν ἐκ Ταρσοῦ τῆς Κιλικίας· ἤθλησεν ἐπὶ Διοκλητιανοῦ τῷ 288.

Ἀπολυτίκιον, Ἦχος δ'.

Ἡ ἀμνάς σου Ἰησοῦ. Ὅρα κατωτέρω.

✠ 5. Τῆς ἁγίας καὶ ἐνδόξου Μάρτυρος Εἰρήνης.

Ὑπῆρχε θυγάτηρ Λικινίᾳ βασιλίσκᾳ, τῷ Λικινίᾳ· ἤθλησε τῷ 315 ἔτει.

Ἀπολυτίκιον, Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Ἡ ἀμνάς σου Ἰησοῦ, κράζει μεγάλῃ τῇ φωνῇ: Σὲ Νυμφίε μου ποθῶ, καὶ σὲ ζητοῦσα ἀθλῶ, καὶ συσταυροῦμαι καὶ συνθάπτομαι τῷ βαπτισμῷ σου· καὶ πάσχω διὰ σέ, ὡς βασιλεύσω σὺν σοί· καὶ θνήσκω ὑπὲρ σοῦ, ἵνα καὶ ζήσω ἐν σοί· ἀλλ' ὡς θυσίαν ἄμωμον, προσδέχου τὴν μετὰ πόθου τυθεῖσάν σοι. Αὐτῆς πρεσβείαις, ὡς ἐλεήμων, σῶσον τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Παρθενίας κάλλεσι, πεποικιλμένη παρθένε, τῇ ἀθλήσει γέγονας, ὡραιοτάτη Εἰρήνη· αἵμασι τοῖς ἐκχυ-

θεῖσί σου φοινιχθεῖσα, πλάνην τε καταβαλοῦσα τ
ἀθεΐας· διὰ τοῦτο καὶ ἐδέξω, βραβεῖα νίκης χειρὶ τ
Κτίστου σου.

✠ 6. Τοῦ ἁγίου καὶ δικαίου Ἰὼβ τοῦ Πολυάθλου.

Ὁ πιστὸς οὗτος θεράπων τοῦ Θεοῦ, ἡ πάσης ἀρετῆς ἐντελεσ
εἰκών, καὶ ἐξαιρέτως τῆς ὑπομονῆς τὸ παράδειγμα, ὑπῆρχεν υἱὸς Ζ
ρὲ καὶ Βοσόρρας, καὶ τοῦ Ἀβραὰμ πέμπτος ἀπόγονος· ἄνθρωπ
ἀληθινὸς, ἄμεμπτος, δίκαιος, θεοσεβὴς, ἀπεχόμενος ἀπὸ παντὸς π
νηροῦ πράγματος, καὶ διὰ ταῦτα ὑπέρπλουτος, καὶ κατὰ πάντα
λογημένος ὑπὸ Θεοῦ, ὡς οὐδεὶς ἄλλος τῶν κατοίκων τῆς Αὐσίτιδ
χώρας, πατρίδος αὐτοῦ, τῆς μεταξὺ Ἰδουμαίας καὶ Ἀραβίας κειμέν
Ἀλλὰ κατὰ θείαν συγχώρησιν, πρὸς δοκιμασίαν αὐτοῦ, στερηθ
διαμιᾶς καὶ τέκνων, καὶ πλούτου, καὶ δόξης, καὶ πάσης παραμυθία
καὶ πληγωθεὶς καθ' ὅλον τὸ σῶμα φοβερῶς, ἐνεκαρτέρησε γενναίω
εἰς τὴν ἀπαραδειγμάτιστον ταύτην συμφορὰν, ἑπτὰ ὁλόκληρα ἔτη,
χαριστῶν τῷ Θεῷ. Εἶτα, διὰ τῆς θείας αὐτοῦ εὐλογίας, ἐπανελθ
πάλιν εἰς εὐδαιμονίαν λαμπροτέραν τῆς πρώτης, καὶ ζήσας μετὰ τ
πληγὴν 170 ἔτη, τὰ δὲ πάντα 240, ἐτελεύτησε πρεσβύτερος καὶ πλ
ρης ἡμερῶν, περὶ τὸ 1350 ἔτος πρὸ Χριστοῦ. Ἄλλοι δὲ λέγουσιν ὅ
ἓν μόνον ἔτος διήρκεσεν ἡ πληγὴ αὐτοῦ· καὶ ὅτι ἔζησε μετ' αὐτὴν 14
ἔτη, πάντα δὲ, 210.

Ἀπολυτίκιον, Ἦχος ά.

Τὸν πλοῦτον θεωρήσας τῶν ἀρετῶν τοῦ Ἰὼβ, συλ
σαι ἐμηχανᾶτο ὁ τῶν δικαίων ἐχθρός· καὶ δια
ῥήξας τὸν πύργον τοῦ σώματος, τὸν θησαυρὸν οὐκ
σύλησε τὸν τοῦ πνεύματος· εὗρε γὰρ ὡπλισμένην τ
τοῦ ἀμέμπτου ψυχήν· ἐμὲ δὲ καὶ γυμνώσας ἠχμαλω
τευσε. Προφθάσας οὖν πρὸ τέλους, ῥῦσαί με τοῦ δ
λίου Σωτὴρ, καὶ σῶσόν με.

Κοντάκ. Ἦχος πλ. δ'. Ὡς ἀπαρχὰς τῆς φύσεως.

Ὡς ἀληθὴς καὶ δίκαιος, θεοσεβὴς καὶ ἄμεμπτος,
γιασμένος τε ὤφθης πανένδοξε, Θεοῦ θεράπον γν
σιε· καὶ ἐδίδαξας κόσμον, ἐν τῇ σῇ καρτερίᾳ, Ἰὼβ π
λύαθλε· ὅθεν πάντες τιμῶντες, ὑμνοῦμέν σου τὸ μν
μόσυνον.

✠ 7. Ἡ Ἀνάμνησις τοῦ ἐν οὐρανῷ φανέντος σημεί
τοῦ Σταυροῦ ἐν τῇ πόλει Ἱερουσαλήμ.

Τῷ 346 ἔτει, ἐν τοῖς χρόνοις Κωνσταντίου, υἱοῦ τοῦ Μ. Κωνσ
τίνου, καὶ Κυρίλλου ἀρχιεπισκόπου Ἱεροσολύμων, κατὰ τὸν καιρ

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Δήμου Γιαννιτσών

τῆς Πεντηκοστῆς, περὶ ὥραν τρίτην τῆς ἡμέρας, ἐφάνη διὰ λαμπρῶν ἀστέρων τὸ σημεῖον τοῦτο τοῦ Σταυροῦ, ἁπλωμένον ἀπὸ τοῦ Γολγοθᾶ ἕως τοῦ Ὄρους τῶν Ἐλαιῶν.

Ἀπολυτίκιον, Ἦχος ά.

Τοῦ Σταυροῦ σου ὁ τύπος νῦν ὑπὲρ Ἥλιον ἔλαμψεν, ὃν περ ἐξ Ὄρους ἁγίου, τόπῳ Κρανίου ἐφήπλωσας, καὶ τὴν ἐν αὐτῷ σου Σῶτερ ἰσχὺν ἐτράνωσας, διά πού του κρατύνας καὶ τοὺς πιστοὺς Βασιλεῖς ἡμῶν· οὓς καὶ περίσωζε διαπαντὸς ἐν εἰρήνῃ, πρεσβείαις τῆς Θεοτόκου Χριστὲ ὁ Θεὸς, καὶ σῶσον ἡμᾶς.

Κοντάκιον, Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὁ διανοίξας οὐρανοὺς κεκλεισμένους, ἐν οὐρανῷ ὑπερφανεῖς τὰς ἀκτῖνας, ἐπὶ τῆς γῆς ἀνέτειλεν ὁ ἄχραντος Σταυρός· ὅθεν οἱ τὴν ἔλλαμψιν, τῆς αὐτοῦ ἐνεργείας, δεξάμενοι πρὸς ἄδυτον, ὁδηγούμεθα φέγγος· καὶ ἐν πολέμοις ἔχομεν αὐτὸν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

✠ 8. Τοῦ ἁγίου ἐνδόξου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ, ἐπιστηθίου, ἠγαπημένου, καὶ παρθένου, Ἰωάννου τοῦ Θεολόγου· καὶ τοῦ ὁσίου Πατρὸς ἡμῶν Ἀρσενίου τοῦ Μεγάλου.

Περὶ μὲν τοῦ Ἀποστόλου ὅρα Σεπτεμβ. 26. Ὁ δὲ Ἀρσένιος ἦν διάκονος τῆς ἐν Ῥώμῃ Ἐκκλησίας, λαμπρὸς κατὰ τὸ γένος καὶ τὴν παιδείαν, καὶ θαυμάσιος τὴν ἀρετήν. Τῷ δὲ 393, ὅτε Θεοδόσιος ὁ Μέγας ἐνέδυσε τὴν βασιλικὴν πορφύραν Ἀρκάδιον τὸν πρεσβύτερον υἱὸν αὐτοῦ, ἐπταετῆ ὄντα, ἐκλεχθεὶς ὁ Ἀρσένιος ὑπὸ Δαμάσου τοῦ τῆς Ῥώμης ἀρχιεπισκόπου, ἐπέμφθη εἰς Κωνσταντινούπολιν, πρὸς διδασκαλίαν τοῦ βασιλόπαιδος τούτου. Ἀλλὰ μὴ δυνάμενος διδάσκειν αὐτὸν ὡς ἰδιώτην, κατὰ τὴν ἐντολὴν τοῦ πατρὸς, διὰ τὴν φυσικὴν τοῦ νέου ἔπαρσιν καὶ ἰσχυρογνωμίαν, μᾶλλον δὲ καὶ κινδυνεύσας ὑπ' αὐτοῦ τὴν ζωὴν, κατέλιπε τὴν βασιλικὴν αὐλὴν, καὶ ἀπῆλθεν εἰς τὴν ἐν τῇ ἐρήμῳ τῆς Θηβαΐδος Σκήτην· ὅπου τελέσας τὸν ὑπόλοιπον βίον ἀσκητικῶς, ἐτελεύτησε τῷ 445, ἐτῶν 95.

Ἀργία, καὶ Κατάλυσις οἴνου καὶ ἐλαίου.

Ἀπολυτίκιον, Ἦχος β'.

Ἀπόστολε Χριστῷ τῷ Θεῷ ἠγαπημένε, ἐπιτάχυνον ῥῦσαι λαὸν ἀναπολόγητον· δέχεταί σε προσπίπτοντα, ὁ ἐπιπεσόντα τῷ στήθει καταδεξάμενος· ὃν ἱ-

κέτευε Θεολόγε, καὶ ἐπίμονον νέφος ἐθνῶν διασκεδάσαι, αἰτούμενος ἡμῖν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Τοῦ Ὁσίου, Ἦχος πλ. σ'.

Ταῖς τῶν δακρύων σου ῥοαῖς, τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας· καὶ ταῖς ἐκ βάθους στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας· καὶ γέγονας φωσὴρ τῇ οἰκουμένῃ λάμπων τοῖς θαύμασιν. Ἀρσένιε Πατὴρ ἡμῶν ὅσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον τοῦ Ἀποστόλου, Ἦχος β'.

Τὰ μεγαλεῖά σου παρθένε τίς διηγήσεται; βρύεις γὰρ θαύματα, καὶ πηγάζεις ἰάματα, καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν, ὡς Θεολόγος καὶ φίλος Χριστοῦ.

Τοῦ Ὁσίου, Ἦχος β'. Τὴν ἐν πρεσβείαις.

Τὴν τῶν Ἀγγέλων ἐν σώματι πολιτείαν, ἐπιδειξάμενος Ἀρσένιε θεοφόρε, τούτων καὶ τῆς τιμῆς κατηξίωσαι, τῷ τοῦ Δεσπότου θρόνῳ, σὺν αὐτοῖς παριστάμενος, καὶ πᾶσι πρεσβεύων θείαν ἄφεσιν.

✠ 9. Τοῦ ἁγίου Προφήτου Ἡσαΐου· καὶ τοῦ ἁγίου Μάρτυρος Χριστοφόρου.

Ὁ μὲν Προφήτης ὑπῆρχεν υἱὸς Ἀμὼς, ἐκ τῆς βασιλικῆς φυλῆς κατάγόμενος. Προεφήτευσεν ἐν ἡμέραις Ὀζίου, (τοῦ καὶ Ἀζαρίου καλουμένου) Ἰωάθαμ, Ἄχαζ, καὶ Ἐζεκίου, βασιλέων τῆς Ἰουδαίας. Περὶ δὲ τὸ 681 πρὸ Χριστοῦ, ἐπὶ τῆς βασιλείας Μανασσῆ, υἱοῦ καὶ διαδόχου τοῦ εὐσεβεστάτου Ἐζεκίου, ἐλέγχων τὴν ἀσέβειαν καὶ τὰς παρανομίας αὐτοῦ, ἐπριονίσθη διὰ ξυλίνου πρίονος, καὶ οὕτως ἐτελεύτησε μαρτυρικῶς. Ὀνομάζεται ἁπάντων τῶν Προφητῶν ὁ Εὐαγγελικώτατος καὶ Μεγαλοφωνότατος, διὰ τὸ κάλλος καὶ ὕψος τῶν λόγων αὐτοῦ. Ἡ προφητεία αὐτοῦ, εἰς 66 κεφάλαια διηρημένη, τάσσεται ἡ πρώτη τῶν Μειζόνων Προφητῶν. Τούτου ἐστὶ καὶ ἡ Ε'. τῆς Στιχολογίας Ὠδή: Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρός σε, ὁ Θεός. κ. τ. λ. — Περὶ δὲ τοῦ Ἁγίου Χριστοφόρου λέγουσι τερατώδη καὶ μυθώδη πολλὰ, ὅσα ἐγέννησεν ἡ ἀμάθεια καὶ δεισιδαιμονία· ἐξ ὧν ἐστι καὶ τὸ νομίζειν ὅτι, ἤ ἂν ἡμέρᾳ ἔβλεπέ τις αὐτοῦ τὴν εἰκόνα, ἦν ἀδύνατον ἀποθανεῖν αὐτὸν κατ' αὐτὴν αἰφνιδίως, ἢ ἐκ συμβεβηκότος τινός. Ἐντεῦθεν προῆλθε τὸ περιαδόμενον ἐκεῖνο· Ἅγιε Χριστοφόρον ἀφ' οὗ ἴδῃς, ὕστερα σφαλῆς βαδίζεις. Διὰ τοῦτο ἡ συνήθεια τῶν παλαιῶν τοῦ τιθέναι τὰς εἰκόνας αὐτοῦ ἐπὶ τῶν Ἐκκλησιῶν τὰς εἰσόδους, ἵνα οἱ εἰσερχόμενοι βλέπωσιν αὐτάς

Ἡ δὲ ἐτυμολογία τοῦ ὀνόματος αὐτοῦ, ὅπερ δηλοῖ: Χριστὸν φέρειν παρεκίνησεν ἀναμφιβόλως τοὺς ζωγράφους, ἵνα ζωγραφίζωσιν αὐτὸν, βαστάζοντα ἐπὶ τῶν ὤμων νήπιον τὸν Ἰησοῦν· οὐχὶ ὅμως ἔχοντα καὶ, πρόσωπον κυνὸς (σκύλου), ὡς τινες τῶν ἀμαθῶν ζωγράφων. Ἠθλησε δὲ ὁ Μάρτυς ἐπὶ Δεκίου, τῷ 250 ἔτει.

## Ἀπολυτίκιον τοῦ Προφήτου, Ἦχος β΄.

Τῶ Προφήτα σα Ἡσαΐα τὴν μνήμην Κύριε ἑορτάζοντες, δι' αὐτοῦ σε δυσωπῶμεν: Σῶσον τὰς ψυχὰς ἡμῶν.

## Τοῦ Μάρτυρος, Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Στολαῖς ταῖς ἐξ αἵματος, ὡραιζόμενος, Κυρίῳ παρίστασαι, τῷ Βασιλεῖ οὐρανῶν, Χριζοφόρε ἀοίδιμε. Ὅθεν σὺν Ἀσωμάτων, καὶ Μαρτύρων χορείαις, ᾄδεις τῇ τρισαγίῳ, καὶ φρικτῇ μελῳδίᾳ· διὸ ταῖς ἱκεσίαις ταῖς σαῖς, σῶζε τοὺς δούλους σου.

## Κοντάκ. τοῦ Προφήτου, Ἦχος β΄. Τὴν ἐν πρεσβείως.

Τῆς προφητείας τὸ χάρισμα δεδεγμένος, Προφητομάρτυς Ἡσαΐα Θεοκήρυξ, πᾶσιν ἐτράνωσας τοῖς ὑφ' Ἥλιον, τὴν τῶ Θεοῦ φωνήσας, μεγαλοφώνως σάρκωσιν: Ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ λήψεται.

## ✠ 10. Τοῦ ἁγίου Ἀποστόλου Σίμωνος τοῦ Ζηλωτοῦ.

Οὗτος ἦν ἐκ τοῦ ἀριθμοῦ τῶν Δώδεκα, ὀνομαζόμενος ὑπο μεν του Ματθαίου, Σ. Καναναίτης· ὑπὸ δὲ τοῦ Λουκᾶ, Σ. Ζηλωτὴς (Ματθ. ι. 4. Λουκ. ϛ΄. 15)· καθότι τὸ Καναναίτης, ἑρμηνεύεται εἰς τὸ Ζηλωτὴς, ἐκ τοῦ Κανὰ, ὅπερ δηλοῖ Ζῆλος, κατὰ τοὺς ἑρμηνευτάς. Λέγουσι δέ τινες, ὅτι οὗτος ἐστὶν ὁ νυμφίος τοῦ ἐν Κανᾷ τῆς Γαλιλαίας γενομένου γάμου, ὅπου ὁ Ἰησοῦς, μεταβαλὼν τὸ ὕδωρ εἰς οἶνον, ἐποίησε τὴν ἀρχὴν τῶν σημείων αὐτοῦ (Ἰωάν. β΄. 1-11).

## Ἀπολυτίκιον, Ἦχος γ΄.

Ἀποστολε ἅγιε Σίμων, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

## Κοντάκιον, Ἦχος β΄. Τοὺς ἀσφαλεῖς.

Τὸν ἀσφαλῶς τὰ τῆς σοφίας δόγματα, ἐν ταῖς ψυχαῖς τῶν εὐσεβούντων θέμενον, ἐν αἰνέσει μακαρίσωμεν, τὸν θεηγόρον πάντες Σίμωνα· τῷ θρόνῳ γὰρ τῆς δόξης νῦν παρίσταται, καὶ σὺν τοῖς Ἀσωμάτοις ἐπαγάλλεται, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

✠ 11. Τὰ Γενέθλια, ἤτοι τὰ Ἐγκαίνια τῆς Κωνσταντινουπόλεως· καὶ μνήμη τοῦ ἁγίου Ἱερομάρτυρος Μωκίου.

Κατὰ τὸ 328 ἔτος ἀπὸ Χριστοῦ, τῇ 29 Νοεμβρίου, κατεβλήθησαν τὰ θεμέλια τῆς Βασιλίδος ταύτης τῶν πόλεων. Τῷ δὲ 330 ἔτει, Ἰνδικτιῶνος 3, Μαΐου μηνὸς 11, ἡμέρᾳ β'. τῆς Ἑβδομάδος, ἐγένοντο τὰ Ἐγκαίνια αὐτῆς μετὰ πάσης τῆς Συγκλήτου· καὶ ἀφιερωθεῖσα εἰς τὴν προστασίαν τῆς Θεοτόκου, ἐπωνομάσθη Κωνσταντινούπολις, ἐκ τοῦ ὀνόματος τοῦ κτίσαντος αὐτὴν Κωνσταντίνου τοῦ Μεγάλου — Ὁ δὲ Ἱερομάρτυς ἤθλησεν ἐπὶ Διοκλητιανοῦ, τῷ 288 ἔτει.

Ἀπολυτίκιον τοῦ Ἁγίου, Ἦχος δ'.

Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος, τῶν Ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὗρες θεόπνευστε, εἰς θεωρίας ἐπίβασιν· διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίσει ἐνήθλησας μέχρις αἵματος, Ἱερομάρτυς Μώκιε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἕτερον τῶν Ἐγκαινίων, ὁ αὐτός.

Τῆς Θεοτόκου ἡ Πόλις, τῇ Θεοτόκῳ προσφόρως τὴν ἑαυτῆς ἀνατίθεται σύστασιν· ἐν αὐτῇ γὰρ ἐστήρικται διαμένειν, καὶ δι' αὐτῆς περισώζεται καὶ κραταιοῦται, βοῶσα πρὸς αὐτήν: Χαῖρε ἡ ἐλπὶς, πάντων τῶν περάτων τῆς γῆς.

Κοντάκιον, Ἦχος β'. Τοὺς ἀσφαλεῖς.

Καθοπλισθεὶς τῷ θυρεῷ τῆς πίσεως, τῶν ἀσεβῶν τὰς παρατάξεις ἔτρεψας, καὶ ἐδέξω δόξης στέφανον, παρὰ Κυρίου μάκαρ Μώκιε· διὸ μετὰ Ἀγγέλων ἀγαλλόμενος, περίσωζε κινδύνων τοὺς ὑμνοῦντάς σε, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

✠ 12. Τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν, Ἐπιφανίου ἐπισκόπου Κύπρου, καὶ Γερμανοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.

Ὁ μὲν Ἐπιφάνιος ἐγεννήθη περὶ τὸ 320 ἔτος, ἐν Βεσανδούκῃ, κώμῃ τῆς Παλαιστίνης μικρᾷ, ἐκ γονέων πτωχῶν, Ἰουδαίων τὸ γένος. Μετῆλθε τὸν μοναδικὸν βίον ἐκ νεαρᾶς ἡλικίας· καὶ μιμησάμενος πᾶσαν ἀρετὴν τῶν μοναχῶν τῆς Αἰγύπτου, ἔλαβεν ὕστερον πολλοὺς ἄλλους ὑπὸ τὴν προστασίαν αὐτοῦ ἐν ἰδίῳ μοναστηρίῳ. Ἐδιδάχθη τὴν Ἑβραϊκὴν, Αἰγυπτιακὴν, Συριακὴν, Ἑλληνικὴν, καὶ Λατινικὴν γλῶσσαν, καὶ ἐκ τούτου ἐκαλεῖτο Πενταγλωσσος. Περὶ τὸ 368, ἐκλεχθεὶς

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

ἐπίσκοπος Κωνσταντίας τῆς Κύπρου, ἥτις πρότερον ἐκαλεῖτο Σαλαμίς, καὶ ποιμάνας τὸ ποίμνιον αὐτοῦ θεαρέστως, καὶ πάσης αἱρέσεως ἀμόλυντον, ἐτελεύτησε περὶ τὸ 403 ἔτος, ζήσας ἔτη 105, κατὰ δὲ τὸν τοῦ Νικοδήμου Συναξαριστήν, 115. Μεταξὺ τῶν ἱερῶν αὐτοῦ Συγγραμμάτων, τιμᾶται μᾶλλον τῶν λοιπῶν τὸ Πανάριον, (ἐκ τοῦ Λ. Panarium)· ὅ ἐστιν Ἀρτοφόριον, ἢ Ἀρτοθήκη, περιέχον ἀπόδειξιν τῶν τῆς πίστεως ἀληθειῶν, καὶ ἀνασκευὴν τῆς πλάνης 80 αἱρέσεων. — Ὁ δὲ Γερμανὸς ἦν Κωνσταντινουπολίτης τὴν πατρίδα, λαμπρὸς τὸ γένος, υἱὸς Ἰουστινιανοῦ Πατρικίου. Κατ' ἀρχὰς ἐγένετο ἐπίσκοπος Κυζίκου· τῷ δὲ 715 προεβιβάσθη εἰς τὸν τῆς Κωνσταντινουπόλεως θρόνον. Ἀλλ' ἐπειδὴ γενναίως ἀντέστη εἰς τὸ περὶ τῶν ἁγίων Εἰκόνων πρόσταγμα Λέοντος τοῦ Ἰσαύρου, ἐξωσθεὶς τοῦ θρόνου αὐτοῦ τῷ 730 ἔτει, καὶ ζήσας τοῦ λοιποῦ ὡς ἰδιώτης, ἐτελεύτησε περὶ τὰ 740, ἐτῶν 95. Τὸ περὶ τῶν Ἓξ Οἰκουμενικῶν Συνόδων ἐστὶ τὸ πρώτιστον τῶν αὐτοῦ Συγγραμμάτων. Ἐχρημάτισε δὲ καὶ ἁσματογράφος ὁ αὐτὸς, ὡς φαίνεται ἐκ τῆς ἐπιγραφῆς πολλῶν Στιχηρῶν Ἰδιομέλων, ἐξ ὧν καὶ τὰ εἰς τὴν Ὑπαπαντήν: Λέγε Συμεών, κτλ.

Ἀπολυτίκιον. Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν. Σελ. 275.

Κοντάκιον, Ἦχος δ'. Ὁ ὑψωθείς.

Γεραρχῶν τὴν θαυμαστὴν ξυνωρίδα, ἀνευφημήσωμεν πιστοὶ κατὰ χρέος, σὺν Γερμανῷ τὸν θεῖον Ἐπιφάνιον· οὗτοι γὰρ κατέφλεξαν, τῶν ἀθέων τὰς γλώσσας, δόγματα σοφώτατα, διαθέμενοι πᾶσι, τοῖς ὀρθοδόξως μελπουσιν ἀεί, τῆς εὐσεβείας τὸ μέγα μυςήριον.

✠ 13. Τῆς ἁγίας Μάρτυρος Γλυκερίας.

Ἤθλησεν ἐν ἔτει 141, ἐπὶ Ἀντωνίου βασιλέως.

Ἀπολυτίκιον. Ἡ ἀμνάς σου Ἰησοῦ. Σελ. 301.

Κοντάκιον, Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Τὴν Παρθένον στέργουσα, καὶ Θεοτόκον Μαρίαν, διετήρεις ἄφθορον, τὴν σεαυτῆς παρθενίαν· πόθῳ δὲ καρδιωθεῖσα τῷ τοῦ Κυρίου, ἤθλησας ἀνδρειοφρόνως μέχρι θανάτου· διὰ τοῦτο Γλυκερία, διπλῷ στεφάνῳ σε στέφει Χριστὸς ὁ Θεός.

✠ 14. Τοῦ ἁγίου Μάρτυρος Ἰσιδώρου τοῦ ἐν τῇ Χίῳ.

Ὑπῆρχεν Ἀλεξανδρεὺς τὴν πατρίδα, στρατιωτικὸς τὴν τάξιν· ἤθλησεν ἐν τῇ νήσῳ Χίῳ, τῷ 251 ἐπὶ Δεκίου.

Ἀπολυτίκιον. Ὁ Μάρτυς σου Κύριε. Σελ. 272.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Λιβαδειάς - Μουσείο Γεωργίου Δροσίνη - Κωδικοποίηση

**Κοντάκιον, Ἦχος δ'. Ἐπεφάνης σήμερον.**

Κυβερνήτης μέγιστος, τῇ οἰκουμένῃ, σὺ ἐφάνης ἅγιε, ταῖς πρὸς Θεόν σου προσευχαῖς· διὸ ὑμνοῦμέν σε σήμερον, Μάρτυς Θεόφρον, Ἰσίδωρε ἔνδοξε.

**✠ 15. Τῶν ὁσίων Πατέρων ἡμῶν, Παχωμίου τοῦ Μεγάλου, καὶ Ἀχιλλίου ἀρχιεπισκόπου Λαρίσσης, τοῦ Θαυματουργοῦ.**

Ὁ μὲν Ἀχίλλιος ἦν εἷς τῶν 318 Θεοφόρων Πατέρων τῆς Α'. Οἰκουμενικῆς Συνόδου, τελευτήσας περὶ τὰ μέσα τοῦ Δ'. αἰῶνος. — Ὁ δὲ Παχώμιος ἐγεννήθη ἐν τῇ ἄνω Θηβαΐδι τῆς Αἰγύπτου, ἐκ γονέων εἰδωλολατρῶν· ἐστράτευσε πρότερον ἐκ νεαρᾶς ἡλικίας· εἶτα, τὰς ἀρετὰς τῶν Χριστιανῶν βλέπων, προσῆλθεν εἰς τὴν πίστιν τοῦ Χριστοῦ· ἐμαθήτευσεν ὑπὸ τὸν ἐρημίτην Παλάμωνα· ἐγένετο περιβόητος εἰς τὴν ἀρετήν, δι' ἧς ἐνέπλησε τὴν κατὰ τὸν Νεῖλον Ταβεννησίαν μοναστηρίων καὶ σκήτεων, καὶ κατέστη Κοινοβιάρχης μοναχῶν ὑπὲρ τὰς 14 χιλιάδας· ἐτελεύτησε περὶ τὰ 348.

**Κατάλυσις οἴνου καὶ ἐλαίου.**

**Ἀπολυτίκιον, Ἦχος πλ. δ'.**

Ταῖς τῶν δακρύων σου ῥοαῖς, τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας· καὶ τοῖς ἐκ βάθους στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας· καὶ γέγονας φωστὴρ, τῇ οἰκουμένῃ λάμπων τοῖς θαύμασι. Παχώμιε Πατὴρ ἡμῶν ὅσιε, Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Τοῦ Ἱεράρχου, Ἦχος δ'.**

Κανόνα πίστεως, καὶ εἰκόνα πραότητος, ἐγκρατείας διδάσκαλον, ἀνέδειξέ σε τῇ ποίμνῃ σου ἡ τῶν πραγμάτων ἀλήθεια· διὰ τοῦτο ἐκτήσω τῇ ταπεινώσει τὰ ὑψηλὰ, τῇ πτωχείᾳ τὰ πλούτια. Πάτερ Ἱεράρχα Ἀχίλλιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Κοντάκιον τοῦ Ὁσίου, Ἦχος β'. Τὴν ἐν πρεσβείαις.**

Τὴν τῶν Ἀγγέλων ἐν σώματι πολιτείαν, ἐπιδειξάμενος Παχώμιε Θεοφόρε, τούτων καὶ τῆς εὐκλείας ἠξίωσαι, τῷ τοῦ Δεσπότου θρόνῳ, σὺν αὐτοῖς παρισάμενος, καὶ πᾶσι πρεσβεύων θείαν ἄφεσιν.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ

Τοῦ Ἱεράρχου, Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Τῆς οἰκουμένης τὸν ἀστέρα τὸν ἀνέσπερον, καὶ Λαρισσαίων τὸν ποιμένα τὸν ἀκοίμητον, τὸν Ἀχίλλιον ὑμνήσωμεν ἐκβοῶντες: Παῤῥησίαν κεκτημένος πρὸς τὸν Κύριον, ἐκ παντοίας τρικυμίας ἡμᾶς λύτρωσαι, ἵνα κράζωμέν σοι: Χαίροις Πάτερ Ἀχίλλιε.

✠ 16. Τοῦ ὁσίου Πατρὸς ἡμῶν Θεοδώρου τοῦ Ἡγιασμένου, μαθητοῦ τοῦ ὁσίου Παχωμίου.

Ἐτελεύτησε κατὰ τὸ 360 ἔτος:

Ἀπολυτίκιον, Ἦχος ά. Τοῦ λίθου σφραγισθέντος.

Τῆς ἐρήμου πολίτης καὶ ἐν σώματι ἄγγελος, καὶ θαυματουργὸς ἀνεδείχθης, θεοφόρε Πατὴρ ἡμῶν Θεόδωρε· νηστείᾳ, ἀγρυπνίᾳ, προσευχῇ, οὐράνια χαρίσματα λαβών, θεραπεύεις τοὺς νοσοῦντας, καὶ τὰς ψυχὰς τῶν πίστει προστρεχόντων σοι. Δόξα τῷ δεδωκότι σοι ἰσχύν· δόξα τῷ σὲ στεφανώσαντι· δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

✠ 17. Τῶν ἁγίων Ἀποστόλων Ἀνδρονίκου, καὶ Ἰουνίας.

Τούτους ἀναφέρει ὁ Ἀ. Παῦλος ἐν τῇ πρὸς Ῥωμαίους Ἐπιστολῇ, λέγων: Ἀσπάσασθε Ἀνδρόνικον καὶ Ἰουνίαν τοὺς συγγενεῖς καὶ συναιχμαλώτους μου, οἵτινές εἰσιν ἐπίσημοι ἐν τοῖς Ἀποστόλοις, οἳ καὶ πρὸ ἐμοῦ γεγόνασιν ἐν Χριστῷ. (ις'. 7).

Ἀπολυτίκιον, Ἦχος γ'.

Ἀπόστολοι ἅγιοι, πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

✠ 18. Τῶν ἁγίων Μαρτύρων Πέτρου, Διονυσίου, Χρισίνης, Ἀνδρέου, Παύλου, Βενεδίμου, Παυλίνου, καὶ Ἡρακλείου.

Οὗτοι ἐκ διαφόρων πόλεων ὄντες, ἤθλησαν ἐπὶ Δεκίου τῷ 250.

Εἰ ἄξιον Ἀληθῶς, Οἱ Μάρτυρές σου Κύριε. Σελ. 301.

✠ 19. Τῶν ἁγίων Ἱερομάρτυρος Πατρικίου, ἐπισκόπου Πράσης, καὶ τῶν σὺν αὐτῷ Ἀχαικίου, Μενάνδρου, καὶ Πολυαίνου.

Εἰ ἄξιον Ἀληθῶς, Οἱ Μάρτυρές σου Κύριε, ὡς ἀνωτέρω.

✠ 20. Τοῦ ἁγίου Μάρτυρος Θαλελαίου.

Ὑπῆρχεν ἔκ τινος χώρας τῆς Φοινίκης, καλουμένης Λιβάνου, υἱὸς πατρὸς μὲν Βερουκίου, ἀρχιερέως τῶν Χριστιανῶν, μητρὸς δὲ Ῥω-

ΑΠΟΘΕΤΗΡΙΟ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημοσία Κεντρική Βιβλιοθήκη Δημοσίου Μουσείου Συμβολικών Τεχνών

μυλίας· ἰατρὸς τὴν τέχνην, κρυπτόμενος εἰς ἐλαιῶνα τινὰ διὰ τὸν τῶν εἰδωλολατρῶν [illegible]βον· συλληφθεὶς δὲ, ἤθλησεν ἐπὶ Νουμεριανοῦ, τῷ 284 ἔτει.

Ἀπολυτίκιον. Ὁ Μάρτυς σου Κύριε. Σελ. 272.

Κοντάκιον, Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Τῶν Μαρτύρων σύναθλος, ἀναδειχθεὶς καὶ ὁπλίτης, στρατιώτης ἄριστος, τοῦ Βασιλέως τῆς δόξης, γέγονας διὰ βασάνων καὶ τιμωρίας, ἔπαρσιν εἰδωλολατρῶν καταπατήσας· διὰ τοῦτο τὴν σεπτήν σου, ὑμνοῦμεν μνήμην σοφὲ Θαλέλαιε.

✠ 21. Τῶν ἁγίων Μεγάλων Βασιλέων καὶ Ἰσαποστόλων, Κωνσταντίνου καὶ Ἑλένης.

Ὁ Μέγας οὗτος, καὶ ἀοίδιμος Α'. Βασιλεὺς Χριστιανῶν ὑπῆρχεν υἱὸς Κωνσταντίνου τοῦ Χλωροῦ, (βασιλέως τῶν δυτικωτάτων μερῶν τοῦ Ῥωμαϊκοῦ κράτους) καὶ τῆς μακαρίας Ἑλένης. Ἐγεννήθη τῷ 272 ἔτει, ἐν Ναΐσσῳ τῆς Δαρδανίας, πόλει ποτὲ τοῦ Ἑλλησπόντου, κατά τινας. Τῷ 306 ἔτει, ἀποθανόντος τοῦ πατρὸς, ἀνηγορεύθη τοῦ θρόνου αὐτοῦ διάδοχος. Τῷ 312, μαθὼν ὅτι ὁ Μαξέντιος μετὰ τοῦ Μαξιμίνου ἠνώθησαν κατ' αὐτοῦ, ἐξεστράτευσεν εἰς Ἰταλίαν· ὅπου ἀπερχόμενος ἐπὶ κεφαλῆς τῶν ἑαυτοῦ στρατευμάτων, εἶδεν ἐν τῷ οὐρανῷ μετὰ μεσημβρίαν, κάτωθεν τοῦ Ἡλίου, στύλον φωτεινὸν, εἰς τύπον Σταυροῦ, μετ' ἐπιγραφῆς τοιαύτης: Ἐν τούτῳ νικήσεις. Τὴν ἐφεξῆς νύκτα, φανεὶς καθ' ὕπνον ὁ Ἰησοῦς Χριστὸς, παρήγγειλεν αὐτῷ τὴν χρῆσιν τοῦ σταυροειδοῦς ἐκείνου τύπου εἰς τὰς σημαίας αὐτοῦ· ὁ δὲ ἐγερθεὶς τοπρωΐ, διώρισεν ἀμέσως τὴν τούτου κατασκευὴν, ὀνομάσας αὐτὸ Λάβαρον, (Labarum, ὅπερ ἐτυμολογοῦσιν ἐκ τοῦ Ἑλληνικοῦ λάφυρον)· ὅ ἐστι, Σημαίαν πρὸς νίκην καὶ λαφυραγωγίαν τοῦ ἐχθροῦ, ἔχουσαν ἐν ἑαυτῇ γεγραμμένον τὸ ὄνομα τοῦ Ι. Χ. καὶ προτήσας τὴν μάχην τῇ 28 Ὀκτωβρίου, ἐνίκησε κατακράτος τὸν Μαξέντιον· ὅς τις καταδιωκόμενος, ἐπνίγη εἰς τὸν Τίβεριν ποταμόν. Ὁ δὲ Κωνσταντῖνος, εἰσελθὼν τῇ ἐπαύριον εἰς Ῥώμην μετὰ θριάμβου, ἀνηγορεύθη ὑπὸ τῆς Γερουσίας αὐτοκράτωρ τῆς Δύσεως, τοῦ Λικινίου βασιλεύοντος εἰς τὴν Ἀνατολήν. Ἀλλὰ καὶ τοῦτον, ζηλοτυπήσαντα ὕστερον, καὶ ἐκδικούμενον εἰς τοὺς Χριστιανοὺς, πολεμήσας ἅπαξ καὶ δὶς, κατεξωλόθρευσεν εἰς τέλος, τῷ 323 ἔτει· καὶ οὕτως ἔμεινεν αὐτὸς μονάρχης τῆς Δύσεως καὶ τῆς Ἀνατολῆς· ἔπαυσαν πάντες οἱ κατὰ τῆς Ἐκκλησίας διωγμοὶ, ἐθριάμβευσεν ὁ Χριστιανισμὸς, καὶ κατελύθη ἡ εἰδωλολατρεία. Τῷ 325 συνήθροισε τὴν ἐν Νικαίᾳ Α'. Οἰκουμενικὴν Σύνοδον, ἣν καὶ ἐτίμησε διὰ τῆς ἑαυτοῦ παρουσίας. Τῷ 328, κατὰ τὴν 29 Νοεμβρίου, κατέβαλε τὰ θεμέλια τῆς ἐπωνύμου αὐτοῦ Κωνσταντινουπόλεως, εἰς ἣν μετακομισθέντος τοῦ αὐτοκρατορικοῦ θρόνου ἐκ τῆς

Ρώμης, ἐπωνομάσθη καὶ αὐτὴ Νέα Ῥώμη. Τελευταῖον, ἀσθενήσας κατὰ τὴν Νικομήδειαν, καὶ ἐκεῖ, κατὰ τὸν Εὐσέβιον, (εἰς Κωνσταντ. Βιβλ. δ. 61-62) ὁμοίως καὶ τὸν Σωκράτην καὶ Σωζόμενον, αἰτήσας καὶ λαβὼν τὸ θεῖον Βάπτισμα, καὶ τῶν λοιπῶν ἁγίων Μυστηρίων ἀξιωθείς, ἐτελεύτησε τῷ 337, κατὰ τὴν 21, ἢ 22 Μαΐου, ἡμέρᾳ τῆς Πεντηκοστῆς, ζήσας τὰ πάντα ἔτη 65, ἐξ ὧν ἐβασίλευσε 31. Τὸ δὲ λείψανον αὐτοῦ, ἐνεχθὲν εἰς Κωνσταντινούπολιν, κατετέθη ἐν τῷ ὑπ' αὐτοῦ ἀνεγερθέντι ναῷ τῶν ἁγίων Ἀποστόλων. Ἄλλοι δὲ λέγουσιν, ὅτι ἐβαπτίσθη ἐν Ῥώμῃ, τῷ 324 ἔτει ὑπὸ τοῦ ἁγίου Σιλβέστρου.

## Ἀργία, καὶ Κατάλυσις οἴνου καὶ ἐλαίου.

### Ἀπολυτίκιον, Ἦχος πλ. δ'.

Τοῦ Σταυροῦ σου τὸν τύπον ἐν οὐρανῷ θεασάμενος, καὶ ὡς ὁ Παῦλος τὴν κλῆσιν οὐκ ἐξ ἀνθρώπων δεξάμενος, ὁ ἐν βασιλεῦσιν Ἀπόστολός σε Κύριε, βασιλεύουσαν Πόλιν τῇ χειρί σου παρέθετο· ἣν περίσωζε διαπαντὸς ἐν εἰρήνῃ, πρεσβείαις τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.

### Κοντάκιον, Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Κωνσταντῖνος σήμερον, σὺν τῇ μητρὶ τῇ Ἑλένῃ, τὸν Σταυρὸν ἐκφαίνεσι, τὸ πανσεβάσμιον ξύλον, πάντων μὲν τῶν Ἰουδαίων αἰσχύνην ὄντα, ὅπλον δὲ πιστῶν ἀνάκτων κατ' ἐναντίων· δι' ἡμᾶς γὰρ ἀνεδείχθη, σημεῖον μέγα, καὶ ἐν πολέμοις φρικτόν.

✠ 22. Τοῦ ἁγίου Μάρτυρος Βασιλίσκου. Ἀλληλούϊα.

✠ 23. Τοῦ ὁσίου Πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Μιχαὴλ, ἐπισκόπου Συνναάδων. Ἀλληλούϊα.

✠ 24. Τοῦ ὁσίου Πατρὸς ἡμῶν Συμεών, τοῦ ἐν τῷ Θαυμαστῷ Ὄρει.

Ὑπῆρξεν ἐξ Ἀντιοχείας, ἔζησεν ἐπὶ στύλου, ἐπωνομάσθη Συμεὼν ὁ νέος Στυλίτης, ἐτελεύτησε τῷ 595 ἔτει.

### Ἀπολυτίκιον, Ἦχος α. Τοῦ λίθου σφραγισθέντος.

Τῆς ἐρήμου πολίτης, καὶ ἐν σώματι ἄγγελος, καὶ θαυματουργὸς ἀνεδείχθης, θεοφόρε Πατὴρ ἡμῶν Συμεών· νηστείᾳ, ἀγρυπνίᾳ, προσευχῇ, οὐράνια χαρίσματα λαβών, θεραπεύεις τοὺς νοσοῦντας, καὶ τὰς ψυχὰς τῶν πίστει προστρεχόντων σοι. Δόξα τῷ δεδωκότι σοι ἰσχύν· δόξα τῷ σὲ στεφανώσαντι· δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Ψηφιακή Κεντρική Βιβλιοθήκη Μουσείο Σμυρναίων Τεχνοτεχνών

Κοντάκιον, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τὰ ἄνω ποθῶν, τῶν κάτω μεθιστάμενος, καὶ ὡς οὐρανὸν, τὸν Στύλον τεκτηνάμενος, δι' αὐτοῦ ἀπήσραψας τῶν θαυμάτων τῇ αἴγλῃ Ὅσιε, εἰς ἀεὶ Χριστῷ τῷ Θεῷ, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

✠ 25. Ἡ Τρίτη εὕρεσις τῆς τιμίας Κεφαλῆς τοῦ Προδρόμου. Κατάλυσις οἴνου καὶ ἐλαίου.

Ἀπολυτίκιον, Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ὡς θεῖον θησαύρισμα, ἐγκεκρυμμένον τῇ γῇ, Χριστὸς ἀπεκάλυψε, τὴν Κεφαλήν σου ἡμῖν, Προφῆτα καὶ Πρόδρομε· πάντες οὖν συνελθόντες, ἐν τῇ ταύτης εὑρέσει, ἄσμασι θεηγόροις, τὸν Σωτῆρα ὑμνοῦμεν, τὸν σώζοντα ἡμᾶς ἐκ φθορᾶς ταῖς ἱκεσίαις σου.

Κοντάκιον, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Προφῆτα Θεοῦ, καὶ Πρόδρομε τῆς χάριτος, τὴν Κάραν τὴν σὴν, ὡς ῥόδον ἱερώτατον, ἐκ τῆς γῆς εὑράμενοι, τὰς ἰάσεις πάντοτε λαμβάνομεν· καὶ γὰρ πάλιν ὡς πρότερον, ἐν κόσμῳ κηρύττεις τὴν μετάνοιαν.

✠ 26. Τοῦ ἁγίου Ἀποστόλου Κάρπου, ἑνὸς τῶν Ἑβδομήκοντα.

Ἀπολυτίκιον Ἦχος γ'.

Ἀπόστολε ἅγιε Κάρπε, πρέσβευε τῷ ἐλεήμονι Θεῷ ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

✠ 27. Τοῦ ἁγίου Ἱερομάρτυρος Ἑλλαδίου. Ἀλληλούϊα.

✠ 28. Τοῦ ἁγίου Ἱερομάρτυρος Εὐτυχοῦς, ἐπισκόπου Μελιτινῆς. Ἀλληλούϊα.

✠ 29. Τῆς ἁγίας Μάρτυρος Θεοδοσίας. Ἀλληλούϊα.

✠ 30. Τοῦ ὁσίου Πατρὸς ἡμῶν Ἰσαακίου, ἡγουμένου τῆς μονῆς Δαλμάτων. Ἀλληλούϊα.

Ἡ μονὴ αὕτη, κατὰ τὸν Κωδινὸν, ἐκτίσθη ὑπὸ Δαλμάτου Πατρικίου, ἀνεψιοῦ τοῦ Μ. Κωνσταντίνου, ἀφ' οὗ καὶ τὴν ἐπωνυμίαν ἔλαβεν. Ὡς δὲ ἄλλοι λέγουσιν, ἐπωνομάσθη οὕτως, ἐξότου ὁ Δαλμάτος διεδέχθη ἐν αὐτῇ τὸν Ἰσαάκιον (Αὐγούστ. 3). Πιθανώτερον ὅμως, ὅτι ἔλαβε τὴν ἐπωνυμίαν ταύτην πληθυντικῶς ἐξ ἀμφοτέρων τῶν Δαλμάτων — Τὴν μονὴν ταύτην ὁ Κοπρώνυμος ἐποίησεν ὕστερον

στρατῶνα, κατὰ τὸν Ζωναρᾶν· "Καὶ τὴν τοῦ Δαλμάτου δὲ λεγομένην μονὴν, ἀρχαίαν οὖσαν, καὶ τῶν ἐν Κωνσταντινουπόλει πρεσβυτέραν πασῶν, ἀφ' ἧς ἀπελάσας τοὺς μοναχοὺς, στρατιωτῶν αὐτὴν πεποίηκε καταγώγιον„ (Χρονικ. ΙΕ'. ἡ.).

✠ 31. Τοῦ ἁγίου Μάρτυρος Ἑρμείου. Ἀλληλούϊα.

## ΜΗΝ ΙΟΥΝΙΟΣ.

Ἔχων ἡμέρας 30. Ἡ ἡμέρα ἔχει ὥρας 15, καὶ ἡ νὺξ ὥρας 9.

✠ 1. Τοῦ ἁγίου Μάρτυρος Ἰουστίνου τοῦ Φιλοσόφου.

Ὑπῆρχεν ἐκ Νεαπόλεως τῆς ἐν Παλαιστίνῃ, φιλόσοφος Πλατωνικός· προσῆλθεν εἰς τὴν πίστιν τοῦ Χριστοῦ διὰ τοὺς διωγμοὺς, οὓς ἔβλεπε τοὺς Χριστιανοὺς ὑπομένοντας· ἀπελθὼν εἰς Ῥώμην, ἔδωκεν εἰς Μάρκον τὸν Αὐρήλιον ἔγγραφον ἀπολογίαν, δι' ἧς ἀπέδειξε τὴν ἀθωότητα καὶ ἁγιότητα τῆς Χριστιανικῆς πίστεως· ἐτελεύτησε μαρτυρικῶς τῷ 167 ἔτει.

Ἀλληλούϊα.

✠ 2. Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Νικηφόρου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τοῦ ὁμολογητοῦ.

Διεδέχθη τὸν Ταράσιον τῷ 806, ἀντέστη γενναίως, διὰ τὴν τῶν ἁγίων Εἰκόνων τιμὴν, εἰς τὸ πρόσταγμα Λέοντος τοῦ Ἀρμενίου· ὑφ' οὗ ἐξορισθεὶς ἔν τινι μοναστηρίῳ, ἐτελεύτησε τῷ 827, ἐτῶν 70.

Ἀπολυτίκιον, Ἦχος δ'.

Κανόνα πίστεως, καὶ εἰκόνα πραότητος, ἐγκρατείας διδάσκαλον, ἀνέδειξέ σε τῇ ποίμνῃ σου, ἡ τῶν πραγμάτων ἀλήθεια· διὰ τοῦτο ἐκτήσω τῇ ταπεινώσει τὰ ὑψηλὰ, τῇ πτωχείᾳ τὰ πλούσια. Πάτερ Ἱεράρχα Νικηφόρε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Τὸν τῆς νίκης στέφανον, ὦ Νικηφόρε, οὐρανόθεν ἔνδοξε, ὡς εἰληφὼς παρὰ Θεοῦ, σῶζε τοὺς πίστει τιμῶντάς σε, ὡς Ἱεράρχην Χριστοῦ, καὶ διδάσκαλον.

✠ 3. Τοῦ ἁγίου Μάρτυρος Λουκιλλιανοῦ. Ἀλληλούϊα.

✠ 4. Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Μητροφάνους, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.

ΑΠΟΣΤΕΓΗ ΒΙΒΛΙΟΘΗΚΕΣ
Απόσπα Κεντρική Βιβλιοθήκη Λιξουρίου - Μουσείο Παλαιών Ιακωβιτών

Ἐτέθη εἰς τὸν θρόνον τῷ 320. ἀπέστειλε τοποτηρητὴν ἑαυτοῦ εἰς τὴν Α'. Οἰκουμενικὴν Σύνοδον· ἐτελεύτησε τῷ 330. Κατ' ἄλλους δέ, γενόμενος ὁμολογητὴς ἐπὶ Διοκλητιανοῦ, ἐτελεύτησε τῷ 312 ἔτει. Ἰστέον δὲ, ὅτι οἱ Τριαδικοὶ τῆς Ὀκτωήχου Κανόνες οὐκ εἰσὶ τοῦ Μητροφάνους τούτου ποίημα, ἀλλ' ἑτέρου ὁμωνύμου, ἐπισκόπου Σμύρνης χρηματίσαντος, περὶ τὰ μέσα τοῦ Θ'. αἰῶνος.

Ἀπολυτίκιον, Ἦχος δ'.

Κανόνα πίστεως. Ὅρα ἀνωτέρω.

Κοντάκιον, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τὴν πίστιν Χριστοῦ, τρανῶς σὺ ἐδογμάτισας, καὶ ταύτην τηρῶν, εἰς πλῆθος ὄντως ηὔξησας, τὸ πιστόν σου ποίμνιον· σὺν Ἀγγέλοις ὅθεν Μητρόφανες, συναγάλλῃ νῦν, καὶ Χριστῷ πρεσβεύεις ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

✠ 5. Τοῦ ἁγίου Ἱερομάρτυρος Δωροθέου ἐπισκόπου Τύρου.

✠ 6. Τοῦ ὁσίου Πατρὸς ἡμῶν Ἱλαρίωνος τοῦ Νέου, ἡγουμένου τῆς Μονῆς τῶν Δαλμάτων.

✠ 7. Τοῦ ἁγίου Ἱερομάρτυρος Θεοδότου, ἐπισκόπου Ἀγκύρας.

✠ 8. Ἡ Ἀνακομιδὴ τοῦ Λειψάνου τοῦ ἁγίου Μεγαλομάρτυρος Θεοδώρου τοῦ Στρατηλάτου. Ὅρα Φεβρ. 8.

Κατάλυσις οἴνου καὶ ἐλαίου.

Ἀπολυτίκιον, Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Στρατολογίᾳ ἀληθεῖ ἀθλοφόρε, τοῦ οὐρανίου στρατηγοῦ Βασιλέως, περικαλλὴς γεγένησαι Θεόδωρε· ὅπλοις γὰρ τῆς πίστεως, παρετάξω ἐμφρόνως, καὶ κατεξωλόθρευσας τῶν δαιμόνων τὰ στίφη, καὶ νικηφόρος ὤφθης ἀθλητής· ὅθεν σε πίστει ἀεὶ μακαρίζομεν.

Κοντάκιον, Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὡς ἀθλητὴς καὶ ἀριστεὺς τοῦ Σωτῆρος, καὶ χορηγὸς τῶν δωρεῶν οὐρανόθεν, ταῖς πρὸς Θεὸν πρεσβείαις σου προφθάνεις ἀεί, πάντας τοὺς προσφεύγοντας, τῷ ναῷ σου τῷ θείῳ, καὶ πιστῶς προστρέχοντας, τῇ ἁγίᾳ σου σκέπῃ. Διὸ βοῶμεν· Λύτρωσαι ἡμᾶς, ἐκ τῶν κινδύνων παμμάκαρ Θεόδωρε.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

✠ 9. Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Κυρίλλου, ἀρχιεπισκόπου Ἀλεξανδρείας.

Σήμερον ἑορτάζεται κυρίως ἡ μνήμη τῆς κοιμήσεως αὐτοῦ· τῇ δὲ 18 Ἰανουαρίου. ἡ ἀπὸ τῆς Ἀλεξανδρείας φυγὴ αὐτοῦ, ὡς πρόξενος ἀγαθῶν εἰς τὴν Ἐκκλησίαν· καθότι συγκροτηθεῖσα δι' αὐτῆς ἡ ἐν Ἐφέσῳ Σύνοδος, ἐξωστράκισε τὸ βλάσφημον τοῦ Νεστορίου δόγμα. Ὥρα Ἰανουαρίου 18.

Σημείωσαι, ὅτι ἀπὸ ταύτης τῆς ἡμέρας, καθ' ἣν γίνεται τὸ θερινὸν ἡλιοστάσιον, ἄρχεται ὁ Ἥλιος στρέφεσθαι πάλιν πρὸς τὰ νότια μέρη, καὶ αὐξάνειν μὲν τὰς νύκτας εἰς ἡμᾶς, σμικρύνειν δὲ τὰς ἡμέρας.

Ἀπολυτίκιον, Ἦχος πλ. δ'.

Ὀρθοδοξίας ὁδήγησε, εὐσεβείας διδάσκαλε καὶ σεμνότητος, τῆς οἰκουμένης ὁ φωστήρ, ἀρχιερέων θεόπνευστον ἐγκαλλώπισμα, Κύριλλε σοφέ, ταῖς διδαχαῖς σου πάντας ἐφώτισας, λύρα τοῦ Πνεύματος. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τὰς τῶν αἱρέσεων πλοκὰς διαῤῥήξας, ἐν τῇ δυνάμει τοῦ Χριστοῦ θείοις λόγοις, τὴν Ἐκκλησίαν Κύριλλε ἐπλούτισας, πάντα τὰ ζιζάνια, Νεστορίου ἐκκόψας· ὅθεν καὶ παρίστασαι, σὺν Ἀγγέλων χορείαις, Χριστῷ πρεσβεύων μάκαρ ἐκτενῶς, πᾶσι πταισμάτων δωρήσασθαι ἄφεσιν.

✠ 10. Τῶν ἁγίων Μαρτύρων Ἀλεξάνδρα, καὶ Ἀντωνίνης.

✠ 11. Τῶν ἁγίων Ἀποστόλων Βαρθολομαίου, καὶ Βαρνάβα.

Ὁ μὲν Βαρθολομαῖος ἦν ἐκ τοῦ ἀριθμοῦ τῶν Δώδεκα, Γαλιλαῖος τὴν πατρίδα· καὶ ταῦτα μόνα βέβαια περὶ αὐτοῦ, ὡς ἐκ τῆς εὐαγγελικῆς ἱστορίας. Περὶ δὲ τοῦ ἔργου τῆς ἀποστολῆς αὐτοῦ λέγουσι πάντες, ὅτι ἐκήρυξεν εἰς τὴν Ἀραβίαν, καὶ Περσίαν, καὶ πρὸ πάντων εἰς τοὺς Ἰνδούς, φέρων εἰς αὐτοὺς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον, Ἑβραϊστὶ γεγραμμένον, ὅπερ, μετὰ 100 ἔτη, εὗρεν ἐκεῖ ὁ Πάνταινος, φιλόσοφος Στωϊκὸς, καὶ περίφημος τῆς ἐν Ἀλεξανδρείᾳ χριστιανικῆς σχολῆς διδάσκαλος (Εὐσέβ. Ἐκκλ. Ἱστορ. Ε'. 10). Ἐτελεύτησε δὲ, κατὰ τὴν κοινοτέραν γνώμην, σταυρωθεὶς, ἢ ζῶν ἐκδαρείς· τὸ σῶμα ἐν Ἀλβανοπόλει τῆς Ἀρμενίας, ὅπερ φαίνεται βεβαιοῦσα καὶ ἡ ἀρχαία τῶν Ἀρμενίων παράδοσις — Τινὲς νομίζουσιν, ὅτι Βαρ-

ΜΟΣΙΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Θολομαῖος καὶ Ναθαναὴλ ἐστὶν εἷς καὶ ὁ αὐτός· διότι, λέγουσιν, οὐδαμοῦ φαίνεται ἡ τοῦ Βαρθολομαίου κλῆσις, ἐνῷ σημειοῦται ἡ τοῦ Ναθαναὴλ (Ἰωάν. ά. 46-52). Ὅτι οἱ περὶ τοῦ Βαρθολομαίου λαλοῦντες Εὐαγγελισταὶ ἀποσιωπῶσι τὸν Ναθαναήλ· ὁ δὲ Ἰωάννης, ὅς τις μάνος ἀναφέρει αὐτὸν, οὐδὲν περὶ Βαρθολομαίου λέγει. Ὅτι τὸ Βαρ-θολομαῖος, οὐκ ἔστιν ὄνομα κύριον, ἀλλὰ πατρωνυμικὸν, σημαῖνον Υἱὸν Θολομαίου, ὅπερ, ἑρμηνευόμενον εἰς τὸ ἀναρτῶν, ἢ ἀναχαιτίζων ὕδατα, ἐμορφώθη πάντως εἰς τύπον. Ἑλληνικὸν ἐκ τοῦ Ἑβραϊκοῦ Θολαμὶ, ἢ Θολμάι (Ἰησ. ιέ. 14 Β'. Βασ. γ'. 3). Σημαίνει ἔν τὸ Βαρθολομαῖος Υἱὸν Θολομαίου, ἢ Πτολομαίου, (ἐπειδὴ εὑρίσκεταί που καὶ Βαρ-πτολομαίου γραφόμενον), ὡς καὶ τὸ Βαρ-τίμαιος, Υἱὸς Τιμαίου (Μάρκ. ί. 46)· καὶ ἑπομένως ἠδύνατο ἔχειν τοῦτο μὲν ὡς ἐπίθετον, ὡς κύριον δὲ τὸ Ναθαναήλ. Τελευταῖον, ὅτι ὁ Ἰωάννης φαίνεται συναριθμῶν τὸν Ναθαναὴλ μετὰ τῶν Ἀποστόλων, ἔνθα λέγει: Ἦσαν ὁμοῦ Σίμων Πέτρος, καὶ Θωμᾶς ὁ λεγόμενος Δίδυμος, καὶ Ναθαναὴλ ὁ ἀπὸ Κανᾶ τῆς Γαλιλαίας, κτλ. (κά. 2).

Ὁ δὲ Βαρνάβας ὑπῆρχεν ἐκ τῶν Ἑβδομήκοντα, Κύπριος τὴν πατρίδα, Λευίτης τὴν φυλὴν, συμμαθητὴς τοῦ Παύλου ὑπὸ τὸν Γαμαλιὴλ, Ἰωσῆς καλούμενος πρότερον· ὕστερον δὲ μετωνομάσθη Βαρνάβας, ὅπερ μεθερμηνεύεται εἰς τὸ, Υἱὸς παρακλήσεως, πρὸς ἀντιδιαστολὴν ἴσως τοῦ ἄλλου Ἰωσῆ, τοῦ καλουμένου Βαρσαβᾶ, καὶ ἐπικληθέντος Ἰούστου. Οὗτος ὁ Βαρνάβας ἔχων ἀγρὸν, ἐπώλησεν αὐτὸν, καὶ ἤνεγκε τὰ χρήματα εἰς τοὺς Ἀποστόλους (Πράξ. ά. 23. καὶ δ'. 36-37). Κηρύξας δὲ τὸ Εὐαγγέλιον πολλαχοῦ, καὶ μετὰ τοῦ Παύλου συνοδοιπορῶν καὶ καταμόνας, τελευταῖον ὑπέστη τὸν μαρτυρικὸν θάνατον, λιθοβοληθεὶς ὑπὸ τῶν Ἰουδαίων ἐν τῇ πατρίδι αὐτοῦ, μετὰ τὸ 51 ἔτος. Ἐπὶ δὲ τῆς βασιλείας Ζήνωνος, τῷ 488 ἔτει, εὑρέθη τὸ ἱερὸν τούτου λείψανον, ἔχον ἐπὶ τοῦ στήθους τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον, Ἑλληνιστὶ γεγραμμένον ὑπὸ τῆς ἰδίας τοῦ Βαρνάβα χειρὸς, καὶ προσηνέχθη τῷ Ζήνωνι. Ἐκ τούτου ἔλαβε προνόμιον ὁ Ἀρχιεπίσκοπος τῆς Κύπρου, ἵνα ὑπάρχῃ αὐτοκέφαλος, καὶ ὑπογράφηται διὰ κοκκίνων γραμμάτων.

## Κατάλυσις οἴνου καὶ ἐλαίου.

### Ἀπολυτίκιον, Ἦχος γ'.

Ἀπόστολοι ἅγιοι, πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

### Κοντάκιον τοῦ Βαρθολομαίου, Ἦχος δ'.

Ἐπεφάνης σήμερον.

Ὤφθης μέγας ἥλιος, τῇ οἰκουμένῃ, διδαγμάτων λάμψεσι, καὶ θαυμασίων φοβερῶν, φωταγωγῶν τοὺς τιμῶντάς σε, Βαρθολομαῖε Κυρίου Ἀπόστολε.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημοσία Κεντρική Βιβλιοθήκη Λιβαδειάς
Μουσείο Τοπικής Ιστορίας

Ἕτερον τοῦ Βαρνάβα, Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Τοῦ Κυρίου γέγονας, παναληθὴς ὑπηρέτης, Ἀποστόλων ὤφθης τε, τῶν Ἑβδομήκοντα πρῶτος· ηὔγασας, καὶ σὺ τῷ Παύλῳ τὸ κήρυγμά σου, ἅπασι καταμηνύων Χριστὸν Σωτῆρα· διὰ τοῦτο ὑμνῳδίαις, τὴν θείαν μνήμην, Βαρνάβα τελοῦμέν σου.

✠ 12. Τῶν ὁσίων Πατέρων ἡμῶν Ὀνουφρίου, καὶ Πέτρου τοῦ ἐν τῷ Ἄθῳ.

Ἀπολυτίκιον, Ἦχος ά. Τοῦ λίθου σφραγισθέντος.

Τῆς ἐρήμου πολίτης, καὶ ἐν σώματι ἄγγελος, καὶ θαυματουργὸς ἀνεδείχθης, θεοφόρε Πατὴρ ἡμῶν Ὀνούφριε· νηστείᾳ, ἀγρυπνίᾳ προσευχῇ, οὐράνια χαρίσματα λαβών, θεραπεύεις τοὺς νοσοῦντας, καὶ τὰς ψυχὰς τῶν πίστει προστρεχόντων σοι. Δόξα τῷ δεδωκότι σοι ἰσχύν· δόξα τῷ σὲ στεφανώσαντι· δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Ἕτερον κοινόν. Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν. Σελ. 275.

Κοντάκιον. Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Ἀστὴρ φαεινὸς, ἐδείχθης τοῖς μονάζουσιν, ὡς φέγγος νυκτὶ, αὐγάζεις ἐν τοῖς πέρασιν· οὕτω Πάτερ ἔλαμψας ἐν ἀσκήσει, καθάπερ ἥλιος· διὰ τοῦτο Ὀνούφριε, μὴ παύσῃ πρεσβεύων ὑπὲρ πάντων ἡμῶν.

Ἕτερον, Ἦχος πλ. δ'. Πίστιν Χριστοῦ ὡσεὶ θώρακα.

Φῶς νοητὸν καὶ οὐράνιον, Πέτρε λαβὼν ἐν καρδίᾳ σου, τῆς ἀκηράτου Τριάδος δοχεῖον ὤφθης λαμπρότατον, καὶ χάριν τῶν θαυμάτων ἀπείληφας, κραυγάζων: Ἀλληλούϊα.

✠ 13. Τῆς ἁγίας Μάρτυρος Ἀκυλίνης.

Ἠθλησεν ἐν ἔτει 298, ἐπὶ Διοκλητιανοῦ.

Ἀπολυτίκιον, Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Ἡ ἀμνάς σου Ἰησοῦ, κράζει μεγάλῃ τῇ φωνῇ: Σὲ Νυμφίε μου ποθῶ, καὶ σὲ ζητοῦσα ἀθλῶ, καὶ συσταυροῦμαι καὶ συνθάπτομαι τῷ βαπτισμῷ σε, καὶ πάσχω διὰ σὲ, ὡς βασιλεύσω σὺν σοί· καὶ θνήσκω

ὑπὲρ σοῦ, ἵνα καὶ ζήσω ἐν σοί· ἀλλ' ὡς θυσίαν ἄμωμον, προσδέχου τὴν μετὰ πόθου τυθεῖσάν σοι. Αὐτῆς πρεσβείαις, ὡς ἐλεήμων, σῶσον τὰς ψυχὰς ἡμῶν.

✠ 14. Τοῦ ἁγίου Προφήτου Ἐλισσαίου· καὶ τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Μεθοδίου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τοῦ ὁμολογητοῦ.

Ὁ μὲν Προφήτης ἦν υἱὸς Σαφάτ, ἐκ πόλεως Ἀβελ-Μεουλ, ἢ Ἀβελ-Νεουλ, ἐκ γῆς Μανασσῆ, γεωργὸς τὸ ἐπάγγελμα πρότερον. Τῷ δὲ 908 πρὸ Χριστοῦ, λαβὼν προσταγὴν παρὰ Θεοῦ ὁ Προφήτης Ἠλίας, ἔχρισεν αὐτὸν ἀντὶ ἑαυτοῦ εἰς Προφήτην, ἡνίκα ἠροτρία (ἀροτρία γρ.) τὴν γῆν, ἔχων ζεύγη βοῶν δώδεκα, ἅπερ σφάξας εὐθὺς, καὶ διὰ τῶν ἀρότρων καὶ λοιπῶν γεωργικῶν ξύλων ἑψήσας (βράσας), ἔδωκεν εἰς τροφὴν τῷ λαῷ· αὐτὸς δὲ τοὺς γονεῖς ἀσπασάμενος, καὶ ἀκολουθήσας τῷ Ἠλίᾳ, ὑπηρέτει αὐτῷ ἕως τῆς ἀναλήψεως αὐτοῦ ὡς εἰς τὸν οὐρανόν (Ἰουλίου 20)· ὅτε λαβὼν τοῦ διδασκάλου τὴν μηλωτὴν, καὶ τοῦ προφητικοῦ ἐκείνου Πνεύματος διπλασίαν τὴν χάριν, ἔδειξε διὰ τῶν θαυμασίων ἔργων, ὅσα ἡ Δ'. βίβλος τῶν Βασιλειῶν διηγεῖται περὶ αὐτοῦ, τίνος ἦν μαθητής· καὶ ζήσας μέχρι τοῦ 839 πρὸ Χριστοῦ, ἐτελεύτησε πλήρης ἡμερῶν, καὶ ἐτάφη ἐν Σαμαρείᾳ. Ἀλλὰ καὶ μετὰ θάνατον ἐδόξασεν αὐτὸν ὁ Θεός· καθότι μετὰ παρέλευσιν ἐνιαυτοῦ, ἐνφέροντες τινὲς νεκρὸν εἰς ταφὴν, εἶτα λῃστὰς Μωαβιτῶν αἰφνιδίως ἰδόντες, ἔρριψαν αὐτὸν εἰς τὸν τάφον τοῦ Προφήτου, καὶ ἔφυγον· ὁ δὲ νεκρὸς, μόλις ἐγγίσας εἰς τὰ ὀστᾶ αὐτοῦ, ἀνέζησεν εὐθὺς, καὶ ἔστη ἐπὶ τῶν ποδῶν αὐτοῦ (Δ'. Βασιλ. ιγ'. 20-21). Τοῦτο ἀναφέρων καὶ ὁ Σειρὰχ λέγει: Ἐν τῇ ζωῇ αὐτοῦ ἐποίησε τέρατα, καὶ ἐν τελευτῇ θαυμάσια τὰ ἔργα αὐτοῦ (μή. 14.). Ἐκ τούτων ἐπαυξάνει μᾶλλον τὸ σέβας τῶν πιστῶν εἰς τὰ τῶν Ἁγίων λείψανα, καὶ δικαιοῦται τὸ εὐσεβὲς περὶ τούτων φρόνημα τῆς ὀρθοδόξου Ἐκκλησίας (Ἰανουαρ. 16.) — Ὁ δὲ Μεθόδιος ἐγεννήθη ἐν Συρακούσαις τῆς Σικελίας περὶ τὰ τέλη τοῦ Η'. αἰῶνος. Πρεσβύτερος ὢν, ἀπεστάλη πρέσβις εἰς Ῥώμην ὑπὲρ Νικηφόρου τοῦ Κωνσταντινουπόλεως, ἐξορισθέντος ὑπὸ Λέοντος τοῦ Ἀρμενίου (Ἰουνίου 2). Μετὰ τὸν θάνατον τούτου, ἐπανῆλθεν εἰς Κωνσταντινούπολιν· ἀλλ' ὡς ζηλωτὴς τῆς τῶν ἁγίων Εἰκόνων τιμῆς, ἐξωρίσθη ἀμέσως εἰς τὸ φρούριον τοῦ κατὰ τὴν Βιθυνίαν Ἀκρίτα ὑπὸ Μιχαὴλ τοῦ Τραυλοῦ. Ἀποθανόντος καὶ τούτου, ἐλευθερωθεὶς πρὸς ὀλίγον, ἐκλείσθη πάλιν ὑπὸ τοῦ Θεοφίλου, διὰ τὸν αὐτὸν ζῆλον, εἰς σκοτεινοτάτην φυλακὴν, ὡς εἰς τάφον, ὅπου ἐτρέφετο ὑπό τινος πτωχοῦ ἁλιέως (ψαρᾶ). Τελευταῖον, ἀναλαβούσης τῆς Ἐκκλησίας τὴν ἑαυτῆς ἐλευθερίαν, ἐπὶ Θεοδώρας τῆς βασιλίσσης, ἐξάγεται καὶ οὗτος ἐκ τοῦ τάφου, καὶ ἀναβιβάζεται εἰς τὸν ἀρχιεπισκοπικὸν τῆς Κωνσταντινουπόλεως θρόνον, τῷ 842 ἔτει· ὃν

καὶ κυβερνήσας 4 ἔτη, ἐτελεύτησε τῷ 846. Οὗτος ἐνήργησε τὴν ἀνασήλωσιν τῶν ἁγίων Εἰκόνων· εἰς τοῦτον ἀποδίδοται, μετά τινων ἄλλων συγγραμμάτων, καὶ ἡ βιογραφία Διονυσίου τοῦ Ἀρεοπαγίτου, ἐκ Ῥώμης κομίσαντα αὐτήν.

Ἀπολυτ. τοῦ Προφήτου, Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ὁ ἔνσαρκος ἄγγελος, τῶν Προφητῶν ἡ κρηπὶς, ὁ δεύτερος πρόδρομος, τῆς παρουσίας Χριστοῦ, Ἠλίας ὁ ἔνδοξος, ἄνωθεν καταπέμψας, Ἐλισσαίῳ τὴν χάριν, νόσους ἀποδιώκει, καὶ λεπροὺς καθαρίζει· διὸ καὶ τοῖς τιμῶσιν αὐτὸν βρύει ἰάματα.

Τοῦ Ἱεράρχου, Ἦχος ὁ αὐτός.

Κανόνα πίστεως, καὶ εἰκόνα πραότητος, ἐγκρατείας διδάσκαλον, ἀνέδειξέ σε τῇ ποίμνῃ σου, ἡ τῶν πραγμάτων ἀλήθεια· διὰ τοῦτο ἐκτήσω τῇ ταπεινώσει τὰ ὑψηλὰ, τῇ πτωχείᾳ τὰ πλούσια. Πάτερ Ἱεράρχα Μεθόδιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον τοῦ Προφήτου, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Προφήτης Θεοῦ, ἐδείχθης διπλασίονα, τὴν χάριν λαβὼν, τὴν ὄντως ἐπαξίαν σοι, Ἐλισσαῖε μακάριε. Ἠλιοῦ γὰρ γέγονας σύσκηνος, σὺν αὐτῷ Χριστῷ τῷ Θεῷ, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

Τοῦ Ἱεράρχου, Ἦχος ὁ αὐτός. Τοὺς ἀσφαλεῖς.

Ἐπὶ τῆς γῆς ἠγωνίσω ὡς ἄσαρκος, καὶ οὐρανοὺς ἐκλήρωσω Μεθόδιε, ὡς τρανώσας ἐν τοῖς πέρασι, τὴν τῶν Εἰκόνων προσκύνησιν· ἐν πόνοις γὰρ καὶ μόχθοις περισσοτέρως διάγων, οὐκ ἐπαύσω ἐν παῤῥησίᾳ ἐλέγχων, ἀθετοῦντας τὴν Εἰκόνα Χριστοῦ.

✠ 15. Τοῦ ἁγίου Προφήτου Ἀμώς.

Οὗτος ἦν ἐκ πόλεως Θεκουέ, ἐκ γῆς Ζαβουλὼν, ἄνθρωπος ἰδιώτης, αἰγῶν καὶ προβάτων ποιμὴν πρότερον, ὡς αὐτὸς περὶ ἑαυτοῦ μαρτυρεῖ (Ἀμ. ζ'. 14-15). Ἤρξατο δὲ προφητεύειν δύο ἔτη πρὸ τοῦ σεισμοῦ ἐκείνου (αὐτ. ά. 1), ὃν τάττουσιν οἱ κριτικοὶ τῷ 25 ἔτει τῆς βασιλείας Ὀζίου, βασιλέως Ἰούδα, περὶ τὰ 785 πρὸ Χριστοῦ. Ὕστερον δὲ ὁ ψευδοϊερεὺς τῆς Βαιθὴλ Ἀμασίας ἐνήργησε τὸν θάνατον αὐτῷ. Ἡ προφητεία αὐτῷ, εἰς 9 κεφάλαια διῃρημένη, τάττεται ἡ τρίτη τῶν Ἐλασσόνων Προφητῶν. Ἕτερος δέ ἐστιν ὁ Ἀμὼς οὗτος παρὰ τὸν πατέρα τοῦ Προφήτου Ἡσαΐου, Ἀμὼς καὶ ἐκεῖνον καλούμενον.

Ἀλληλουϊα.

✠ 16. Τοῦ ἁγίου Πατρὸς ἡμῶν Τύχωνος, ἐπισκόπου Ἀμαθοῦντος τῆς Κύπρου.

Ἀπολυτίκιον, Ἦχος ά. Τοῦ λίθου σφραγισθέντος.

Τῆς ἐρήμου πολίτης, καὶ ἐν σώματι ἄγγελος, καὶ θαυματουργὸς ἀνεδείχθης θεοφόρε Πατὴρ ἡμῶν Τύχων· νηστείᾳ, ἀγρυπνίᾳ, προσευχῇ, οὐράνια χαρίσματα λαβών, θεραπεύεις τοὺς νοσοῦντας, καὶ τὰς ψυχὰς τῶν πίστει προστρεχόντων σοι. Δόξα τῷ δεδωκότι σοι ἰσχύν· δόξα τῷ σὲ στεφανώσαντι· δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Κοντάκιον, Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Ἐν ἀσκήσει ἄγιε, θεοφιλεῖ διαπρέψας, Παρακλήτου δύναμιν, ἐξ ὕψους καθυπεδέξω, ξόανα καθαιρεῖν πλάνης, λαοὺς δὲ σώζειν, δαίμονας ἀποδιώκειν, νόσους ἰᾶσθαι· διὰ τοῦτό σε τιμῶμεν, ὡς Θεοῦ φίλον Τύχων μακάριε.

✠ 17. Τοῦ ἁγίου Μάρτυρος Ἰσαύρου, καὶ τῶν σὺν αὐτῷ· καὶ τῶν ἁγίων Μαρτύρων Μανσὴλ, Σαβὲλ, καὶ Ἰσμαήλ.

Ἦσαν Πέρσαι τὸ γένος, ἀδελφοὶ κατὰ σάρκα, στρατιωτικοὶ τὴν τάξιν· ἦθλησαν δὲ ἐπὶ Ἰουλιανοῦ τοῦ Παραβάτου, τῷ 363 ἔτει.

Ἀπολυτίκιον. Οἱ Μάρτυρές σου Κύριε. Σελ. 301.

Κοντάκιον, Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Τῇ πίστει Χριστοῦ, τρωθέντες παμμακάριστοι, καὶ τούτου πιστῶς, πιόντες τὸ ποτήριον, τὰ Περσῶν σεβάσματα, καὶ τὸ θράσος εἰς γῆν κατεβάλετε, τῆς Τριάδος ἰσάριθμοι, πρεσβείας ποιοῦντες ὑπὲρ πάντων ἡμῶν.

✠ 18. Τοῦ ἁγίου Μάρτυρος Λεοντίου.

Ἦθλησεν ἐπὶ Οὐεσπεσιανοῦ, περὶ τὸ 73 ἔτος.

Ἀπολυτίκιον: Ὁ Μάρτυς σου Κύριε. Σελ. 272.

Κοντάκιον, Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Τῶν τυράννων ἤσχυνας, τὰς πονηρὰς ἐπινοίας, καὶ Ἑλλήνων ἤλεγξας, τὸ ἀθεώτατον σέβας, ἔλαμψας θεογνωσίαν πᾶσιν ἀνθρώποις, δόγμασι τῆς εὐσεβείας θεόφρον Μάρτυς· διὰ τοῦτό σου τὴν μνήμην, τιμῶμεν πόθῳ, σοφὲ Λεόντιε.

ΔΗΜΟΣΙΕΥΣΕΙΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ἀρμόζει Κοντάκιον Βιβλιοθήκη Ἀρμόζει
Μουσεῖο Τυπικῶν Βιβλίων

✠ 19. Τοῦ ἁγίου Ἀποστόλου Ἰούδα.

Ὑπῆρχεν ἐκ τοῦ χοροῦ τῶν Δώδεκα, καλούμενος ὑπὸ μὲν τοῦ Λουκᾶ (ς'. 16. καὶ Πράξ. ά. 13), Ἰούδας Ἰακώβου· ὅ ἐστιν, ἀδελφὸς Ἰακώβου τοῦ Ἀδελφοθέου, ἑπομένως καὶ τοῦ Κυρίου συγγενὴς, κατὰ τὸ ἀνθρώπινον. Ὑπὸ δὲ τοῦ Ματθαίου (ί. 3), Λεββαῖος, ὁ ἐπικληθεὶς (λέγει) Θαδδαῖος, ἕτερος παρὰ τὸν ἐκ τοῦ ἀριθμοῦ τῶν Ἑβδομήκοντα ὄντα Θαδδαῖον, τὸν ἰασάμενον τὸ πάθος Ἀβγάρου, ἢ Ἀγβάρου, κατὰ τὸν Εὐσέβιον (Ἱστορ. Ἐκκλ. ά. 13). Οὗτος δὲ κηρύξας εἰς τὴν Μεσοποταμίαν, Ἀραβίαν, Ἰδουμαίαν, καὶ Συρίαν, ἐτέλεσε μαρτυρικῶς τῆς ἀποστολῆς αὐτοῦ τὸν δρόμον ἐν Βηρυτῷ, ὡς λέγουσι, περὶ τὸ 80 ἔτος. Τούτου ἐστὶν ἡ τελευταία τῶν Καθολικῶν Ἐπιστολῶν, πρὸς τοὺς ἐν τῇ διασπορᾷ ὄντας πιστοὺς Ἰουδαίους γεγραμμένη, μετὰ τὴν τῆς Ἱερουσαλὴμ ἅλωσιν ὑπὸ τοῦ Οὐεσπεσιανοῦ.

Ἀπολυτίκιον, Ἦχος ά. Τὸν τάφον σου Σωτήρ.

Χριστοῦ σε συγγενῆ, ὦ Ἰούδα εἰδότες, καὶ Μάρτυρα στερρὸν, ἱερῶς εὐφημοῦμεν, τὴν πλάνην πατήσαντα, καὶ τὴν πίστιν τηρήσαντα· ὅθεν σήμερον, τὴν παναγίαν σου μνήμην, ἑορτάζοντες, ἁμαρτημάτων τὴν λύσιν, εὐχαῖς σου λαμβάνομεν.

Κοντάκιον, Ἦχος α. Χωρὸς ἀγγελικός.

Ἐκ ῥίζης εὐκλεοῦς, θεοδώρητον κλῆμα, ἀνέτειλας ἡμῖν, τοῦ Κυρίου αὐτόπτα, Ἀπόστολε Θεάδελφε, τοῦ Χριστοῦ κήρυξ πάνσοφε, τρέφων ἅπαντα, κόσμον καρποῖς σου τῶν λόγων, τὴν ὀρθόδοξον, πίστιν Κυρίου παμμάκαρ, καὶ μύστα τῆς χάριτος.

✠ 20. Τοῦ ἁγίου Ἱερομάρτυρος Μεθοδίου, ἐπισκόπου Πατάρων.

Οὗτος, διὰ τὴν ἑαυτοῦ σοφίαν καὶ ἀρετὴν, ἐτωνομάζετο Εὔβουλος· γενόμενος δὲ ἐπίσκοπος τῶν ἐν Λυκίᾳ Πατάρων, προεβιβάσθη ἔπειτα εἰς τὸν τῆς Τύρου θρόνον, ὅπου καὶ ὑπέμεινεν ἐνδόξως τὸν μαρτυρικὸν θάνατον ἐν Χαλκίδι τῆς Κοιλο-Συρίας, τῷ 311 ἔτει ἐπὶ Διοκλητιανοῦ. Ἐκ τῶν σωζομένων αὐτοῦ συγγραμμάτων ἐστὶ καὶ τὸ ἐπιγραφόμενον: Συμπόσιον Παρθένων.

✠ 21. Τοῦ ἁγίου Μάρτυρος Ἰουλιανοῦ τοῦ Ταρσέως.

✠ 22. Τοῦ ἁγίου Ἱερομάρτυρος Εὐσεβίου, ἐπισκόπου Σαμωσάτων.

✠ 23. Τῆς ἁγίας Μάρτυρος Ἀγριππίνης.

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

✠ 24. Τὸ Γενέθλιον τοῦ τιμίου ἐνδόξου Προφήτου Προδρόμου, καὶ Βαπτιστοῦ Ἰωάννου.

Τοῦτον τὸν ἐν γεννητοῖς γυναικῶν μείζονα, καὶ θεομαρτύρητον Προφήτην, ἁπάντων τῶν Προφητῶν ὑπέρτερον (Ματθ. ιά. 9-11), γεννήσασα ἡ γηραιὰ καὶ στεῖρα Ἐλισάβετ, μετὰ τὴν συμπλήρωσιν τῆς κυοφορίας αὐτῆς, ἐνέπλησε πάντας τοὺς συγγενεῖς καὶ περιοίκους εὐφροσύνης καὶ θαύματος. Ἀλλὰ πολλῷ θαυμαστότερα ἐφάνησαν ἐφεξῆς, κατὰ τὴν ὀγδόην ἡμέραν τῆς περιτομῆς, τὰ Ὀνομαστήρια τοῦ Παιδίου. Οἱ παρόντες ἐκάλουν αὐτό, ἐπὶ τῷ ὀνόματι τοῦ πατρὸς αὐτοῦ, Ζαχαρίαν. Ἡ Μήτηρ, κατὰ θείαν πάντως ἐπίπνοιαν, ἀποκριθεῖσα, εἶπεν: Οὐχί· ἀλλὰ κληθήσεται Ἰωάννης. Ὁ δὲ Πατὴρ, ἐρωτώμενος μὲν περὶ τούτου διὰ νεύματος, μὴ δυνάμενος δὲ λαλῆσαι (Σεπτεμβρ. 23), αἰτήσας πινακίδιον ἔγραψεν: Ἰωάννης ἔσται τὸ ὄνομα αὐτοῦ. Καὶ παραχρῆμα ἀνεῴχθη αὐτοῦ τὸ στόμα, ἐλύθη αὐτοῦ ἡ γλῶσσα τοῦ ἐννεαμηνιαίου δεσμοῦ, καὶ πλησθεὶς Πνεύματος ἁγίου, ᾄδει τὴν Β'. Ὠδὴν τῆς Νέας Διαθήκης, εὐλογῶν τὸν Θεὸν τοῦ Ἰσραὴλ, τὸν πληρώσαντα τὰς πρὸς τοὺς πατέρας αὐτοῦ γενομένας ἐπαγγελίας, τὸν ἐπισκεψάμενον τοὺς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένους, καὶ ἐξαποστείλαντα αὐτοῖς τὸ φῶς τὸ σωτήριον. Προφητεύει δὲ καὶ περὶ τοῦ Παιδίου, ὅτι ἔσται Προφήτης τοῦ Ὑψίστου, καὶ τοῦ Ἰησοῦ Χριστοῦ Πρόδρομος (Λουκ. ά. 57-79). Τὸ δὲ παιδίον Ἰωάννης, ὅπερ δηλοῖ, πλήρης χάριτος, ηὔξανε (λέγει ὁ Εὐαγγελιστὴς) καὶ ἐκραταιοῦτο πνεύματι· καὶ ἦν ἐν ταῖς ἐρήμοις, ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ πρὸς τὸν Ἰσραὴλ (αὐτ. 80).

Ἀργία, καὶ ἰχθύος κατάλυσις.

Ἀπολυτίκιον. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Προφῆτα καὶ Πρόδρομε, τῆς παρουσίας Χριστοῦ, ἀξίως εὐφημῆσαί σε, οὐκ εὐπορούμεν ἡμεῖς, οἱ πόθῳ τιμῶντές σε· στείρωσις γὰρ τεκούσης, καὶ πατρὸς ἀφωνία, λέλυνται τῇ ἐνδόξῳ, καὶ σεπτῇ σου γεννήσει, καὶ σάρκωσις Υἱοῦ τοῦ Θεοῦ, κόσμῳ κηρύττεται.

Κοντάκιον, Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Ἡ πρὶν στεῖρα σήμερον, Χριστοῦ τὸν Πρόδρομον τίκτει, καὶ αὐτὸς τὸ πλήρωμα, πάσης τῆς προφητείας ὅν περ γὰρ, προανεκήρυξαν οἱ προφῆται, τοῦτον δὴ, ἐν Ἰορδάνῃ χειροθετήσας, ἀνεδείχθη Θεοῦ Λόγου, Προφήτης Κήρυξ, ὁμοῦ καὶ Πρόδρομος.

✠ 25. Τῆς ἁγίας Ὁσιομάρτυρος Φεβρωνίας.

Ἠθλησεν ἐπὶ Διοκλητιανοῦ, τῷ 302 ἔτει.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Κεφαλληνιακό Ιστορικό Αρχείο

Ἀπολυτίκιον τοῦ Προδρόμου καὶ τῆς Μάρτυρος.

Ἡ ἀμνάς σου Ἰησοῦ. Σελ. 317.

Κοντάκιον τοῦ Προδρόμου, ὡς ἀνωτέρω.

✠ 26. Τοῦ ὁσίου Πατρὸς ἡμῶν Δαυὶδ τῶ ἐν Θεσσαλονίκη.

Ἀπολυτίκιον, Ἦχος πλ. δ΄.

Ἐν σοὶ Πάτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα· λαβὼν γὰρ τὸν σταυρὸν, ἠκολούθησας τῷ Χριστῷ, καὶ πράττων ἐδίδασκες, ὑπεροράν μὲν σαρκὸς, παρέρχεται γάρ· ἐπιμελεῖσθαι δὲ ψυχῆς, πράγματος ἀθανάτου· διὸ καὶ μετὰ Ἀγγέλων συναγάλλεται, ὅσιε Δαυὶδ τὸ πνεῦμά σου.

✠ 27. Τοῦ ὁσίου Πατρὸς ἡμῶν Σαμψὼν τῶ Ξενοδόχου.

Ἤκμασεν ἐπὶ Ἰουστινιανοῦ τοῦ μεγάλου, ἐν ἔτει 541.

Ἀπολυτίκιον, Ἦχος πλ. δ΄.

Ἐν τῇ ὑπομονῇ σου ἐκτήσω τὸν μισθόν σου Πάτερ ὅσιε, τῶις προσευχαῖς ἀδιαλείπτως ἐγκαρτερήσας, τοὺς πτωχοὺς ἀγαπήσας, καὶ τούτοις ἐπαρκέσας. Ἀλλὰ πρέσβευε Χριστῷ τῷ Θεῷ, Σαμψὼν θεόφρον μακάριε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος πλ. δ΄. Ὡς ἀπαρχὰς τῆς φύσεως.

Ὡς ἰατρὸν πανάριστον, καὶ πρεσβευτὴν εὐπρόσδεκτον, οἱ τῇ σορῷ σου τῇ θείᾳ προστρέχοντες, Σαμψὼν θεόφρον ὅσιε, συνελθόντες σε ὕμνοις, καὶ ψαλμοῖς ἀνυμνοῦμεν, Χριστὸν δοξάζοντες, τὸν τοιαύτην σοι χάριν παρέχοντα τῶν ἰάσεων.

✠ 28. Ἡ Ἀνακομιδὴ τῶν Λειψάνων τῶν ἁγίων καὶ Θαυματουργῶν Ἀναργύρων, Κύρου καὶ Ἰωάννου. Ὅρα Ἰαν. 31.

Ἀπολυτίκιον, Ἦχος πλ. ά.

Τὰ θαύματα τῶν ἁγίων σου Μαρτύρων, τεῖχος ἀκαταμάχητον ἡμῖν δωρησάμενος, Χριστὲ ὁ Θεὸς, τῶις αὐτῶν ἱκεσίαις, βουλὰς ἐθνῶν διασκέδασον, τῆς Βασιλείας τὰ σκῆπτρα κραταίωσον, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Κοντάκιον, Ἦχος β΄. Χειρόγραφον εἰκόνα.

Τὸ μέγα ἰατρεῖον τῆς οἰκουμένης, τὸ ζεῦγος τοῦ Χριστοῦ τὸ πεποθημένον, τοὺς φωστῆρας τοὺς ἐκλάμ-

ΑΝΑΛΥΣΙΣ ΒΙΒΛΙΟΘΗΚΗ

πωντας, ταῖς αὐγαῖς τῶν ἰάσεων, ὑμνήσωμεν πιστοὶ μεγαλοφώνως, ἔνδον τοῦ ναοῦ αὐτῶν βοῶντες: Κῦρος καὶ Ἰωάννης, οἱ χορηγοὶ τῶν θαυμάτων, καὶ ἰατροὶ τῶν νοσούντων, αὐγάζουσι τὰ πέρατα.

## Ϟ 29. Τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων καὶ Πρωτοκορυφαίων, Πέτρου καὶ Παύλου.

Τούτων ὁ μὲν θεομακάριστος Πέτρος ἦν ἐκ Βηθσαϊδὰ τῆς Γαλιλαίας, υἱὸς Ἰωνᾶ, ἀδελφὸς Ἀνδρέου τοῦ Πρωτοκλήτου, ἁλιεὺς τὴν τέχνην, ἰδιώτης καὶ πτωχός, Σίμων καλούμενος τοπρῶτον· εἶτα μετωνομάσθη Πέτρος ὑπ' αὐτοῦ τοῦ Ἰησοῦ, ὅτε, ἐμβλέψας εἰς αὐτὸν, εἶπε: Σὺ εἶ Σίμων, ὁ υἱὸς Ἰωνᾶ· σὺ κληθήσῃ Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος (Ἰωάν. ά. 43). Ὑψωθεὶς δὲ ὑπὸ τοῦ Κυρίου εἰς τὸ ἀποστολικὸν ἀξίωμα, καὶ γενόμενος αὐτοῦ ἀχώριστος καὶ ζηλωτὴς μαθητὴς, ἠκολούθησεν αὐτῷ, ἀπ' ἀρχῆς τοῦ σωτηρίου κηρύγματος ἕως εἰς τὸ πάθος αὐτό, ἔνδον τῆς αὐλῆς τοῦ ἀρχιερέως Καϊάφα· ὅπου ἀρνησάμενος αὐτὸν τρὶς, διὰ τὸν ἐκ τῶν Ἰουδαίων φόβον, καὶ τὸν ἐπιμείμενον κίνδυνον, ἔλαβε πάλιν, διὰ πικροτάτων δακρύων, πληρεστάτην τοῦ οἰκείου παραπτώματος τὴν συγχώρησιν. Μετὰ δὲ τὴν Ἀνάστασιν τοῦ Χριστοῦ, καὶ τὴν τοῦ παναγίου Πνεύματος κάθοδον, κηρύξας, αὐτὸν εἰς τὴν Ἰουδαίαν, τὴν Ἀντιόχειαν, καί τινα τῆς Ἀσίας μέρη, κατήντησε τελευταῖον εἰς Ῥώμην· ἐν ᾗ σταυρωθεὶς ὑπὸ Νέρωνος, κάτω μὲν τὴν κεφαλὴν, τοὺς δὲ πόδας ἄνω, ἀνῆλθεν εἰς τὰς αἰωνίους μονὰς, τῷ 66, ἢ 68 ἔτει, καταλιπὼν εἰς τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν καὶ δύο Καθολικὰς Ἐπιστολάς.

Ὁ δὲ θεσπέσιος Παῦλος, τὸ Σκεῦος τῆς ἐκλογῆς τοῦ Χριστοῦ, ἡ δόξα τῆς Ἐκκλησίας, ὁ Ἀπόστολος τῶν ἐθνῶν, καὶ τοῦ κόσμου παντὸς ὁ διδάσκαλος, ὑπῆρχεν Ἰουδαῖος τὸ γένος, Βενιαμίτης τὴν φυλὴν, Ταρσεὺς τὴν πατρίδα, πολίτης Ῥωμαῖος τὴν τιμὴν, εἰδήμων τῆς Ἑλληνικῆς γλώσσης, ἀκριβὴς εἰς τὴν τῶν νομικῶν ἐπιστήμην, Φαρισαῖος τὸ τάγμα, ἐκ Φαρισαίου πατρὸς γεννηθεὶς, καὶ ὑπὸ τὸν Φαρισαῖον Γαμαλιὴλ, τὸν ἐν Ἱεροσολύμοις ἐπίσημον νομοδιδάσκαλον, μαθητεύσας· καὶ διὰ τοῦτο θερμότατος ζηλωτὴς κατ' ἀρχὰς τῶν πατρικῶν αὐτοῦ παραδόσεων, καὶ σφοδρὸς τῆς τοῦ Χριστοῦ Ἐκκλησίας διώκτης, Σαῦλος, ἢ Σαοὺλ καλούμενος τότε (Πράξ. κβ'. 3-4). Περὶ δὲ τὸ 36 ἔτος, ὅτε, ἐν τῇ σφοδροτέρᾳ ὁρμῇ τῆς κατὰ τῶν Μαθητῶν τοῦ Κυρίου μανίας αὐτοῦ καὶ λύσσης, ἀπῄρχετο εἰς Δαμασκὸν, ἐφωδιασμένος μετὰ συστατικῶν παρὰ τοῦ ἀρχιερέως γραμμάτων, ὅπως ἀγάγῃ ἐκεῖθεν εἰς Ἱερουσαλὴμ δεσμίους, ὅσους ἂν εὕρῃ πιστεύοντας εἰς Χριστὸν, πλησιάσας εἰς τὴν πόλιν ἐκείνην, περιλάμπεται κατὰ μεσημβρίαν ἐξαίφνης ὑπὸ οὐρανίου φωτὸς, καὶ πεσὼν ἐπὶ τὴν γῆν, ἀκούει φωνὴν, λεγούσαν αὐτῷ: Σαοὺλ, Σαοὺλ, τί με διώκεις; Καὶ ἐρωτήσας: Τίς εἶ Κύριε; ἀκούει πάλιν: Ἐγώ εἰμι Ἰησοῦς, ὃν σὺ διώκεις. Σκληρόν σοι πρὸς κέντρα λακτί-

ζειν. Ἡ οὐράνιος αὕτη φωνὴ καὶ φωτοχυσία κατέστησεν αὐτὸν ἔντρομον, καὶ ἐτύφλωσε πρὸς καιρόν· εἰσελθὼν δὲ εἰς τὴν πόλιν χειραγωγούμενος, καὶ κατὰ θείαν ἀποκάλυψιν, βαπτισθεὶς ὑπὸ τοῦ ἐκεῖ Ἀποστόλου Ἀνανίου (Ὀκτωβρ. 1), ἀνοίγει πάλιν τοὺς σωματικοὺς ὁμοῦ καὶ ψυχικοὺς ὀφθαλμοὺς, πρὸς ἐπίγνωσιν τοῦ ἀνατείλαντος Ἡλίου τῆς δικαιοσύνης. Καὶ εὐθέως, ὢ θαυμασίου μεταβολῆς! παρρησιάζεται ἐν ταῖς Συναγωγαῖς, καὶ, παρὰ πᾶσαν προσδοκίαν τῶν Ἰουδαίων, κηρύττει τὸν Χριστὸν, ὅτι οὗτος ἐστὶν ὁ Υἱὸς τοῦ Θεοῦ (Πράξ. Θ'. 1-20).

Τὸν δὲ μετὰ ταῦτα ζῆλον αὐτοῦ εἰς τὸ κήρυγμα τοῦ Εὐαγγελίου, τοὺς ἀμετρήτους αὐτοῦ κόπους, καὶ θλίψεις τὰς πολυειδεῖς, τὰς πληγὰς, τὰς φυλακὰς, τὰ δεσμὰ, τοὺς ῥαβδισμοὺς, τοὺς λιθασμοὺς, τὰ ναυάγια, τὰς ὁδοιπορίας, τοὺς κινδύνους ἐν γῇ, ἐν θαλάσσῃ, ἐν πόλεσιν, ἐν ἐρημίαις· τὰς συνεχεῖς ἀγρυπνίας, τὰς καθ' ἡμέραν νηστείας, τὴν πεῖναν καὶ δίψαν καὶ γυμνότητα, καὶ ὅσα ἄλλα ὑπέμεινεν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ, ὅπερ ἐβάστασεν ἐνώπιον ἐθνῶν, καὶ βασιλέων, καὶ Ἰσραηλιτῶν· καὶ ἐπὶ πᾶσι, τὴν μέριμναν πασῶν τῶν Ἐκκλησιῶν, τὸν διάπυρον αὐτοῦ πόθον ὑπὲρ τῆς τῶν πάντων σωτηρίας, δι' ὃν ἐγίνετο τοῖς πᾶσι τὰ πάντα, ἵνα τοὺς πάντας σώσῃ, τί δυνατόν· ὑφ' οὗ τὴν καρδίαν φλεγόμενος, περιήρχετο συνεχῶς εἰς ἐπίσκεψιν πάντων, καὶ ὥσπερ πτηνὸν τοῦ οὐρανοῦ, ἵπτατο εἰς Ἀσίαν καὶ Εὐρώπην, Δύσιν καὶ Ἀνατολὴν, οὐδαμοῦ μένων, οὐδὲ ἱσάμενος· ταῦτα πάντα διηγεῖται περιστατικῶς ἡ ἱερὰ τῶν Πράξεων βίβλος, καὶ αὐτὸς ἐν ταῖς ἑαυτοῦ Ἐπιστολαῖς. Αἱ δὲ Ἐπιστολαὶ αὐτοῦ αὗται, δεκατέσσαρες μὲν οὖσαι τὸν ἀριθμὸν, εἰς δὲ 250 Ὁμιλίας ἑρμηνευθεῖσαι ὑπὸ τοῦ θείου Χρυσοστόμου, ἐμφαίνουσι τὸ ὕψος τῶν νοημάτων αὐτοῦ, τὴν ὑπερβολὴν τῶν γενομένων αὐτῷ ἀποκαλύψεων, τὴν θεόθεν δοθεῖσαν αὐτῷ σοφίαν, δι' ἧς συμβιβάζει θαυμασίως τὴν Παλαιὰν μετὰ τῆς Νέας Διαθήκης, ἑρμηνεύει τὰ ταύτης Μυστήρια, τὰ ὑπὸ τοὺς τύπους ἐκείνης κεκρυμμένα, κρατύνει τὰ τῆς πίστεως δόγματα, πλατύνει τὴν ἠθικὴν τοῦ Εὐαγγελίου διδασκαλίαν, καὶ ὑποδεικνύει ἀκριβῶς τὰ καθήκοντα ἑκάστης τάξεως, καὶ ἡλικίας, καὶ καταστάσεως ἀνθρώπων. Ἐν τούτοις πᾶσι καταστήσας αὐτοῦ τὸ στόμα σάλπιγγα πνευματικὴν, καὶ τὴν γλῶσσαν λαμπροτέραν τοῦ Ἡλίου, δι' ὧν περιήχησε τρανῶς τὸν λόγον τῆς ἀληθείας, καὶ κατεφώτισε τῆς οἰκουμένης τὰ πέρατα· τέλος, πληρώσας τὸ ἔργον τῆς διακονίας αὐτοῦ, ἐτελεύτησε καὶ αὐτὸς μαρτυρικῶς, ἀποτμηθεὶς τὴν κεφαλὴν ἐν αὐτῇ τῇ Ῥώμῃ, ὑπὸ τοῦ αὐτοῦ Νέρωνος, καὶ τὸν αὐτὸν χρόνον, ὡς λέγουσι τινὲς, καθ' ὃν καὶ ὁ Πέτρος ἐσταυρώθη.

Ἡ δὲ μεταβολὴ τοῦ ὀνόματος αὐτοῦ ἀπὸ τοῦ Σαύλου εἰς Παῦλον, φαίνεται ἐν ταῖς Πράξεσιν, ἐξότου ἐπέστρεψεν εἰς Χριστὸν τὸν ἐν Πάφῳ τῆς Κύπρου ἀνθύπατον, ἐθνικὸν ὄντα, Σέργιον Παῦλον τὸ ὄνομα (ιγ'. 6-12). Ἡ δὲ αἰτία ἐστὶν ὅτι, καθὸ μὲν Ἰουδαῖος τὸ γένος καὶ τὴν θρησκείαν, ἐκαλεῖτο Σαῦλος· καθὸ δὲ Ῥωμαῖος ἐκ τῆς πολιτογραφίας, ὡς ἐν Ταρσῷ τῆς Κιλικίας γενηθεὶς, ἐκαλεῖτο καὶ Παῦ-

λος· ἤδη δὲ, ἀρξάμενος κηρύττειν τὸν λόγον τοῦ Θεοῦ εἰς τοὺς ἐθνικοὺς, ἐκράτησε τὸ δεύτερον τοῦτο ὄνομα, ὡς μᾶλλον σύνηθες καὶ γνωστὸν καὶ τοῖς Ἕλλησι καὶ τοῖς Ῥωμαίοις. Οὕτω γνωμοδοτοῦσι τινές.

Ἀργία, καὶ ἰχθύος κατάλυσις.
Ἀπολυτίκιον, Ἦχος δ'.

Οἱ τῶν Ἀποστόλων πρωτόθρονοι, καὶ τῆς οἰκουμένης Διδάσκαλοι, τῷ Δεσπότῃ, τῶν ὅλων πρεσβεύσατε, εἰρήνην τῇ οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ἀπὸ γ'. Ὠδῆς, Ὑπακοή, Ἦχος πλ. δ'.

Ποία φυλακὴ οὐκ ἔσχε σε δέσμιον; ποία Ἐκκλησία οὐκ ἔχει σε Ῥήτορα; Δαμασκὸς μέγα φρονεῖ ἐπὶ σοὶ Παῦλε· εἶδε γάρ σε σκελισθέντα φωτί· Ῥώμη σὸ τὸ αἷμα δεξαμένη, καὶ αὐτὴ κομπάζει· ἀλλ' ἡ Ταρσὸς πλέον χαίρει, κἀὶ πόθῳ τιμᾷ σου τὰ σπάργανα. Ἀλλ' ὦ Παῦλε Ἀπόστολε, τὸ καύχημα τῆς οἰκουμένης, προφθάσας ἡμᾶς στήριξον.

Ἀφ' ἑκτης Ὠδῆς, Κοντάκιον, Ἦχος β'. Αὐτόμελον.

Τοὺς ἀσφαλεῖς καὶ θεοφθόγγους κήρυκας, τὴν κορυφὴν τῶν Ἀποστόλων Κύριε, προσελάβου εἰς ἀπόλαυσιν, τῶν ἀγαθῶν σου καὶ ἀνάπαυσιν· τοὺς πόνους γὰρ ἐκείνων καὶ τὸν θάνατον, ἐδέξω ὑπὲρ πᾶσαν ὁλοκάρπωσιν, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Ϟ 30. Ἡ Σύναξις τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν Δώδεκα.

Τὰ ὀνόματα τούτων εἰσὶ ταῦτα: Σίμων ὁ λεγόμενος Πέτρος, καὶ Ἀνδρέας ὁ ἀδελφὸς αὐτοῦ, ὁ καὶ Πρωτόκλητος· Ἰάκωβος ὁ υἱὸς Ζεβεδαίου, καὶ Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ, ὁ καὶ Εὐαγγελιστὴς, καὶ Θεολόγος· Φίλιππος, καὶ Βαρθολομαῖος· Θωμᾶς, καὶ Ματθαῖος ὁ τελώνης, ὁ καὶ Λευὶς, καὶ Εὐαγγελιστής· Ἰάκωβος ὁ τοῦ Ἁλφαίου υἱὸς, καὶ Ἰούδας ὁ ἀδελφὸς Ἰακώβου τοῦ Ἀδελφοθέου, ὁ καὶ Λεββαῖος καὶ Θαδδαῖος ἐπικληθείς· Σίμων ὁ Κανανίτης, ὁ ἑρμηνευόμενος Ζηλωτὴς, καὶ Ματθίας, ὁ εἰς τὸν τόπον τοῦ προδότου Ἰούδα ψηφισθείς. Ὅρα Αὐγούστου 9.

Δημόσια Κεντρική Βιβλιοθήκη Λιξουρίου
Μουσείο Τυπωμένων Ιακώβατων

Ἀργία, καὶ καταλυσις οἴνου καὶ ἐλαίου.
Ἀπολυτίκιον τῶν Κορυφαίων.

Οἱ τῶν Ἀποστόλων πωστ

Ἕτερον, Ἦχος γ΄.

Ἀπόστολοι ἅγιοι, πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ τοῖς ψυχαῖς ἡμῶν.

Κοντάκιον, Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Πέτρα Χριστὸς, τὴν πέτραν τῆς πίστεως, δοξάζει φαιδρῶς, τῶν μαθητῶν τὸν πρόκριτον, καὶ σὺν Παύλῳ ἅπασαν δωδεκάριθμον φάλαγγα σήμερον· ὧν τὴν μνήμην τελοῦντες πιστῶς, τὸν τούτους δοξάσαντα δοξάζομεν.

## ΜΗΝ ΙΟΥΔΙΟΣ.

Ἔχων ἡμέρας 31. Ἡ ἡμέρα ἔχει ὥρας 14. καὶ ἡ νὺξ ὥρας 10.

✠ 1. Τῶν ἁγίων καὶ θαυματουργῶν Ἀναργύρων, Κοσμᾶ καὶ Δαμιανοῦ, τῶν ἐν Ῥώμῃ.

Ἕτεροι ὄντες οὗτοι παρὰ τοὺς ἐν τῇ πρώτῃ Νοεμβρίου ἑορταζομένους, ὑπῆρχον ἐν Ῥώμῃ, ἰατροὶ τὴν τέχνην, ἀνθρώποις καὶ κτήνεσι τὰς ἰάσεις παρέχοντες δωρεάν, μηδένα ἄλλον μισθὸν τῆς ἰατρείας αἰτοῦντες, εἰμὴ τὴν εἰς Χριστὸν ὁμολογίαν καὶ πίστιν τῶν θεραπευομένων. Ἐτελεύτησαν δὲ μαρτυρικῶς τῷ 284 ἔτει, ἐπὶ Καρίνου καὶ Νουμεριανοῦ.

Κατάλυσις οἴνου καὶ ἐλαίου.

Ἀπολυτίκιον, Ἦχος πλ. δ΄.

Ἅγιοι Ἀνάργυροι καὶ θαυματουργοί, ἐπισκέψασθε τὰς ἀσθενείας ἡμῶν· δωρεὰν ἐλάβετε, δωρεὰν δότε ἡμῖν.

Κοντάκιον, Ἦχος β΄.

Οἱ τὴν χάριν λαβόντες τῶν ἰαμάτων, ἐφαπλῶτε τὴν ῥῶσιν τοῖς ἐν ἀνάγκαις. Ἰατροὶ θαυματουργοὶ ἔνδοξοι· ἀλλὰ τῇ ὑμῶν ἐπισκέψει, ἡ τῶν πολεμίων τὰ θράση κατευνάσατε, τὸν κόσμον ἰώμενοι ἐν τοῖς θαύμασιν.

✠ 2. Ἡ κατάθεσις τῆς τιμίας Ἐσθῆτος τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, ἐν Βλαχέρναις.

Ἡ κατάθεσις αὕτη ἐγένετο ἐν ἔτει 458, ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ Θρᾳκὸς, εἰς τὸν ἐν Βλαχέρναις περικαλλῆ τῆς Θεοτόκου Ναὸν, οἰκοδομηθέντα κατά τινας μὲν ὑπ' αὐτοῦ τοῦ Λέοντος, κατ' ἄλλους δὲ ὑπὸ τῶν προκατόχων αὐτοῦ, Μαρκιανοῦ καὶ Πουλχερίας· περι-

ΕΛΛΗΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ρημον δὲ γενόμενον μετὰ ταῦτα διὰ τὴν τῶν Ἀβάρων καταστροφὴν (Σαββ. Ε'. τῶν Νης. (. Ἔκειτο δὲ ὁ Ναὸς οὗτος εἰς τὰ παραθαλάσσια τοῦ λεγομένου Κερατίου κόλπου, κατὰ τὸ ἐνδότερον μέρος αὐτοῦ ὅπου καὶ βασίλεια ἐκτίσθησαν ὕστερον, καὶ πύλη τῆς πόλεως ὑπῆρχε, πρώην μὲν Πύλαι Βλαχερνῶν, νῦν δὲ ὑπὸ τῶν Τούρκων Ἐϊβὰν σεραΐ καπουσὶ λεγομένη. Εἰς αὐτὸν τὸν Ναὸν ἐστέφθη Ἰωάννης ὁ Καντακουζηνὸς τῷ 1345 ἔτει. καὶ ἡ κατὰ Ἀκινδύνου τοῦ Βαρλααμίτου Σύνοδος εἰς αὐτὸν συνηθροίσθη (Κυρ. Β'. τῶν Νης.).

## Κατάλυσις οἴνου καὶ ἐλαίου.

### Ἀπολυτίκιον. Ἦχος πλ. δ'.

Θεοτόκε ἀειπάρθενε, τῶν ἀνθρώπων ἡ σκέπη, Ἐσθῆτα καὶ Ζώνην τοῦ ἀχράντου σου σώματος, κραταιᾷ τῇ Πόλει σου περιβολὴν ἐδωρήσω, τῷ ἀσπόρῳ τόκῳ σου ἄφθαρτα διαμείναντα· ἐπὶ σοὶ γὰρ καὶ φύσις καινοτομεῖται καὶ χρόνος. Διὸ δυσωποῦμέν σε, εἰρήνην τῇ πολιτείᾳ σου δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

### Κοντάκιον, Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Περιβολὴν πᾶσι πιστοῖς ἀφθαρσίας, θεοχαρίτωτος Ἁγνὴ ἐδωρήσω, τὴν ἱερὰν Ἐσθῆτά σου, μεθ' ἧς τὸ ἱερὸν, σῶμά σου ἐσκέπασας, σκέπη πάντων ἀνθρώπων· ἧς περ τὴν κατάθεσιν, ἑορτάζομεν πόθῳ, καὶ ἐκβοῶμεν φόβῳ σοι σεμνή: Χαῖρε Παρθένε, Χριστιανῶν τὸ καύχημα.

**Τῇ 3. Τοῦ ἁγίου Μάρτυρος Ὑακίνθου· καὶ τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἀνατολίου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.**

Ὁ μὲν Μάρτυς ἦν ἐκ Καισαρείας τῆς Καππαδοκίας, κατακοιμισθεὶς, ἦν θαλαμηπόλος (Κουβικουλάριος, Valet de chambre) τοῦ βασιλέως Τραϊανοῦ· ἀναγκασθεὶς δὲ ὑπ' αὐτοῦ ἵνα φάγῃ ἐκ τῶν εἰδωλοθύτων, καὶ μὴ βουληθεὶς, κατεκλείσθη νήστις εἰς φυλακὴν, ὅπου τὸ πνεῦμα αὐτοῦ τῷ Θεῷ παρέθετο, τῷ 108 ἔτει — Ὁ δὲ Ἱεράρχης ἦν πρεσβύτερος τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας πρότερον· εἶτα διεδέχθη τὸν ἅγιον Φλαβιανὸν εἰς τὸν ἀρχιεπισκοπικὸν τῆς Κωνσταντινουπόλεως θρόνον, τῷ 449 ἔτει· παρέστη εἰς τὴν ἐν Χαλκηδόνι Δ'. Οἰκουμενικὴν Σύνοδον· ἐτελεύτησε τῷ 458 ἔτει. — Τὰ εἰς τὸν Ἑσπερινὸν καὶ εἰς τοὺς Αἴνους τῆς Ὀκτωήχου ἐπιγραφόμενα, Στιχηρὰ Ἀνατολικά, τινὲς μὲν ἀποδιδόασιν εἰς τὸν Ἀνατόλιον τοῦτον· ἕτεροι δὲ, καὶ ἴσως πιθανώτερον, εἰς ἄλλον ὁμώνυμον, ἐκ τῆς μονῆς

τοῦ Στουδίου, Θεοδώρου τοῦ Στουδίτου μαθητήν, πρὸς ὃν καὶ ἐπιστολὴ ἐκείνου σώζεται.

Ἀπολυτίκιον. Ὁ Μάρτυς σου Κύριε. Σελ. 272.

Τοῦ Ἱεράρχου. Κανόνα πίστεως. Ὅρα κατωτέρω.

Ψ 4. Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἀνδρέου Κρήτης, τοῦ Ἱεροσολυμίτου.

Ὑπῆρχεν ἐκ Δαμασκοῦ, υἱὸς Γεωργίου καὶ Γρηγορίας· ἐμαθήτευσεν ἐκ νεότητος· ἐχρημάτισε κληρικὸς καὶ γραμματεὺς Θεοδώρου τοῦ τῶν Ἱεροσολύμων ἀρχιεπισκόπου, ἀφ' οὗ καὶ Ἱεροσολυμίτης ἐπονομάζεται· παρέστη εἰς τὴν Οἰκουμενικὴν ς'. Σύνοδον, τὴν ἐν Κωνσταντινουπόλει τοδεύτερον συγκροτηθεῖσαν, ἐπὶ Κωνσταντίνου τοῦ Πωγωνάτου ἐν ἔτει 680. ἐγένετο διάκονος τῆς Μεγάλης Ἐκκλησίας, εἶτα ἀρχιεπίσκοπος Κρήτης· ἐτελεύτησε τῷ 720, ἢ 723 ἔτει. Ἐκτὸς τῶν λοιπῶν ἱερῶν αὐτοῦ συγγραμμάτων, ἐποίησε προσέτι καὶ ᾄσματα διάφορα, ἐξ ὧν καὶ ὁ λεγόμενος Μέγας Κανών, ὅς τις ἐστὶν ἴσως ὁ πρῶτος μελουργηθεὶς εἰς τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν.

Ἀπολυτίκιον, Ἦχος δ'.

Κανόνα πίστεως, καὶ εἰκόνα πραότητος, ἐγκρατείας διδάσκαλον, ἀνέδειξέ σε τῇ ποίμνῃ σου, ἡ τῶν πραγμάτων ἀλήθεια· διὰ τοῦτο ἐκτήσω τῇ ταπεινώσει τὰ ὑψηλά, τῇ πτωχείᾳ τὰ πλούσια. Πάτερ Ἱεράρχα Ἀνδρέα, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Σαλπίσας τρανῶς, τὰ θεῖα μελῳδήματα, ἐδείχθης φωστήρ, τῷ κόσμῳ τηλαυγέστατος, τῷ φωτὶ λαμπόμενος τῆς Τριάδος, Ἀνδρέα ὅσιε· ὅθεν πάντες βοῶμέν σοι: Μὴ παύσῃ πρεσβεύων ὑπὲρ πάντων ἡμῶν.

Ψ 5. Τῶν ὁσίων Πατέρων ἡμῶν Ἀθανασίου τοῦ ἐν τῷ Ἄθῳ, καὶ Λαμπαδοῦ τοῦ θαυματουργοῦ.

Ὅσιος οὗτος Ἀθανάσιος Τραπεζούντιος ἦν τὴν πατρίδα· ἐμόνασε κατ' ἀρχὰς ἐπὶ τοῦ Κυμαίου, ἢ τοῦ Κυμινᾶ λεγομένου ὄρους, τοῦ ἐν τῇ Μυσίᾳ τῆς Βιθυνίας· εἶτα μεταβὰς εἰς τὸ ὄρος τοῦ Ἄθωνος, συνέστησε τὴν μεγίστην μονὴν, τὴν ἐπ' ὀνόματι αὐτοῦ τιμωμένην καὶ καλουμένην Λαύραν· ἐτελεύτησε περὶ τὰ τέλη τοῦ ἑκάτου αἰῶνος.

Ἀπολυτίκιον, Ἦχος γ'. Τὴν ὡραιότητα.

Τὴν ἐν σαρκὶ ζωὴν, σοῦ κατεπλάγησαν, Ἀγγέλων τάγματα, πῶς μετὰ σώματος, πρὸς οὐρανοὺς πλο-

ΑΜΩΜΟΣ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Ψηφιακή Εκκλησιαστική Βιβλιοθήκη Αμωμου Μουσείο Εκκλησιαστικών Κειμηλίων

κὰς ἐχώρησας ἀοίδιμε, καὶ κατετραυμάτισας, τῶν δαιμόνων τὰς φάλαγγας· ὅθεν Ἀθανάσιε, ὁ Χριστός σε ἠμείψατο, πλουσίαις δωρεαῖς. Διὸ Πάτερ, πρέτβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Χριστοῦ τὸν ζυγὸν, λαβὼν Ἀθανάσιε, καὶ σοῦ τὸν σταυρὸν ἐπ' ὤμων ἀράμενος, μιμητὴς παναρίστος, τῶν αὐτοῦ παθημάτων γέγονας, κοινωνός τε τῆς δόξης αὐτοῦ, τῆς θείας μετέχων καὶ ἀληκτου τρυφῆς.

✠ 6. Τοῦ ὁσίου Πατρὸς ἡμῶν Σισωὴ τοῦ Μεγάλου.

Ἀπολυτίκιον, Ἦχος ά. Τοῦ λίθου σφραγισθέντος.

Τῆς ἐρήμου πολίτης καὶ ἐν σώματι ἄγγελος, καὶ θαυματουργὸς ἀνεδείχθης, θεοφόρε Πατὴρ ἡμῶν Σισωὴ· νηστείᾳ, ἀγρυπνίᾳ, προσευχῇ, οὐράνια χαρίσματα λαβὼν, θεραπεύεις τοὺς νοσοῦντας, καὶ τὰς ψυχὰς τῶν πίστει προστρεχόντων σοι. Δόξα τῷ δεδωκότι σοι ἰσχύν· δόξα τῷ σὲ στεφανώσαντι· δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Κοντάκιον, Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἐξαστήσας ἄγγελος, ἐν γῇ ὡράθης, καταυγάζων ὅσιε, τὰς διανοίας τῶν πιστῶν, θεοσημείαις ἐκάστοτε· ὅθεν σε πίστει, Σισωὴ γεραίρομεν.

✠ 7. Τοῦ ὁσίου Πατρὸς ἡμῶν Θωμᾶ, τοῦ ἐν τῷ Μαλαιῷ· καὶ τῆς ἁγίας Μεγαλομάρτυρος Κυριακῆς.

Αὕτη ἦν θυγάτηρ γονέων Χριστιανῶν, Δωροθέου καὶ Εὐσεβίας· γεννηθεῖσα δὲ ἐν τῇ κυριωνύμῳ ἡμέρᾳ, ὠνομάσθη Κυριακή· ἤθλησεν ἐν ἔτει 282.

Ἀπολυτίκιον. Ἡ ἀμνάς σου Ἰησοῦ. Σελ. 339.

Κοντάκιον, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Ἡ Μάρτυς Χριστοῦ, ἡμᾶς συνεκάλεσατο, τοὺς ἄθλους αὐτῆς, τοὺς θείους καὶ παλαίσματα, ἐγκωμίοις ᾄσαι νῦν· φερωνύμως αὐτὴ γὰρ πέφηνεν, ὡς ἀνδρεία τῷ φρονήματι, κυρία νοός τε καὶ παθῶν ἀπρεπῶν.

✠ 8. Τοῦ ἁγίου Μεγαλομάρτυρος Προκοπίου.

Ἤθλησε περὶ τὰ 290 ἔτη, ἐπὶ τῆς Διοκλητιανοῦ βασιλείας.

Ἀπολυτίκιον, Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ὁ Μάρτυς σου Κύριε, ἐν τῇ ἀθλήσει αὐτοῦ, τὸ ζέφος ἐκομίσατο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· ἔχων γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλεν· ἐθραυσε καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση. Αὐτοῦ ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τῷ ζήλῳ Χριστοῦ, τῷ θείῳ πυρπολούμενος, καὶ τῇ τοῦ Σταυροῦ, ἰσχύϊ συμφραξάμενος, τῶν ἐχθρῶν τὸ φρύαγμα, καὶ τὸ θράσος καθεῖλες Ἱεροκόπιε, καὶ τὴν Ἐκκλησίαν ὕψωσας, τῇ πίστει προκόπτων, καὶ φωτίζων ἡμᾶς.

✠ 9. Τοῦ ἁγίου Ἱερομάρτυρος Παγκρατίου, ἐπισκόπου Ταυρομενίας τῆς ἐν Σικελίᾳ.

Ἦν τῶν Ἀποστόλων σύγχρονος, Ἀντιοχεὺς τὸ γένος, παρὰ τοῦ Πέτρου εἰς τὴν πρὸς Χριστὸν πίστιν χειραγωγηθείς.

Ἀπολυτίκιον, Ἦχος δ'.

Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος, τῶν Ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὗρες θεόπνευστε, εἰς θεωρίας ἐπίβασιν· διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίστει ἐνήθλησας μέχρις αἵματος, Ἱερομάρτυς Παγκράτιε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

✠ 10. Τῶν ἁγίων Τεσσαράκοντα καὶ πέντε Μαρτύρων, τῶν ἐν Νικοπόλει τῆς Ἀρμενίας.

Ἠθλησαν ἐπὶ Λικινίου, τῷ 315 ἔτει.

Ἀπολυτίκιον, Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Οἱ Μάρτυρές σου Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν, στεφάνους ἐκομίσαντο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· σχόντες γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλον· ἔθραυσαν καὶ δαιμόνων τὰ ἀνίσχυρα θράση. Αὐτῶν ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν.

✠ 11. Τῆς ἁγίας Μεγαλομάρτυρος καὶ πανευφήμου Εὐφημίας, ὅτε τὸν Ὅρον τῆς πίστεως ἐπεκύρωσεν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου

Τῷ 451 ἔτει, ἐπὶ τῶν βασιλέων Μαρκιανοῦ καὶ Πουλχερίας, συγκροτηθείσης ἐν Χαλκηδόνι τῆς Δ'. Οἰκουμενικῆς Συνόδου, κατὰ Εὐτυχοῦς καὶ Διοσκόρου τῶν Μονοφυσιτῶν, μετὰ πολλὰς διαλέξεις, συνεφώνησαν πρὸς ἀλλήλους, οἵ τε τῆς ὀρθοδοξίας ὑπερασπισταὶ, 630 Πατέρες ὄντες τὸν ἀριθμὸν, καὶ οἱ τὰ ἐναντία φρονοῦντες, ἵνα γράψωσιν ἀμφότερα τὰ μέρη, εἰς βιβλίον ἰδιαίτερον, τὸν Ὅρον, ὅ ἐστι τὸ δόγμα τῆς πίστεως αὐτῶν, καὶ τὸ περὶ τῆς προκειμένης ὑποθέσεως φρόνημα, καὶ αἰτήσωσι παρὰ Θεοῦ τὴν περὶ τούτου ψῆφον. Τοῦτο ποιήσαντες, ἔβαλον καὶ τοὺς δύο τόμους (τὰ βιβλία) εἰς τὴν λάρνακα τοῦ Λειψάνου τῆς ἁγίας Εὐφημίας, καὶ σφραγίσαντες αὐτὴν ἀπῆλθον. Μετὰ δὲ τριῶν ἡμερῶν νηννυχίους δεήσεις, ἀνοίξαντες αὐτὴν, παρόντος καὶ τοῦ Βασιλέως, εὗρον τὸν μὲν τῶν αἱρετικῶν τόμον εἰς τοὺς πόδας τῆς Μάρτυρος, τὸν δὲ τῶν ὀρθοδόξων, εἰς τὴν δεξιὰν αὐτῆς χεῖρα κρατούμενον. Περὶ δὲ τῆς Μάρτυρος, ὅρα Σεπτ. 16.

Ἀπολυτίκιον, Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Ἡ ἀμνάς σε Ἰησοῦ, κράζει μεγάλῃ τῇ φωνῇ: Σὲ Νυμφίε μου ποθῶ, καὶ σὲ ζητοῦσα ἀθλῶ, καὶ συσταυροῦμαι καὶ συνθάπτομαι τῷ βαπτισμῷ σου· καὶ πάσχω διὰ σὲ, ὡς βασιλεύσω σὺν σοί· καὶ θνήσκω ὑπὲρ σοῦ, ἵνα καὶ ζήσω ἐν σοί· ἀλλ' ὡς θυσίαν ἄμωμον, προσδέχου τὴν μετὰ πόθου τυθεῖσάν σοι. Αὐτῆς πρεσβείαις, ὡς ἐλεήμων, σῶσον τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος πλ. β'.

Ἀγῶνας ἐν ἀθλήσει, ἀγῶνας ἐν τῇ πίστει κατεβάλου θερμῶς, ὑπὲρ Χριστοῦ τοῦ Νυμφίου σου. Ἀλλὰ καὶ νῦν, ὡς τὰς αἱρέσεις, καὶ τῶν ἐχθρῶν τὸ φρύαγμα, ἐν τοῖς ποσὶ τῶν Βασιλέων ἡμῶν ὑποταγῆναι πρέσβευε, διὰ τῆς Θεοτόκου, ἡ ὑπὸ ἑξακοσίων τριάκοντα Θεοφόρων Πατέρων τὸν Ὅρον λαβοῦσα, καὶ φυλάττουσα πανεύφημε.

✠ 12. Τῶν ἁγίων Μαρτύρων Πρόκλου, καὶ Ἱλαρίου.

Ἠθλησαν ἐν ἔτει 100, ἐπὶ τῆς Τραϊανοῦ βασιλείας.

✠ 13. Ἡ σύναξις τοῦ Ἀρχαγγέλου Γαβριὴλ· καὶ μνήμη τοῦ ὁσίου Πατρὸς ἡμῶν Στεφάνου τοῦ σαββαΐτου.

Περὶ τούτου ὅρα Ὀκτωβρίου 28.

Ἀπολυτίκιον. Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῶν οὐρανίων στρατιῶν Ἀρχιστράτηγε, δυσωποῦμέν σε ἀεὶ ἡμεῖς οἱ ἀνάξιοι, ἵνα ταῖς σαῖς δεήσεσι

τειχήσης ἡμᾶς, σκέπῃ τῶν πτερύγων, τῆς αὐλου σου δόξης, φρουρῶν ἡμᾶς προσπίπτοντας, ἐκτενῶς καὶ βοῶντας: Ἐκ τῶν κινδύνων λύτρωσαι ἡμᾶς, ὡς Ταξιάρχης τῶν ἄνω Δυνάμεων.

Τοῦ Ὁσίου, Ἦχος πλ. δ'.

Ὀρθοδοξίας ὁδηγὲ, εὐσεβείας διδάσκαλε καὶ σεμνότητος, τῆς οἰκουμένης ὁ φωστὴρ, ἀρχιερέων θεόπνευστον ἐγκαλλώπισμα, Στέφανε σοφὲ, ταῖς διδαχαῖς σε πάντας ἐφώτισας, λύρα τοῦ Πνεύματος. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, τοῦ Ἀρχαγγέλου, Ἦχος πλ. β'.

Τὴν ὑπὲρ ἡμῶν.

Ὁ ἐν οὐρανοῖς, καθορῶν Θεοῦ τὴν δόξαν, καὶ τὴν ἐπὶ γῆς, ἐξ ὕψους παρέχων χάριν, ἀρχηγὲ τῶν Ἀγγέλων σοφὲ Γαβριὴλ, Θεοῦ δόξης ὁ διάκονος, καὶ τοῦ κόσμου θεῖος πρόμαχος, σῶζε φρουρεῖ τοὺς βοῶντάς σοι: Αὐτὸς γενοῦ βοηθὸς, καὶ οὐδεὶς καθ' ἡμῶν.

## ΕΙΔΗΣΙΣ.

Κατὰ τὴν αὐτὴν 13. τοῦ παρόντος, εἰ τύχοι ἐν Κυριακῇ, ἢ τῇ πρώτῃ μετ' αὐτὴν ἐρχομένῃ, ψάλλεται ἡ Ἀκολουθία τῶν ἁγίων καὶ Θεοφόρων Πατέρων, τῶν εἰς τὰς Ἓξ Οἰκουμενικὰς Συνόδους συνελθόντων· τουτέστι τῶν εἰς τὴν Α'. ἐν Νικαίᾳ 318. τῶν εἰς τὴν Β'. ἐν Κωνσταντινουπόλει 150. τῶν εἰς τὴν Γ'. ἐν Ἐφέσῳ 200. τῶν εἰς τὴν Δ'. ἐν Χαλκηδόνι 630. τῶν εἰς τὴν Ε'. ἐν Κωνσταντινουπόλει τοδεύτερον 165. καὶ τῶν εἰς τὴν Ϛ'. ἐν Κωνσταντινουπόλει τοτρίτον 170.

Σημείωσαι δὲ ὅτι, ὁ τῆς παρούσης Κυριακῆς Συναξαριστὴς ἀναφέρει τὴν Δ'. μόνην Σύνοδον· ὁμοίως καὶ ἡ κατ' αὐτὴν ψαλλομένη Ἀκολουθία διαλαμβάνει περὶ αὐτῆς μόνον τῆς Δ'. καὶ τῆς Ϛ'. τῶν κατὰ τῶν Μονοφυσιτῶν καὶ Μονοθελητῶν συγκροτηθεισῶν, οὐχὶ δὲ καὶ περὶ τῶν λοιπῶν τεσσάρων.

Ἀπολυτίκιον Ἀναστάσιμον τοῦ Ἤχου.

Ἕτερον τῶν Πατέρων, Ἦχος πλ. δ'.

Ὑπερδεδοξασμένος εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ φωστῆρας ἐπὶ γῆς, τοὺς Πατέρας ἡμῶν θεμελιώσας,

ΨΗΦΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Λιξουρίου - Θησαυρός Ελληνικών Ψηφιακών Βιβλιοθηκών

καὶ δι' αὐτῶν πρὸς τὴν ἀληθινὴν πίστιν, πάντας ἡμᾶς ὁδηγήσας. Πολυεύσπλαγχνε δόξα σοι.

Κοντάκιον, Ἦχος πλ. δ'.

Τῶν Ἀποστόλων τὸ κήρυγμα, καὶ τῶν Πατέρων τὰ δόγματα, τῇ Ἐκκλησίᾳ μίαν τὴν πίστιν ἐσφράγισαν· ἣ καὶ χιτῶνα φοροῦσα τῆς ἀληθείας, τὸν ὑφαντὸν ἐκ τῆς ἄνω θεολογίας, ὀρθοτομεῖ καὶ δοξάζει τῆς εὐσεβείας τὸ μέγα Μυστήριον.

✠ 14. Τοῦ ἁγίου Ἀποστόλου Ἀκύλα· καὶ τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωσὴφ Θεσσαλονίκης.

Ὁ μὲν Ἀκύλας ἦν ἐκ τοῦ Πόντου τῆς μικρᾶς Ἀσίας, Ἰουδαϊκὸ τὸ γένος, τὴν τέχνην σκηνοποιός. Εὑρισκόμενος δὲ μετὰ Πρισκίλλης τῆς γυναικὸς αὐτοῦ ἐν Κορίνθῳ τὸ 52 ἔτος, ὅτε πρῶτον ἦλθεν ὁ Παῦλος ἐκεῖ, ἐξενοδόχησαν αὐτὸν, καὶ παρ' αὐτοῖς ἔμεινεν ὁ Ἀπόστολος ἡμέρας πολλὰς, ἐργαζόμενος καὶ αὐτὸς τὴν αὐτὴν τέχνην (Πράξ. ιή. 2-3). Πιστεύσαντες δὲ εἰς Χριστὸν διὰ τοῦ Παύλου, ἠκολούθησαν αὐτῷ ἔκτοτε, συνεργοῦντες αὐτῷ καὶ συγκινδυνεύοντες εἰς τὸ κήρυγμα τοῦ Εὐαγγελίου, ὡς αὐτὸς μαρτυρεῖ περὶ αὐτῶν ἐν τῇ πρὸς Ῥωμαίους, ἐπιστολῇ, λέγων: Ἀσπάσασθε Πρίσκιλλαν καὶ Ἀκύλαν τοὺς συνεργούς μου ἐν Χριστῷ Ἰησοῦ, οἵτινες ὑπὲρ τῆς ψυχῆς μου τὸν ἑαυτῶν τράχηλον ὑπέθηκαν κτλ. (ις'. 2-4). Πότε δὲ, καὶ ποῦ, καὶ πῶς ἐτελεύτησαν, ἄδηλον.

Ὁ δὲ Ἰωσὴφ ἦν ἀδελφὸς Θεοδώρου τοῦ Στουδίτου (Νοεμβρ. 11). Στουδίτης λεγόμενος πολλάκις καὶ αὐτὸς, καὶ μάλιστα ὅτε μετὰ τοῦ ἀδελφοῦ συναναφέρεται· καὶ οἱ δύο ὁμοῦ ἐποίησαν τοὺς Κανόνας τῆς Τριῳδίου, κατὰ τὸν Κωδινὸν, ἐπὶ τοῖς χρόνοις Λέοντος τοῦ Ἀρμενίου καθήμενοι ἐν τῷ ναῷ τοῦ ἁγ. Ῥωμανοῦ (Νοεμβρ. 18). Γενόμενος δὲ Θεσσαλονίκης Ἀρχιεπίσκοπος, ἐξωρίσθη ἔπειτα δὶς καὶ τρὶς διὰ τὸν εὐσεβῆ αὐτοῦ ζῆλον, καὶ τὴν τῶν ἁγίων Εἰκόνων τιμήν· καὶ πολλὰ παθὼν ἐν τῇ ἐξορίᾳ, ἐτελεύτησε τῷ 833 ἔτει.

✠ 15. Τῶν ἁγίων Μαρτύρων, Κηρύκου καὶ Ἰουλίττης.

Αὕτη ὑπῆρχεν ἐν τοῖς χρόνοις Διοκλητιανοῦ, ἐκ πόλεως Ἰκονίου, φοβουμένη δὲ τὸν τότε ἐπικρατοῦντα διωγμὸν, παραλαβοῦσα τὸν υἱὸν αὐτῆς Κήρυκον, τριετῆ ὄντα, ἀπῆλθεν εἰς Σελεύκειαν· ἀλλὰ κἀκεῖ τὰ αὐτὰ δεινὰ εὑροῦσα, μετέβη εἰς Ταρσὸν τῆς Κιλικίας, ὅπου συλλαβὼν αὐτὴν ὁ ἡγεμὼν, καὶ ἀποχωρίσας τὸ νήπιον, ἐσπούδαζε διὰ κολακείας ἑλκύσαι αὐτὸ πρὸς ἑαυτόν. Τὸ δὲ ὑποψελλίζον, καὶ τὸ ὄνομα τοῦ Χριστοῦ ἐπικαλούμενον, ἐλάκτισε τὸν ἡγεμόνα εἰς τὴν κοιλίαν, ὅσον ἠδύνατο· ἐξ οὗ ὀργισθεὶς ἐκεῖνος, ἔρριψεν αὐτὸ ἐπὶ τῶν βαθμίδας τοῦ κριτηρίου, καὶ συντριβὲν τὴν κεφαλὴν, ἀφῆκε τὸ πνεῦμα

ΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ἁγιορειτικὴ Κεντρικὴ Βιβλιοθήκη Ἁγιορειτῶν

μα. Ἡ δὲ μακαρία μήτηρ, πολλὰς πρότερον ὑπομείνασα βασάνους, τελευταῖον ἀπετμήθη τὴν κεφαλήν, τῷ 296 ἔτει.

Ἀπολυτίκιον. Οἱ Μάρτυρές σου Κύριε. Σελ. 280.

Κοντάκιον, Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἐν ἀγκάλαις φέρουσα ἡ Χριστομάρτυς, Ἰουλίττα Κήρυκον, ἐν τῷ σταδίῳ ἀνδρικῶς, ἀγαλλομένη ἐκραύγαζε: Χριστὸς ὑπάρχει, Μαρτύρων τὸ καύχημα.

✠ 16. Τοῦ ἁγίου Ἱερομάρτυρος Ἀθηνογένους.

Ὑπῆρχεν ἐκ Σεβαστείας τῆς ἐν Καππαδοκίᾳ· ἐγένετο ἐπίσκοπος Πιδαχθοῦς κατὰ τὸν Συναξαριστήν (ἴσως Πίδας καὶ Χλόης, πόλεων τῆς Γαλατικῆς Καππαδοκίας, ὑπὸ τὸν τῆς Σεβαστείας μητροπολίτην)· ἤθλησε διὰ πυρὸς ἐπὶ Διοκλητιανοῦ, τῷ 290 ἔτει· ὅτε ἀπερχόμενος εἰς τὸ ἡτοιμασμένον αὐτῷ πῦρ, ἔψαλλεν, ὡς λέγουσι, τὸ, Φῶς ἱλαρὸν, κ. τ. λ. εἰς ὕμνον τῆς ἁγίας Τριάδος, καθὼς σεσημείωται, σελ. 136. Ὅρα καὶ Μαρτίου 11.

✠ 17. Τῆς ἁγίας Μεγαλομάρτυρος Μαρίνης.

Αὕτη ἦν ἐν τοῖς χρόνοις Κλαυδίου ἐκ Πισσιδείας τῆς ἐν Κιλικίᾳ, θυγάτηρ ἱερέως τινὸς τῶν εἰδώλων μονογενής. Ἀπορφανισθεῖσα δὲ τῆς μητρὸς, καὶ εἰς γυναῖκα τινὰ παραδοθεῖσα, ἐδιδάχθη δι' αὐτῆς τὴν εἰς Χριστὸν πίστιν. Τῷ δὲ 15 ἔτει τῆς ἡλικίας αὐτῆς, συλληφθεῖσα ὑπὸ Ὀλυμβρίου τοῦ ἡγεμόνος, καὶ ἐρωτηθεῖσα τὸ ὄνομα, τὴν πατρίδα, καὶ τὴν πίστιν, ἀπεκρίνατο: "Μαρίνα ὀνομάζομαι· τῆς Πισσιδείας εἰμὶ γέννημα καὶ θρέμμα· καὶ τὸ ὄνομα τοῦ Κυρίου μου Ἰησοῦ Χριστοῦ ἐπικαλοῦμαι". Ἐκ τούτου δεσμὰ καὶ φυλακὰς καὶ μάστιγας πολλὰς ὑπομείνασα, ἀπετμήθη τελευταῖον τὴν κεφαλήν, τῷ 270 ἔτει.

Κατάλυσις οἴνου καὶ ἐλαίου.

Ἀπολυτίκιον, Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Ἡ ἀμνάς σου Ἰησοῦ, κράζει μεγάλῃ τῇ φωνῇ: Σὲ Νυμφίε μου ποθῶ, καὶ σὲ ζητοῦσα ἀθλῶ, καὶ συσταυροῦμαι καὶ συνθάπτομαι τῷ βαπτισμῷ σου· καὶ πάσχω διὰ σὲ, ὡς βασιλεύσω σὺν σοί· καὶ ὑπὲρ σοῦ, ἵνα καὶ ζήσω ἐν σοί· ἀλλ' ὡς θυσίαν ἄμωμον, προσδέχου τὴν μετὰ πόθου τυθεῖσάν σοι. Αὐτῆς πρεσβείαις, ὡς ἐλεήμων, σῶσον τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Παρθενίας κάλλεσι, πεποικιλμένη παρθένε, ἀκηράτοις στέμμασιν, ἐστεφανώθης Μαρίνα· αἵματι

ΔΙΑΘΗΚΗ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Δημοσίου - Μουσείο Συλλογών Εικονισμάτων

τοῦ μαρτυρίου δὲ φοινιχθεῖσα, θαύματι κατελαμπρύνθης τῶν ἰαμάτων, καὶ τῆς νίκης τὰ βραβεῖα, ἐδέξω Μάρτυς χειρὶ τοῦ Κτίστου σου.

✠ 18. Τοῦ ἁγίου Μάρτυρος Αἰμιλιανοῦ.

✠ 19. Τῆς ὁσίας Μητρὸς ἡμῶν Μακρίνης, ἀδελφῆς τοῦ Μεγάλου Βασιλείου, καὶ τῶ Ὁσίου πατρὸς ἡμῶν Δίου.

Ἀπολυτίκ. τῆς Ὁσίας, Ἦχος πλ. δ.

Ἐν σοὶ Μῆτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα· λαβοῦσα γὰρ τὸν σταυρὸν, ἠκολούθησας τῷ Χριστῷ, καὶ πράττουσα ἐδίδασκες, ὑπεροράν μὲν σαρκὸς, παρέρχεται γάρ· ἐπιμελεῖσθαι δὲ ψυχῆς, πράγματος ἀθανάτου· διὸ καὶ μετὰ Ἀγγέλων συναγάλλεται, ὁσία Μακρίνα τὸ πνεῦμά σου.

Ἕτερον τοῦ Ὁσίου. Ἦχος α. Τοῦ λίθου σφραγισθέντος. Τῆς ἐρήμου πολίτης, καὶ ἐν σώματι ἄγγελος, καὶ θαυματουργὸς ἀνεδείχθης, θεοφόρε Πατὴρ ἡμῶν Δίε· νηστεία, ἀγρυπνία, προσευχῇ, οὐράνια χαρίσματα λαβὼν, θεραπεύεις τοὺς νοσοῦντας, καὶ τὰς ψυχὰς τῶν πίστει προστρεχόντων σοι. Δόξα τῷ δεδωκότι σοι ἰσχύν· δόξα τῷ σὲ στεφανώσαντι· δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

✠ 20. Τοῦ ἁγίου ἐνδόξου Προφήτου Ἠλιοὺ τοῦ Θεσβίτου.

Ἠλίας ὁ μεγαλώνυμος ὑπῆρχεν ἐκ Θέσβης ἢ Θίσβης πόλεως τῆς ἐν Γαλαὰδ πέραν τοῦ Ἰορδάνου, ἐκ γένους ἱερατικοῦ, ἀνὴρ ἐρημικὸς καὶ ἀσκητικοῦ χαρακτῆρος, ἐνδεδυμένος μηλωτὴν (δέρμα προβάτου), καὶ ζώνην δερματίνην περιεζωσμένος τὴν ὀσφὺν αὐτοῦ. Τὸ ὄνομα αὐτοῦ ἑρμηνεύεται, Θεὸς Κύριος, ἢ Θεὸς ἰσχυρός. Ὁ ὑπὲρ τῆς δόξης τοῦ Θεοῦ ζῆλος αὐτοῦ συγκρίνεται πρὸς τὸ πῦρ· καὶ ὁ λόγος αὐτοῦ εἰς διδασκαλίαν καὶ ἔλεγχον, πρὸς λαμπάδα καιομένην· ἐκ τούτου ἔλαβε καὶ τὴν ἐπωνυμίαν Ζηλωτής. Οὗτος οὖν, ὑπὸ τοιούτου ζήλου πυρούμενος, ἤλεγξεν αὐστηρῶς τὴν ἀσέβειαν καὶ παρανομίαν τοῦ βασιλέως Ἀχαὰβ, καὶ τῆς γυναικὸς αὐτοῦ Ἰεζάβελ· Ἔκλεισε τὸν οὐρανὸν διὰ προσευχῆς, καὶ οὐκ ἔβρεξεν ἐνιαυτοὺς τρεῖς καὶ μῆνας ἕξ. Ἐκόμισαν αὐτῷ κόρακες τὰ πρὸς τροφὴν ἀναγκαῖα, ὅτε ἐκρύπτετο, διὰ προσταγῆς Θεοῦ, παρὰ τὸν χειμάρρουν Χορράθ. Ἐπλήθυνε τὴν ὀλιγότητα τοῦ ἀλεύρου καὶ τοῦ ἐλαίου τῆς πενιχρᾶς καὶ χήρας Σαρεφθίας γυναικὸς, ἥτις ἐφιλοξένησεν αὐτὸν εἰς τὸν οἶκον αὐτῆς· καὶ ἀποθανόντα τὸν υἱὸν αὐτῆς ἀνέστησε πάλιν. Κα-

τεβίβασε πῦρ ἐκ τοῦ οὐρανοῦ ἐπὶ τὸ Καρμήλιον ὄρος, καὶ κατέκαυσε τὴν πρὸς Θεὸν αὐτοῦ θυσίαν ἐνώπιον παντὸς τοῦ Ἰσραὴλ, εἰς ἐπίγνωσιν τῆς ἀληθείας. Κατέσφαξεν εἰς τὸν χειμάρρουν Κισσὼν τοὺς 450 ψευδοπροφήτας ἱερεῖς, τοὺς προσκυνοῦντας τὰ εἴδωλα καὶ διαστρέφοντας τὸν λαόν. Ἐδέξατο παραδόξως τροφὴν διὰ χειρὸς Ἀγγέλου, καὶ ὑπὸ τῆς τροφῆς ἐκείνης ἐνδυναμωθείς, περιεπάτησε 40 ἡμερονύκτια. Εἶδε τὸν Θεὸν ἐπὶ τοῦ ὄρους Χωρὴβ, ὅσον ἐνδέχεται εἰς τὴν ἀνθρώπινον φύσιν. Προεῖπε τὴν καταστροφὴν τοῦ οἴκου Ἀχαὰβ, καὶ τοῦ υἱοῦ Ὀχοζίου τὸν θάνατον· καὶ τοὺς παρὰ τούτου ἀποσταλέντας δύο πεντηκοντάρχους κατέκαυσε πρὸς τιμωρίαν, δὶς ἐκ τοῦ οὐρανοῦ καταβιβάσας πῦρ. Ἔσχισε τὸ ῥεῦμα τοῦ Ἰορδάνου, καὶ διέβη αὐτὸς καὶ ὁ μαθητὴς αὐτοῦ Ἐλισσαῖος διὰ ξηρᾶς. Καὶ τελευταῖον, ἐνῷ συνελάλει μετ' αὐτοῦ, ἁρπαγεὶς αἰφνιδίως ὑπὸ πυρίνου ἅρματος, τῷ 895 πρὸ Χριστοῦ, ἀνελήφθη ὡς εἰς τὸν οὐρανὸν, ὅπου δήποτε μετέθηκεν αὐτὸν ὁ Θεὸς ζῶντα, ὡς καὶ τὸν Ἐνὼχ (Γεν. ε. 24. Δ'. Βασ. β'. 11). Ἀλλὰ καὶ ἐκεῖθεν, μετὰ 7 ἔτη, ἔλεγξε δι' ἐπιστολῆς τὸν Ἰωρὰμ, υἱὸν τοῦ Ἰωσαφὰτ καθὼς ἐστι γεγραμμένον· Καὶ ἦλθεν αὐτῷ (τῷ Ἰωρὰμ) ἐν γραφῇ παρὰ Ἠλιοὺ τοῦ Προφήτου, λέγων: Τάδε λέγει Κύριος ὁ Θεὸς Δαυὶδ τοῦ πατρός σου· Ἀνθ' ὧν οὐκ ἐπορεύθης, κτλ. (Β'. παραλ. κά. 12). Ἐπέστειλε δὲ ταῦτα, ὡς γνωμοδοτοῦσιν οἱ πλεῖστοι τῶν ἑρμηνευτῶν, ἢ διὰ τοῦ μαθητοῦ αὐτοῦ Ἐλισσαίου, ἢ δι' ἄλλου τινὸς Προφήτου, φανεὶς εἰς αὐτοὺς, ὥσπερ ἐφάνη καὶ ἐπὶ τοῦ Θαβωρίου ὄρους εἰς τοὺς Μαθητὰς τοῦ Χριστοῦ (Αὐγούστ. 6).

## Ἀργία, καὶ Κατάλυσις οἴνου καὶ ἐλαίου.

## Ἀπολυτίκιον, Ἦχος δ'.

Ὁ ἔνσαρκος ἄγγελος, τῶν Προφητῶν ἡ κρηπὶς, ὁ δεύτερος πρόδρομος, τῆς παρουσίας Χριστοῦ, Ἠλίας ὁ ἔνδοξος, ἄνωθεν καταπέμψας Ἐλισσαίῳ τὴν χάριν, νόσους ἀποδιώκει, καὶ λεπροὺς καθαρίζει· διὸ καὶ τοῖς τιμῶσιν αὐτὸν βρύει ἰάματα.

## Κοντάκιον αὐτόμελον, Ἦχος β'.

Προφῆτα καὶ πρόοπτα τῶν μεγαλουργιῶν τοῦ Θεοῦ, Ἠλία μεγαλώνυμε, ὁ τῷ φθέγματί σου στήσας τὰ ὑδατόῤῥυτα νέφη, πρέσβευε ὑπὲρ ἡμῶν τὸν μόνον φιλάνθρωπον.

## ✠ 21. Τῶν ὁσίων Πατέρων ἡμῶν Συμεὼν τοῦ διὰ Χριστὸν Σαλοῦ, καὶ Ἰωάννου τοῦ συναθλητοῦ αὐτοῦ.

Οὗτοι ἦσαν ἐκ πόλεως Ἐδέσσης τῆς ἐν Μεσοποταμίᾳ, ἐπὶ τῆς βασιλείας Ἰουστίνου τοῦ νέου, ἐν ἔτει 518. Ἄλλοι δὲ λέγουσιν, ὅτι ὁ

Συμεὼν, ἀσκήσας πρότερον ἐν ἐρημίᾳ τινὶ 29 ἔτη, ἀπῆλθεν ἐπειτα εἰς Ἔμεσαν τῆς Συρίας· ὅπου τὸ ὑπόλοιπον τῆς ζωῆς τελέσας, προσποιούμενος τὸν Σαλὸν, ἐτελεύτησε τῷ 590 ἔτει.

**Ἀπολυτίκιον.** Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν. **Σελ.** 275.

**Κοντάκιον, Ἦχος β΄.** Τοὺς ἀσφαλεῖς.

Τὸν ἐν σαρκὶ ἀναφανέντα ἄσαρκον, καὶ ἀρεταῖς ὑπερκοσμίως λάμψαντα, Συμεῶνα τὸν ἰσάγγελον, καὶ θεοφόρον εὐφημήσωμεν· σὺν τούτῳ Ἰωάννην τὸν ἀοίδιμον, ἐν πίστει καὶ ἀγάπῃ, ὡς πρεσβεύοντας Κυρίῳ ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

## ✠ 22. Τῆς ἁγίας Μυροφόρου καὶ ἰσαποστόλου Μαρίας τῆς Μαγδαληνῆς.

Αὕτη ἦν ἐκ πόλεως τινὸς Γαλιλαίας, κατὰ τὴν θάλασσαν τῆς Τιβεριάδος κειμένης, ἥτις ἐκαλεῖτο Μάγδαλα, ἀφ' ἧς ἔχει καὶ τὴν ἐπωνυμίαν Μαγδαληνή. Ἐκβαλόντος δὲ τοῦ Ἰησοῦ ἀπ' αὐτῆς τὰ ἑπτὰ δαιμόνια, ὑφ' ὧν ἔπασχε πρότερον, ἐγένετο αὐτοῦ μαθήτρια πιστὴ καὶ ἀχώριστος, ἀκολουθοῦσα αὐτῷ καὶ διακονοῦσα ἕως ἐπὶ τοῦ Σταυροῦ καὶ τοῦ τάφου· καὶ τότε ὑποστρέψασα εἰς Ἱερουσαλὴμ μετὰ τῶν λοιπῶν Μυροφόρων, ἡτοίμασαν τὰ πρὸς ἄλειμμα τοῦ Κυριακοῦ Σώματος ἀρώματα. Τῇ δὲ Κυριακῇ λίαν πρωΐ, ἔρχονται εἰς τὸ μνημεῖον, καὶ πρὶν ἔτι φανῶσιν οἱ τὴν Ἀνάστασιν τοῦ Κυρίου μηνύσαντες Ἄγγελοι, ἰδοῦσα ἡ Μαγδαληνὴ τὸν λίθον ἠρμένον ἐκ τοῦ μνημείου, τρέχει καὶ ἀναγγέλλει τοῦτο εἰς τὸν Πέτρον καὶ Ἰωάννην. Ἐπανελθοῦσα εὐθὺς εἰς τὸ μνημεῖον, καὶ κλαίουσα ἔξω, ἠξιώθη πρώτη ἰδεῖν τὸν Κύριον ἀναστάντα ἐκ νεκρῶν· ὅτε καὶ προσπεσοῦσα εἰς τοὺς πόδας αὐτοῦ, ἤκουσε τό, Μή μου ἅπτου. Μετὰ δὲ τὴν Ἀνάληψιν τοῦ Κυρίου, ἀβέβαια πάντα τὰ τῆς Μαγδαληνῆς. Τινὲς δὲ λέγουσιν, ὅτι ἐτελεύτησεν ἐν Ἐφέσῳ κηρύττουσα ἐκεῖ τὸν Χριστόν.

### Κατάλυσις οἴνου καὶ ἐλαίου.

**Ἀπολυτίκιον, Ἦχος ά.** Τὸν τάφον σου Σωτήρ.

Χριστῷ τῷ δι' ἡμᾶς ἐκ Παρθένου τεχθέντι, σεμνὴ Μαγδαληνὴ, ἀκολούθεις Μαρία, αὐτοῦ τὰ δικαιώματα, καὶ τοὺς νόμους φυλάττουσα· ὅθεν σήμερον, τὴν παναγίαν σου μνήμην, ἑορτάζοντες, ἁμαρτημάτων τὴν λύσιν, εὐχαῖς σου λαμβάνομεν.

**Κοντάκιον, Ἦχος δ΄.** Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὁ ὑπερούσιος Θεὸς ἐν τῷ κόσμῳ, μετὰ σαρκὸς ἐπιφοιτήσας Μαρία, σὲ ἀληθῆ μαθήτριαν προσήκατο,

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημοσία Κεντρική Βιβλιοθήκη Λήμνου
Μουσείο Γεωπαλαιοντολογικών

ὅλην σου τὴν ἔφεσιν, πρὸς αὐτὸν κεκτημένην· ὅθεν καὶ ἰάματα, ἐπετέλεσας πλεῖστα· καὶ μεταστᾶσα νῦν ἐν οὐρανοῖς, ὑπὲρ τοῦ κόσμου πρεσβεύεις ἑκάστοτε.

✠ 23. Τοῦ ἁγίου Ἱερομάρτυρος Φωκᾶ· καὶ τοῦ ἁγίου Προφήτου Ἰεζεκιήλ.

Περὶ μὲν τοῦ Ἱερομάρτυρος, ὅρα Σεπτεμβρίου 22. Ὁ δὲ Προφήτης ἦν υἱὸς Βουζεὶ, ἱερεὺς τὸ ἀξίωμα, αἰχμάλωτος ἀχθεὶς εἰς Βαβυλῶνα ἐπὶ Ἰωακὶμ (Ἰεχονίου). Τῷ δὲ πέμπτῳ ἔτει τῆς αἰχμαλωσίας ταύτης, περὶ τὸ 595, ἢ 594 πρὸ Χριστοῦ, ἤρξατο προφητεύειν. Αἱ ὑπὸ Θεοῦ προσταχθεῖσαι εἰς αὐτὸν πολλαὶ Συμβολικαὶ πράξεις, ἔδωκαν ἀφορμὴν εἰς τοὺς γλωσσαλγήσαντας κατὰ τῆς ἱερᾶς θρησκείας ἀτοπωτάτων χλευασμῶν. Προφητεύσας δὲ περίπου 20 ἔτη, ἐφονεύθη, ὡς λέγουσιν, ὑπό τινος ἄρχοντος Ἰουδαίου, διότι ἤλεγχε τὴν εἰδωλολατρείαν αὐτοῦ. Ἡ προφητεία αὐτοῦ, εἰς 48 κεφάλαια διηρημένη, τάττεται ἡ τρίτη τῶν Μειζόνων Προφητῶν.

Ἀπολυτίκιον. Καὶ τρόπων μέτοχος. Σελ. 331.

Καὶ τοῦ Προφήτου. Τοῦ Προφήτου σου Ἰεζεκιήλ. Σελ. 305.

✠ 24. Τῆς ἁγίας Μεγαλομάρτυρος Χριστίνης.

Ἠθλησεν ἐν ἔτει 200, ἐπὶ τῆς Σεβήρου βασιλείας.

Ἀπολυτίκιον, Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Ἡ ἀμνάς σου Ἰησοῦ, κράζει μεγάλῃ τῇ φωνῇ: Σὲ Νυμφίε μου ποθῶ, καὶ σὲ ζητοῦσα ἀθλῶ, καὶ συσταυροῦμαι καὶ συνθάπτομαι τῷ βαπτισμῷ σου· καὶ πάσχω διὰ σὲ, ὡς βασιλεύσω σὺν σοί· καὶ ἀνήσκω ὑπὲρ σοῦ, ἵνα καὶ ζήσω ἐν σοί· ἀλλ' ὡς θυσίαν ἄμωμον, προσδέχου τὴν μετὰ πόθου τυθεῖσάν σοι. Αὐτῆς πρεσβείαις, ὡς ἐλεήμων, σῶσον τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Φωτοειδὴς περιστερὰ ἐγνωρίσθης, πτέρυγας ἔχουσα χρυσᾶς, καὶ πρὸς ὕψος, τῶν οὐρανῶν κατέπαυσας Χριστίνα σεμνή. Ὅθεν σου τὴν ἔνδοξον, ἑορτὴν ἐκτελοῦμεν, πίστει προσκυνοῦντές σου, τῶν λειψάνων τὴν θήκην, ἐξ ἧς πηγάζεις πᾶσιν ἀληθῶς, ἴαμα θεῖον ψυχῆς τε καὶ σώματος.

✠ 25. Ἡ Κοίμησις τῆς ἁγίας Ἄννης, Μητρὸς τῆς Θεοτόκου.

Ἡ μὲν Θεοπρομήτωρ Ἄννα, κατὰ τὴν παράδοσιν, ἔζησεν 79 ἔτη,

ΔΗΜΟΣΙΕΥΣΙΣ ΒΙΒΛΙΟΘΗΚΗΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Κέρκυρας - Μουσείο Τυπάλδων Ιακωβάτων

ὁ δὲ σύζυγος αὐτῆς Ἰωακεὶμ, 80. τίς δὲ ἐκ τῶν δύο ἀπέθανε πρότερον, οὐδὲν οὐδεὶς ἀναφέρει, εἰ μὴ ὅτι ἡ Θεοτόκος ἀπωρφανίσθη ἀμφοτέρων τῶν γονέων, τῷ ἑνδεκάτῳ ἔτει τῆς ἡλικίας αὐτῆς, ὅτε διέτριβεν ἔτι ἐν τῷ Ναῷ. Ὅρα Νοεμβρ. 21. καὶ Σεπτεμβρ. 8.

## Κατάλυσις οἴνου καὶ ἐλαίου.

### Ἀπολυτίκιον, Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ζωὴν τὴν κυήσασαν ἐκυφόρησας, ἀγνὴ Θεομήτορα Θεόφρον Ἄννα· διὸ πρὸς λῆξιν οὐράνιον, ἔνθα εὐφραινομένων, κατοικία ἐν δόξῃ, χαίρουσα νῦν μετέστης, τοῖς τιμῶσί σε πόθῳ πταισμάτων αἰτουμένη ἱλασμὸν ἀειμακάριστε.

### Κοντάκιον, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Προγόνων Χριστοῦ, τὴν μνήμην ἑορτάσωμεν, τὴν τούτων πιστῶς, αἰτούμενοι βοήθειαν, τοῦ ῥυσθῆναι ἅπαντας, ἀπὸ πάσης θλίψεως τοὺς κράζοντας· Ὁ Θεὸς γενοῦ μεθ' ἡμῶν, ὁ τούτους δοξάσας ὡς εὐδόκησας.

### ✠ 26. Τοῦ ἁγίου Ἱερομάρτυρος Ἑρμολάου, καὶ τῶν σὺν αὐτῷ Ἑρμίππου, καὶ Ἑρμοκράτους· καὶ τῆς ἁγίας Ὁσιομάρτυρος Παρασκευῆς.

Ὁ μὲν Ἑρμόλαος καὶ οἱ μετ' αὐτοῦ ἦσαν ἱερεῖς τῆς ἐν Νικομηδείᾳ Ἐκκλησίας· ἠθλησαν δὲ ἐπὶ Μαξιμιανοῦ τῷ 306 ἔτει. — Ἡ δὲ Παρασκευὴ ἦν ἐκ κώμης τινὸς τῆς Ῥωμης γονέων εὐσεβῶν, Ἀγάθωνος καὶ Πολιτείας, θυγάτηρ· ἥτις γεννηθεῖσα τῇ Παρασκευῇ τῆς ἑβδομάδος ἡμέρᾳ, ἔλαβεν ἐξ αὐτῆς καὶ τὸ ὄνομα. Παιδιόθεν δὲ τὰ ἱερὰ γράμματα διδαχθεῖσα, ἐσχόλαζεν εἰς τὴν μελέτην τῶν θείων Γραφῶν, βίον μοναδικὸν διάγουσα, καὶ πολλοὺς ὁδηγοῦσα εἰς τὴν πίστιν τοῦ Χριστοῦ. Ἐν δὲ τοῖς χρόνοις Ἀντωνίνου τοῦ Εὐσεβοῦς, διὰ αὐτὸ τοῦτο συλληφθεῖσα, καὶ προτρεπομένη εἰς τὴν τῶν εἰδώλων προσκύνησιν, ἀπεκρίθη τὸ τοῦ Ἱερεμίου· Θεοὶ, οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν ἐκ τῆς γῆς (ι. 11.). Ἐκ τούτου πολυώδυνα βάσανα ὑπομείνασα, τελευταῖον ἀπετμήθη τὴν κεφαλὴν τῷ 140 ἔτει.

## Κατάλυσις οἴνου καὶ ἐλαίου.

### Ἀπολυτίκιον, Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Οἱ Μάρτυρές σου Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν, στεφάνους ἐκομίσαντο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· σχόντες γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλον· ἔθραυσαν καὶ δαιμόνων, τὰ ἀνίσχυρα θρά-

σή. Αὐτῶν ταῖς ἱκεσίαις· Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν.

Τῆς Ἁγίας, Ἦχος ἀ.

Τὴν σπουδήν σου τῇ κλήσει κατάλληλον, ἐργασαμένη φερώνυμε, τὴν ὁμώνυμόν σου πίστιν εἰς κατοικίαν κεκλήρωσαι, Παρασκευὴ ἀθληφόρε· ὅθεν προχέεις ἰάματα, καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Κοντάκιον, Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Τῇ ἀθληφόρῳ οἱ πιστοὶ τὸν ὑμνητήριον, Παρασκευῇ δεῦτε συμφώνως ἀναμέλψωμεν· ἀπαστράπτει γὰρ τοῖς θαύμασιν εἰ τῷ κόσμῳ, ἀπελαύνουσα τῆς πλάνης τὴν σκοτόμαιναν, καὶ παρέχουσα πιστοῖς τὴν χάριν ἄφθονον, τοῖς κραυγάζουσι: Χαῖρε Μάρτυς πολυάθλε.

✠ 27. Τοῦ ἁγίου Μεγαλομάρτυρος καὶ ἰαματικοῦ Παντελεήμονος.

Οὗτος ἦν Νικομηδεὺς τὴν πατρίδα, Εὐστοργίου καὶ Εὐβούλης υἱός, εἰδωλολάτρου μὲν ὄντος τοῦ πατρὸς, χριστιανῆς δὲ τῆς μητρὸς ἐκ προγόνων· ὑφ' ἧς καὶ εἰς τὴν εὐσέβειαν ὁδηγηθείς, καὶ τὴν πίστιν τοῦ Χριστοῦ παρὰ τοῦ ἀνωτέρω (εἰς τὰς 26) Ἑρμολάου κατηχηθείς, ἐβαπτίσθη. Διδαχθεὶς δὲ τὴν ἰατρικὴν τέχνην, μετήρχετο αὐτὴν φιλανθρώπως, πᾶσαν νόσον ἰώμενος τῇ χάριτι μᾶλλον τοῦ Χριστοῦ, ἢ τῇ τέχνῃ, καὶ πᾶσαν ἐπιμέλειαν ψυχῶν καὶ σωμάτων πρὸς πάντας ἐπιδεικνύμενος συμπαθῶς, ἀφ' οὗ καὶ Παντελεήμων ἐπαξίως μετωνομάσθη, ἀντὶ Παντολέοντος, ὅπερ ἐκαλεῖτο πρότερον. Ἀνοίξας δέ ποτε, διὰ τῆς ἐπικλήσεως τοῦ θείου ὀνόματος, τυφλοῦ τινος ὀφθαλμοὺς, ἐφώτισεν ἐκ τούτου καὶ τὰ τῆς ψυχῆς αὐτοῦ ὄμματα, εἰς ἐπίγνωσιν τῆς ἀληθείας, ὅπερ καὶ τοῦ μαρτυρίου αὐτοῦ ἐγένετο αἴτιον. Καθότι ἐρωτηθεὶς ὁ πρώην τυφλὸς, ὑπὸ τίνος, καὶ πῶς οἱ ὀφθαλμοὶ αὐτοῦ ἀνεῴχθησαν, καὶ ὁμολογήσας παῤῥησίᾳ, κατὰ μίμησιν τοῦ Εὐαγγελικοῦ ἐκείνου τυφλοῦ, τόν τε ἰατρὸν, καὶ τῆς ἰατρείας αὐτοῦ τὸν τρόπον, αὐτὸς μὲν ἀναιρεῖται παρευθύς· ὁ δὲ Παντελεήμων συλληφθεὶς, καὶ πολλὰς μάστιγας ὑπομείνας, τελευταῖον ἀποτέμνεται καὶ τὴν τιμίαν κεφαλὴν, τῷ 305 ἔτει, ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ.

Ἀργία, καὶ Κατάλυσις οἴνου καὶ ἐλαίου.

Ἀπολυτίκιον, Ἦχος γ'.

Ἀθλοφόρε ἅγιε, καὶ ἰαματικὲ Παντελεήμων, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ ΕΚΔΟΣΕΙΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Κοντάκιον, Ἦχος πλ. ά. Αὐτόμελον.

Μιμητὴς ὑπάρχων τοῦ ἐλεήμονος, καὶ ἰαμάτων τὴν χάριν παρ' αὐτοῦ κομισάμενος, ἀθλοφόρε καὶ Μάρτυς Χριστοῦ τοῦ Θεοῦ, ταῖς εὐχαῖς σου τὰς ψυχικὰς ἡμῶν νόσους θεράπευσον, ἀπελαύνων τοῦ ἀεὶ πολεμίου τὰ σκάνδαλα, ἐκ τῶν βοώντων ἀπαύστως: Σῶσον ἡμᾶς Κύριε.

✠ 28. Τῶν ἁγίων Ἀποστόλων καὶ Διακόνων, Προχόρου, Νικάνορος, Τίμωνος, καὶ Παρμενᾶ.

Ἀπολυτίκιον, Ἦχος γ'.

Ἀπόστολοι ἅγιοι, πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Κοντάκιον, Ἦχος ά. Τὸν τάφον σου Σωτήρ.

Διάκονοι σεπτοί, καὶ αὐτόπται τοῦ Λόγου, καὶ σκεύη ἐκλογῆς, ἀνεδείχθητε πίστει, Νικάνορ καὶ Πρόχορε, Παρμενᾶ, Τίμων ἔνδοξε· ὅθεν σήμερον, τὴν ἱερὰν ὑμῶν μνήμην, ἑορτάζομεν, ἐν εὐφροσύνῃ καρδίας, ὑμᾶς μακαρίζοντες.

✠ 29. Τοῦ ἁγίου Μάρτυρος Καλλινίκου, καὶ τῆς ἁγίας Μάρτυρος Θεοδότης.

Ἀπολυτίκιον, Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ὁ Μάρτυς σου Κύριε, ἐν τῇ ἀθλήσει αὐτοῦ, τὸ στέφος ἐκομίσατο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· ἔχων γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλεν· ἔθραυσε καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση. Αὐτοῦ ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν.

Τῆς Μάρτυρος. Ἡ ἀμνάς σου Ἰησοῦ. Ὅρα. σελ. 339.

Κοντάκιον, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τὰ ἄνω τερπνά, ἀξίως νῦν κεκλήρωσαι· Χριστοῦ γὰρ σφοδρῶς, τῷ πόθῳ πυρακτούμενος, τοῦ πυρὸς Καλλίνικε, δι' αὐτοῦ ἀνδρείως κατετόλμησας· ᾧ καὶ νῦν παριστάμενος, μὴ παύσῃ πρεσβεύων ὑπὲρ πάντων ἡμῶν.

✠ 30. Τῶν ἁγίων Ἀποστόλων ἐκ τῶν Ἑβδομήκοντα, Σίλα, Σιλουανοῦ, Κρήσκεντος, Ἐπαινέτου καὶ Ἀνδρονίκου.

ΔΗΜΟΣΙΕΥΣΗ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ἀπολυτίκιον, Ἦχος γ΄.

Ἀπόστολοι ἅγιοι, πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Ϟ 31. Τοῦ ἁγίου καὶ δικαίου Εὐδοκίμου· καὶ Προεόρτια τῆς προελεύσεως τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ.

Ὁ μὲν Εὐδόκιμος ἦν υἱὸς εὐσεβῶν καὶ λαμπροτάτων γονέων, Πατρικίων τὸ ἀξίωμα, ἐκ τῆς Καππαδοκίας καταγομένων. Ζήσας δὲ ἐν εὐσεβείᾳ καὶ δικαιοσύνῃ καὶ ὁσιότητι, καὶ εἰς πᾶσαν ἀρετὴν εὐδόκιμος τῷ ὄντι φανείς, ἐτελεύτησε περὶ τὰ 840, ἐν τοῖς χρόνοις Θεοφίλου τοῦ Εἰκονομάχου. Περὶ δὲ τῆς προελεύσεως τοῦ τιμίου Σταυροῦ, ὅρα Αὐγούστου 1.

Ἀπολ. τοῦ Ἁγίου, Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ἐκ γῆς ὁ καλέσας σε πρὸς οὐρανίους σκηνάς, τηρεῖ καὶ μετὰ θάνατον ἀδιαλώβητον, τὸ σῶμά σου Ἅγιε· σὺ γὰρ ἐν σωφροσύνῃ, καὶ σεμνῇ πολιτείᾳ, μάκαρ ἐπολιτεύσω, μὴ μολύνας τὴν σάρκα. Διὸ ἐν παῤῥησίᾳ Χριστῷ, πρέσβευε σωθῆναι ἡμᾶς.

Τοῦ Σταυροῦ. Σῶσον Κύριε. Ὅρα ἔμπροσθεν.

Κοντάκιον, Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Ἡ σεπτή σου σήμερον, ἡμᾶς συνήθροισε μνήμη, ἐν τῇ θείᾳ λάρνακι, τῶν ἱερῶν σου λειψάνων· πάντες οὖν οἱ προσιόντες καὶ προσκυνοῦντες, ἅπασαν δαιμόνων βλάβην ἀποσοβοῦνται, καὶ ποικίλων νοσημάτων, λυτροῦνται τάχος, μάκαρ Εὐδόκιμε.

## ΜΗΝ ΑΥΓΟΥΣΤΟΣ.

Ἔχων ἡμέρας 31. Ἡ ἡμέρα ἔχει ὥρας 13. καὶ ἡ νὺξ ὥρας 11.

Ϟ 1. Ἡ πρόοδος τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· καὶ μνήμη τῶν ἁγίων Ἑπτὰ Παίδων τῶν Μακκαβαίων, καὶ τῆς μητρὸς αὐτῶν Σολομονῆς, καὶ τοῦ διδασκάλου αὐτῶν Ἐλεαζάρου.

Διὰ τὰς κατὰ τὸν Αὔγουστον μῆνα ὡς ἐπιτοπολὺ συμβαινούσας ἀσθενείας, ἐπεκράτει τοπάλαι συνήθεια ἐν Κωνσταντινουπόλει ἵνα περιφέρηται κατ' αὐτὰς, εἰς τὰς οἰκους αὐτῆς καὶ πλατείας, τὸ τίμιον ξύλον τοῦ Σταυροῦ, πρὸς ἁγιασμὸν τοῦ τόπου, καὶ νόσων ἀπαλλα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

γήν. Καὶ κατὰ μὲν τὴν χθεσινὴν ἡμέραν, ἐκφέροντες αὐτὸν ἀπὸ τοῦ βασιλικοῦ θησαυροφυλακίου, ἀπετίθεν ἐπὶ τῆς ἱερᾶς τραπέζης τῆς Μεγάλης Ἐκκλησίας (τῆς ἁγίας Σοφίας)· κατὰ δὲ τὴν σήμερον, καὶ ἑφεξῆς ἕως τῆς Κοιμήσεως τῆς Θεοτόκου, λιτανεύοντες μετ' αὐτοῦ καθ' ὅλην τὴν πόλιν, προετίθουν αὐτὸν ἔπειτα τῷ λαῷ εἰς προσκύνησιν. Καὶ αὕτη μέν ἐστιν ἡ πρόοδος τοῦ τιμίου Σταυροῦ.

Οἱ δὲ ἅγιοι Μακκαβαῖοι, ὧν τὰ ὀνόματα εἰσὶν· Ἀβεὶμ, Ἀντώνιος, Γουρίας, Ἐλεάζαρος, Εὐσεβωνᾶς, Ἀχεὶμ, καὶ Μάρκελλος· οὗτοι, Ἰουδαῖοι ὄντες τὸ γένος, καὶ τῶν πατρῴων νόμων φύλακες ἀκριβεῖς, ἦσαν ἐν τοῖς χρόνοις Ἀντιόχου, τοῦ ἐπονομαζομένου Ἐπιφανοῦς, βασιλέως τῆς Συρίας, καὶ τῶν Ἰουδαίων ἀσπόνδου ἐχθροῦ· ὅς τις ἅπαν τὸ ἔθνος αὐτῶν καταδουλώσας, καὶ πολλὰ ποιήσας κακὰ, ἕως καὶ εἰς αὐτὰ τὰ ἱερὰ τῆς θρησκείας πράγματα, ἠνάγκαζεν αὐτοὺς πρὸς τοῖς ἄλλοις, ἵνα καὶ κρέας φάγωσι χοίρινον, ἀπηγορευμένον ὑπὸ τοῦ Νόμου. Τότε καὶ οἱ εὐσεβεῖς οὗτοι Παῖδες, συλληφθέντες μετὰ τῆς Μητρὸς αὐτῶν καὶ τοῦ Διδασκάλου, καὶ καταδυναστευόμενοι εἰς τὴν ἀθέτησιν τῶν νομίμων, καθυπεβλήθησαν εἰς μυρία κολαστήρια, ὅσα γνώμη τυραννικὴ, καὶ ψυχὴ θηριώδης δύναται ἐφευρεῖν. Οἱ δὲ πάντα γενναίως ὑπομείναντες, καὶ δείξαντες διὰ τῶν ἔργων, ὅτι ὁ λογισμός ἐστιν αὐτοπράτωρ τῶν παθῶν, καὶ δύναται νικῆσαι αὐτὰ, ἐὰν θέλῃ, ἐτελεύτησαν ἐνδόξως ἐν ταῖς βασάνοις, προδόντες τὴν ζωὴν διὰ τοῦ θείου Νόμου τὴν τήρησιν, πρῶτος μὲν ὁ γηραιὸς διδάσκαλος Ἐλεάζαρ, εἶτα καὶ οἱ ἀδελφοὶ πάντες, κατὰ τὴν τάξιν τῆς ἡλικίας αὐτῶν. Ἡ δὲ θαυμαστὴ μήτηρ Σολομονὴ, γενναίου πεπληρωμένη φρονήματος, καὶ τὸν θῆλυν λογισμὸν ἄρρενι θυμῷ διεγείρασα (β. Μακκ. ζ'. 21), παρίστατο εἰς τὸν κατὰ τοῦ τυράννου θρίαμβον τῶν τέκνων, ἐνισχύουσα ἕκαστον αὐτῶν εἰς τὸν ὑπὲρ πίστεως ἀγῶνα, καὶ ὑποφέρουσα εὐψύχως τὰς ὀδύνας αὐτῶν διὰ τὰς ἐπὶ Κύριον ἐλπίδας. Ἰδοῦσα δὲ καὶ τὸν νεώτατον αὐτῆς υἱὸν τελειωθέντα, ῥίπτεται ἐσχάτη καὶ αὐτὴ εἰς τὸ πῦρ, καὶ· ἀξιοῦται μετὰ τῶν τέκνων αὐτῆς τοῦ μακαρίου τέλους, τῷ 168 ἔτει πρὸ Χριστοῦ.

Ἀπὸ ταύτης τῆς ἡμέρας ἀρχόμεθα τῆς Νηστείας τῆς Θεοτόκου.

## Ἀπολυτίκιον τῶν Ἁγίων, Ἦχος α'.

Τὰς ἀλγηδόνας τῶν Ἁγίων, ἃς ὑπὲρ σοῦ ἔπαθον, δυσωπήθητι Κύριε, καὶ πάσας ἡμῶν τὰς ὀδύνας, ἴασαι φιλάνθρωπε δεόμεθα.

## Τοῦ Σταυροῦ.

Σῶσον Κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς Βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

ΔΗΜΟΣΙΕΥΣΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Λεμεσού
Μουσείο Υπαλλοών Ιακωβατων

**Κοντάκιον τῶν Ἁγίων, Ἦχος β'. Τὰ ἄνω ζητῶν.**

Σοφίας Θεοῦ, οἱ στύλοι οἱ ἑπτάριθμοι, καὶ θείου φωτὸς, οἱ λύχνοι οἱ ἑπτάφωτοι, Μακκαβαῖοι πάνσοφοι, πρὸ Μαρτύρων μέγιστοι Μάρτυρες, σὺν αὐτοῖς τὸν πάντων Θεὸν αἰτεῖσθε, σωθῆναι τοὺς τιμῶντας ὑμᾶς.

**✠ 2. Ἡ Ἀνακομιδὴ τῶν Λειψάνων τοῦ ἁγίου Πρωτομάρτυρος καὶ Ἀρχιδιακόνου Στεφάνου.**

Μετὰ τὸν λιθασμὸν τοῦ Πρωτομάρτυρος ὑπὸ τῶν Χριστοκτόνων Ἰουδαίων (Δεκεμβρ. 27), Γαμαλιὴλ ὁ τούτου διδάσκαλος ἐνεθάρρυνε τινὰς τῶν Χριστιανῶν, ἵνα, ἐλθόντες νυκτὸς, καὶ τὸ σῶμα τοῦ Ἁγίου ἄραντες, θάψωσιν αὐτὸ εἰς τὸν ἑαυτοῦ ἀγρὸν, ἀπέχοντα τῆς Ἱερουσαλὴμ ἕως 20 μίλλια, καὶ καλούμενον ἐκ τοῦ ὀνόματος αὐτοῦ Καφαρ-γαμαλά, ὅ ἐστιν ἀγρὸς Γαμαλὰ, ὅπου καὶ αὐτὸς ὁ Γαμαλιὴλ μετὰ ταῦτα ἐτάφη. Κατὰ δὲ τὸ 415 ἔτος, ἀνήρ τις εὐσεβὴς, Λουκιανὸς τὴν κλῆσιν, ἱερεὺς τὸ ἀξίωμα, ἐφημέριος ἐκκλησίας τινὸς πλησίον τοῦ ἀγροῦ ἐκείνου, ἀπεκαλύφθη δι' ὁράματος ἐκ Θεοῦ τὸν τόπον, ἔνθα ἦν τεθαμμένος ὁ Πρωτομάρτυς, ὅπερ καὶ ἀνήγγειλεν εὐθὺς εἰς Ἰωάννην, τὸν τότε Πατριάρχην Ἱεροσολύμων. Ἀπελθόντες δὲ εἰς τὸν ὑποδειχθέντα τόπον, καὶ σκάψαντες, εὗρον λάρνακα, Ἑβραϊστὶ ἐπιγεγραμμένην. Στέφανος· καὶ ἀνοίξαντες αὐτὴν, καὶ τὸ ἱερώτατον Λείψανον λαβόντες, μετεκόμισαν αὐτὸ εἰς Ἱερουσαλὴμ μετὰ μεγάλης δορυφορίας.

**Ἀπολυτίκιον, Ἦχος δ'. Ταχὺ προκατάλαβε.**

Βασίλειον διάδημα, ἐστέφθη σὴ κορυφὴ, ἐξ ἄθλων ὧν ὑπέμεινας, ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, Μαρτύρων Πρωτάθλε· σὺ γὰρ τὴν Ἰουδαίων, ἀπελέγξας μανίαν, εἶδές σου τὸν Σωτῆρα, τοῦ Πατρὸς δεξιόθεν. Αὐτὸν οὖν ἐκδυσώπει ἀεὶ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Κοντάκιον, Ἦχος πλ. δ'. Αὐτόμελον.**

Πρῶτος ἐσπάρης ἐπὶ γῆς ὑπὸ τοῦ οὐρανίου γεωργοῦ παναύφημε· πρῶτος τὸ αἷμα ἐπὶ γῆς διὰ Χριστὸν ἐξέχεας μακάριε· πρῶτος ὑπ' αὐτοῦ τὸν τῆς νίκης στέφανον ἀνεδήσω ἐν οὐρανοῖς, ἀθλητῶν προοίμιον, στεφανῖτα τῶν Μαρτύρων ὁ Πρώταθλος.

**✠ 3. Τῶν ὁσίων Πατέρων ἡμῶν Ἰσαακίου, Δαλμάτου, καὶ Φαύστου.**

Τούτων ὁ μὲν Ἰσαάκιος, ὃς τις καὶ Ἰσάκιος, καὶ Ἰσακὴς εὑρίσκεται γεγραμμένος, καὶ κατὰ τὴν 30 τοῦ Μαΐου ἰδιαιτέρως ἑορτάζε-

Δημόσια Κεντρική Βιβλιοθήκη Λεξουρίου - Μουσείο Ιονίου Πολιτισμού

ται, ἐγένετο μοναστὴς ἐκ νεαρᾶς ἡλικίας, ἐργάτης πάσης ἀρετῆς, ζηλωτὴς τῆς ὀρθοδόξου πίστεως, καὶ προφητικοῦ χαρίσματος ἠξιωμένος, οἰκῶν πλησίον τῆς Κωνσταντινουπόλεως ἐν καλύβῃ μικρᾷ. Ὅτε δὲ Οὐάλης ὁ ἀρειανόφρων ἐξεστράτευσεν αὐτοπροσώπως κατὰ τῶν Γότθων, τῶν περὶ τὸν Δούναβιν ποταμὸν, ἐξελθὼν ὁ Ὅσιος εἰς συνάντησιν αὐτοῦ, εἶπε παῤῥησίᾳ, ὅτι ὁ Θεὸς ἐκίνησε τοὺς βαρβάρους κατ' αὐτοῦ, ἐπειδὴ καὶ αὐτὸς ἐκίνησε κατὰ τοῦ Θεοῦ πολλὰς γλώσσας εἰς βλασφημίαν, καὶ τοὺς ὑμνοῦντας αὐτὸν ἀπεδίωξεν ἐκ τῶν θείων οἴκων· καὶ ὅτι, ἐὰν παύσῃ πολεμῶν τῷ Θεῷ διὰ τῆς αἱρέσεως, καὶ ἀποδώσῃ τοὺς ἁγίους ποιμένας εἰς τὰ ποίμνια τοῦ Χριστοῦ, κερδήσει τὴν νίκην ἀπόνως· ἐὰν δὲ, μὴ ποιήσας ταῦτα, μηδὲ ἔχων σύμμαχον τὸν Θεὸν, προτήσῃ τὴν μάχην, ἡ καταστροφὴ αὐτοῦ καὶ τοῦ στρατεύματος ἐστὶ βεβαία. Μαθήσῃ, εἶπεν, ἐκ τῆς πείρας, ὅσον ἐστὶ σκληρὸν τὸ πρὸς κέντρα λακτίζειν· οὔτε γὰρ ἐπανήξεις, καὶ προσαπολέσεις τὴν στρατιάν,, Ὁ δὲ βασιλεὺς ὀργισθεὶς, καὶ εἰς φυλακὴν κατακλείσας τὸν Ὅσιον, ἵνα τιμωρήσῃ αὐτὸν καὶ θανατώσῃ ἐν τῇ ἐπιστροφῇ, ἐκίνησε κατὰ τῶν βαρβάρων· ἀλλὰ κατακράτος νικηθεὶς ὑπ' αὐτῶν, κατεκαύθη ζῶν ἔντινι κώμῃ, τῷ 378 ἔτει (Θεοδώρ. Κύρου. Ἐκκλ. Ἱστορ. Λόγ. δ'. 31-32). Ὁ δὲ Ὅσιος ἀπολυθεὶς τῆς φυλακῆς, καὶ θαυμασθεὶς διὰ τὴν πρόῤῥησιν ταύτην, ἐθαυμάσθη ἔτι μᾶλλον διὰ τὸν ζῆλον αὐτοῦ, ὃν ἔδειξεν ὑπὲρ τῆς ὀρθοδοξίας εἰς τὴν ἐν ἔτει 381 συγκροτηθεῖσαν Β'. Οἰκουμενικὴν Σύνοδον. Μετὰ ταῦτα, μονῆς ἀνεγερθείσης ἐν Κωνσταντινουπόλει χάριν αὐτοῦ, ἐποίμανεν εὐσεβῶς τοὺς μετ' αὐτοῦ συνασκοῦντας· καὶ δοὺς αὐτοῖς τύπον μοναδικοῦ βίου τὸ ἑαυτοῦ παράδειγμα, ἐκοιμήθη ἐν εἰρήνῃ περὶ τὰ τέλη τοῦ Δ'. αἰῶνος, καταλιπὼν διάδοχον αὐτοῦ τὸν Δαλμάτον.

Ὁ δὲ Δαλμάτος οὗτος, κατ' ἀρχὰς μὲν ὑπῆρχε στρατιώτης, ἐν τῇ Β'. σχολῇ τῶν καλουμένων Σχολαρίων στρατιωτῶν συνηριθμημένος· ὕστερον δὲ καταλιπὼν πάντα, καὶ παραλαβὼν τὸν υἱὸν αὐτοῦ Φαῦστον, ἀπῆλθεν εἰς τὴν εἰρημένην τοῦ Ἰσαακίου μονὴν, ἐν ᾗ ἐνδυθεὶς τὸ μοναχικὸν σχῆμα, ἐγένετο διὰ τῆς ἀρετῆς αὐτοῦ ἀοίδιμος εἰς πάντας· ἐπαρουσίασεν εἰς τὴν ἐν Ἐφέσῳ, τῷ 431 ἔτει, συγκροτηθεῖσαν Δ'. Οἰκουμενικὴν Σύνοδον· καὶ δείξας ἐν αὐτῇ κατὰ τοῦ Νεστορίου τὸν ὀρθόδοξον ζῆλον αὐτοῦ, ἐψηφίσθη ὑπὸ τῶν τῆς Συνόδου Πατέρων, Ἀρχιμανδρίτης τῶν ἐν Κωνσταντινουπόλει Μοναστηρίων. Ζήσας δὲ ἔτη ὑπὲρ τὰ 80, ἀνεπαύσατο ἐν Κυρίῳ.

## Ἀπολυτίκιον, Ἦχος δ'.

Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὁ ποιῶν ἀεὶ μεθ' ἡμῶν, κατὰ τὴν σὴν ἐπιείκειαν, μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν· ἀλλὰ ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ κυβέρνησον τὴν ζωὴν ἡμῶν.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Ἀπόσπασμα ἀπὸ τὴν Ψηφιακὴ Βιβλιοθήκη Ἀπόστολος Μακράκης
Μουσείο Τυπογραφίας Σακκουλάτων

Κοντάκιον, Ἦχος β'. Τὴν ἐν πρεσβείαις.

Τοὺς ἐν ἀσκήσει ἐκλάμψαντας ὡς φωστῆρας, καὶ τὰς αἱρέσεις ἀνατρέψαντας τῇ πίστει, ὕμνοις Ἰσαάκιον εὐφημήσωμεν, καὶ σὺν Δαλμάτῳ Φαῦστον, ὡς τοῦ Χριστοῦ θεράποντας, αὐτὸν δυσωποῦντας ὑπὲρ πάντων ἡμῶν.

✠ 4. Τῶν ἁγίων Ἑπτὰ Παίδων τῶν ἐν Ἐφέσῳ.

Ὅρα τῇ 22 Ὀκτωβρίου.

Ἀπολυτίκιον. Οἱ Μάρτυρές σου Κύριε. Ὅρα σελ. 331.

Κοντ. Ἦχος ὁ αὐτός. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Οἱ τὰ τοῦ κόσμου ὡς φθαρτὰ παριδόντες, καὶ τὰς ἀφθάρτους δωρεὰς εἰληφότες, διαφθορᾶς διέμειναν θανόντες παρεκτός· ὅθεν ἐξανίσανται, μετὰ πλείονας χρόνους, ἅπασαν ἐνθάψαντες, δυσμενῶν ἀπιστίαν. Οὓς ἐν αἰνέσει σήμερον πιστοὶ, ἀνευφημοῦντες Χριστὸν ἀνυμνήσωμεν.

✠ 5. Προεόρτια τῆς Μεταμορφώσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ μνήμη τοῦ ἁγίου Μάρτυρος Εὐσιγνίου.

Οὗτος ἦν Ἀντιοχεὺς τὴν πατρίδα, στρατιώτης τὴν τάξιν, ἀπὸ τῶν χρόνων ἔτι Κωνσταντίνου τοῦ Χλωροῦ, πατρὸς τοῦ Μ. Κωνσταντίνου, ἕως Ἰουλιανοῦ τοῦ Παραβάτου. Ἐλέγχων δὲ τὴν τούτου ἀσέβειαν, καὶ ἐνθυμίζων αὐτὸν ὅτι ἦν ἀνεψιὸς τοῦ Μ. Κωνσταντίνου, τοῦ πρώτου βασιλέως τῶν Χριστιανῶν· ὅτι ἐξ ἁπαλῶν ὀνύχων ἀνετράφη τῷ γάλακτι τῆς εὐσεβείας, καὶ τὴν πίστιν τοῦ Χριστοῦ ἐδιδάχθη, καὶ συμμαθητὴς ἐχρημάτισε Βασιλείου τοῦ Μεγάλου, καὶ Γρηγορίου τοῦ Ναζιανζηνοῦ, καὶ ἀναγνώστης ἐγένετο τῆς ἐν Νικομηδείᾳ Ἐκκλησίας· καὶ ὅτι ἀθετήσας ἤδη τὰ πάντα, καὶ παραβάτης γενόμενος τῶν εἰς τὸ θεῖον Βάπτισμα ὑποσχέσεων αὐτοῦ, προσέφερεν εἰς τὰ εἴδωλα τὴν εἰς μόνον τὸν Θεὸν ὀφειλομένην προσκύνησιν· ταῦτα, λέγω, ἐνθυμίζων τὸν ἀποστάτην ἐλεγκτικῶς, ἀπετμήθη τὴν κεφαλὴν περὶ τὸ 361 ἔτος, ζήσας τὰ πάντα ἔτη 110. ἐν δὲ τοῖς στρατιωτικοῖς πλέον τῶν 60.

Ἀπολυτίκιον, Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Χριστοῦ τὴν Μεταμόρφωσιν προϋπαντήσωμεν, φαιδρῶς πανηγυρίζοντες τὰ Προεόρτια, πιστοὶ καὶ βοήσωμεν: Ἔφθασεν ἡ ἡμέρα τῆς ἐνθέου εὐφροσύνης· ἄνεισιν εἰς τὸ Ὄρος τὸ Θαβὼρ ὁ Δεσπότης, τῆς Θεότητος αὐτοῦ ἀπαστράψαι τὴν ὡραιότητα.

ΑΠΟΡΡΗΤΑ ΕΚ ΒΙΒΛΙΟΘΗΚΕΣ
Απορρήτα Κεντρική Βιβλιοθήκη Λπεσσαλονίκης - Μουσείο Τυπολόων Χαλκογράφων

Κοντάκιον, Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἐν τῇ θείᾳ σήμερον Μεταμορφώσει, ἡ βροτεία ἅπα-
σα, φύσις προλάμπει θεϊκῶς, ἐν εὐφροσύνῃ κραυ-
γάζουσα: Μεταμορφοῦται Χριστὸς, σώζων ἅπαντας.

Η ΜΕΤΑΜΟΡΦΩΣΙΣ ΤΟΥ ΣΩΤΗΡΟΣ



✠ 6. Ἡ ἁγία Μεταμόρφωσις τοῦ Κυρίου, καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ἐπειδὴ πολλάκις προεῖπεν ὁ Κύριος εἰς τὲς Μαθητὰς αὐτοῦ, οὐ μόνον περὶ τοῦ ἰδίου πάθους καὶ τοῦ Σταυροῦ καὶ τοῦ θανάτου, ἀλλὰ καὶ περὶ τῶν μελλόντων διωγμῶν καὶ θλίψεων αὐτῶν τῶν Μαθητῶν· καὶ ἐπειδὴ τὰ μὲν δεινὰ ἦσαν πρόχειρα, ἡ δὲ ἀντὶ τούτων ἀπόλαυσις τῶν ἀγαθῶν, μέλλουσα καὶ ἐλπιζομένη· διὰ τοῦτο, ἵνα πληροφορήσῃ αὐτὸς ὀφθαλμοφανῶς περὶ τῆς δόξης ἐκείνης, ἥτις ἐστὶν ἡτοιμασμένη διὰ τοὺς ἕως τέλους ὑπομείναντας, παραλαμβάνει τοὺς τρεῖς προκρίτους αὐτοῦ μαθητὰς, Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην, καὶ ἀναβιβάσας αὐτοὺς εἰς τὸ Θαβώριον Ὄρος καταμόνας, μετεμορφώθη ἔμπροσθεν αὐτῶν, καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ Ἥλιος, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένοντο λευκὰ ὡς τὸ φῶς. Ἐξαίφνης, μετὰ τῆς ὑπερφυοῦς καὶ ἐξαισίου ταύτης φωτοχυσίας, ἐπιφαίνονται διαμιᾶς τῶν Προφητῶν οἱ ἀκρότατοι, Μωϋσῆς καὶ Ἠλίας, συλλαλοῦντες μετὰ τοῦ Ἰησοῦ περὶ τοῦ μέλλοντος αὐτοῦ σωτηρίου πάθους, καὶ δεικνύοντες ἑνταυτῷ, ὅτι αὐτός ἐστιν ὁ Κύριος καὶ ζώντων καὶ νεκρῶν, παραστάντες ἔμπροσθεν αὐτοῦ δουλοπρεπῶς, ὁ μὲν Μωϋσῆς ἐκ τοῦ Ἅδου, ὡς πρὸ πολλῶν αἰώνων ἀποθανών (Σεπτεμβ. 4.). ὁ δὲ Ἠλίας ὡς ἐκ τοῦ οὐρανοῦ, ὅπου ἔτι ζῶν ἀνελήφθη (Ἰουλ. 20.). Μετ' ὀλίγον ἐπισκιάζει αὐτοὺς νεφέλη φωτεινὴ, καὶ ἐκ τῆς νεφέλης ἀκούεται πάλιν ἡ αὐτὴ φωνὴ, ἥτις ἠκούσθη καὶ ἐν τῷ Ἰορδάνῃ (Ἰαν. 6.), μαρτυροῦσα τοῦ Ἰησοῦ τὴν Θεότητα, καὶ λέγουσα: Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα· αὐτοῦ

ἀκούετε (Ματθ. ιζ'. 1-5.). Ταῦτά εἰσι τὰ θεοπρεπῆ καὶ παράδοξα τῆς παρούσης Ἑορτῆς· ἥτις ἐστὶν εἰκὼν καὶ προτύπωσις τῆς μελλούσης καταστάσεως τῶν Δικαίων, ὧν τὴν λαμπρότητα ἐδήλωσεν ὁ Κύριος εἰπών: Τότε οἱ Δίκαιοι ἐκλάμψουσιν ὡς ὁ Ἥλιος (Ματθ. ιγ'. 43.). Διὰ τοῦτο καὶ τὸ Κοντάκιον τῆς Ἑορτῆς ταύτης ψάλλεται καθ' ἑκάστην ἐν ταῖς Ὥραις (σελ. 112), εἰς ὑπόμνησιν παντοτεινὴν τῆς δόξης ἐκείνης.

**Ἀργία, καὶ ἰχθύος Κατάλυσις.**

**Ἀπολυτίκιον, Ἦχος βαρύς.**

Μετεμορφώθης ἐν τῷ Ὄρει Χριστὲ ὁ Θεός, δείξας τοῖς Μαθηταῖς σου τὴν δόξαν σου, καθὼς ἠδύναντο. Λάμψον καὶ ἡμῖν τοῖς ἁμαρτωλοῖς τὸ φῶς σου τὸ ἀΐδιον, πρεσβείαις τῆς Θεοτόκου. Φωτοδότα, δόξα σοι.

**Κοντάκιον, Ἦχος ὁ αὐτός.**

Ἐπὶ τὸ Ὄρους μετεμορφώθης, καὶ ὡς ἐχώρουν οἱ Μαθηταί σου τὴν δόξαν σα, Χριστὲ ὁ Θεός, ἐθεάσαντο· ἵνα ὅταν σε ἴδωσι σταυρούμενον, τὸ μὲν πάθος νοήσωσιν ἑκούσιον, τῷ δὲ κόσμῳ κηρύξωσιν, ὅτι σὺ ὑπάρχεις ἀληθῶς, τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

**✠ 7. Τοῦ ἁγίου Ὁσιομάρτυρος Δομετίου.**

Οὗτος ἦν Πέρσης τὸ γένος, ἐν τοῖς χρόνοις τοῦ Μ. Κωνσταντίνου, εἰδωλολάτρης πρότερον. Κατηχηθεὶς δὲ ὑπό τινος Χριστιανοῦ, Ἀβάρου τὸ ὄνομα, ἀπῆλθεν εἰς Νίσιβιν, πόλιν τῆς Μεσοποταμίας, ὅπου βαπτισθείς, ἐνεδύθη τὸ μοναδικὸν σχῆμα ἔν τινι μοναστηρίῳ. Μετὰ ταῦτα ἀναβὰς ἐπί τινος ὄρους, διεκαρτέρησεν ἐκεῖ ἐν ἄκρᾳ ἀσκήσει, θαύματα τελῶν εἰς τοὺς προσερχομένους αὐτῷ, καὶ πολλοὺς τῶν ἀπίστων ἐπιστρέφων. Ταῦτα δὲ μαθὼν Ἰουλιανὸς ὁ Παραβάτης, ὅτε κατὰ τῶν Περσῶν ἐξεστράτευεν, ἐν ἔτει 363, ἀπέστειλε καὶ ἐλιθοβόλησαν αὐτόν τε καὶ δύο μαθητὰς αὐτοῦ, ἵνα ἔψαλλον τὴν Τρίτην Ὥραν.

**Ἀπολυτίκιον καὶ Κοντάκιον τῆς Μεταμορφώσεως.**

**✠ 8. Τοῦ ἁγίου Αἰμιλιανοῦ τοῦ ὁμολογητοῦ, ἐπισκόπου Κυζίκου.**

Ὑπῆρχεν ἐν τοῖς χρόνοις Λέοντος τοῦ εἰκονομάχου, ἴσως τοῦ Ἀρμενίου, περὶ τὰ 815. ὑφ' οὗ ἐξορίας καὶ θλίψεις πολλὰς ὑπομείνας, διὰ τὴν τῶν ἁγίων Εἰκόνων προσκύνησιν, ἀνεπαύσατο ἐν Κυρίῳ.

**Ἀπολυτίκιον καὶ Κοντάκιον τῆς Μεταμορφώσεως, ὡς ἄνω.**

**✠ 9. Τοῦ ἁγίου Ἀποστόλου Ματθία.**

Ἀφ' οὗ ὁ προδότης Ἰούδας ἔλαβεν ἀνταξίων τῆς παρανομίας αὐτοῦ

Δημοσία Κεντρική Βιβλιοθήκη Λήξουρίου - Μουσείο Καποδίστρια Ιακωβάτων

τὸν μισθὸν, κρεμασθεὶς ὑπὸ ἀπελπισίας, καὶ τελειώσας τὴν ζωὴν αὐτοῦ διὰ τοῦ ἐλεεινοῦ καὶ κατηγχυμμένου ἐκείνου θανάτου (καθότι πεσὼν ἀπὸ τῆς κρεμάστρας ἐπίστομα, ἔσκασε κατὰ τὸ μέσον τῆς κοιλίας, καὶ πάντα τὰ σπλάγχνα αὐτοῦ ἐξεχύθησαν)· τότε, ἵνα μὴ κολοβωθῇ ὁ ἀριθμὸς τῶν Δώδεκα, εὑρισκόμενοι πάντες οἱ Μαθηταὶ τοῦ Σωτῆρος, μετὰ τὴν Ἀνάληψιν αὐτοῦ, εἰς ἓν συνηγμένοι, ἄνδρες ὁμοῦ καὶ γυναῖκες, τὸν ἀριθμὸν ὡς 120, ἐκλέξαντες δύο ἄνδρας ἐξ ἑαυτῶν, Ἰωσὴφ τὸν καλούμενον Βαρσαβᾶν, ὃς ἐπεκλήθη Ἰοῦστος, (ὅ ἐστι Δίκαιος), καὶ τὸν Ματθίαν τοῦτον, ἔστησαν αὐτοὺς εἰς τὸ μέσον· εἶτα εὐξάμενοι πρὸς Θεὸν, ἔβαλον εἰς αὐτοὺς κλήρους (λαχνούς), καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ Ματθίαν, καὶ συγκατεψηφίσθη μετὰ τῶν ἕνδεκα Ἀποστόλων (Ματθ. κζ'. 5. Πράξ. ά. 15-26). Καὶ οὕτως, ἀναπληρώσας ὁ Ματθίας τὸν κενὸν τοῦ Ἰούδα τόπον, καὶ τὸ ἔργον τῆς ἀποστολῆς αὐτοῦ, ἐπλήρωσε καὶ τὴν περὶ αὐτοῦ προφητείαν, ἣν προεῖπε τὸ Πνεῦμα τὸ ἅγιον διὰ στόματος Δαυΐδ: Γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἠρημωμένη· καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος (Ψαλμ. ξή. 25. ρή. 8.). Μετὰ ταῦτα, ὡς λέγουσι, κηρύξας ὁ Ματθίας τὸ Εὐαγγέλιον ἐν Αἰθιοπίᾳ, ἐτελεύτησεν ἐκεῖ μαρτυρικῶς.

## Ἀπολυτίκιον, Ἦχος γ'.

Ἀπόστολε ἅγιε Ματθία, πρέσβευε τῷ ἐλεήμονι Θεῷ ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

## Κοντάκιον. Ἦχος δ'. Ἐπεφανης σήμερον.

Φωταυγὴς ὡς Ἥλιος, εἰς πάντα κόσμον, ἐξελθὼν ὁ φθόγγος σου, καταφωτίζει τῶν ἐθνῶν, τὴν Ἐκκλησίαν ἐν χάριτι, θαυματοφόρε Ματθία Ἀπόστολε.

## ✠ 10. Τοῦ ἁγίου Μάρτυρος, καὶ ἀρχιδιακόνου Λαυρεντίου.

Οὗτος ὑπῆρχεν ἀρχιδιάκονος τῆς ἐν Ῥώμῃ Ἐκκλησίας, τὰ σκεύη αὐτῆς διοικῶν, καὶ τὰ χρήματα διαμερίζων εἰς τοὺς πένητας. Σκληροτάτου δὲ διωγμοῦ κατὰ τῶν Χριστιανῶν κινηθέντος ὑπὸ τοῦ Οὐαλεριανοῦ, καὶ τοῦ τότε ἀρχιεπισκόπου τῆς Ῥώμης Ξίστου, ἢ Σίξτου τοῦ Β'. ἐπὶ σταυροῦ τελειωθέντος, συλληφθεὶς καὶ ὁ Λαυρέντιος οὗτος, ἤχθη πρὸς τὸν ἔπαρχον· καὶ ἐρωτηθεὶς περὶ τῶν θησαυρῶν τῆς Ἐκκλησίας, ἐζήτησεν ἄδειαν τριῶν ἡμερῶν, πρὸς ἑτοιμασίαν· καὶ ἐν τοσούτῳ συναθροίσας πάντας τοὺς πτωχοὺς, καὶ παραστήσας τῷ ἐπάρχῳ, Ἰδού, εἶπε, τῆς Ἐκκλησίας οἱ θησαυροί. Ἐπὶ τούτου ὀργισθεὶς ἐκεῖνος, ἐκέλευσεν ἁπλωθῆναι αὐτὸν ἐπὶ ἐσχάρας σιδηρᾶς πεπυρακτωμένης. Ὁ δὲ γενναῖος τοῦ Χριστοῦ ἀθλητὴς, ἀντεναντὶ ἐγκαρτερήσας καιόμενος ἐκ τοῦ ἑνὸς μέρους, Στρέψατε μέ, εἶπε, καὶ ἐπὶ τὸ ἕτερον, ἵνα ὅλος καλῶς ὀπτηθῶ. Καὶ τούτου γενομένου, λέγει τότε πρὸς τοὺς τυράννους ὁ Μάρτυς: Γεύσασθε ἤδη καὶ ἴδετε, εἰ αἱ σάρκες τῶν Χριστιανῶν εἰ

σὶν ἡδύτεραι ὠπτημέναι μᾶλλον, ἢ ὠμαί. Ταῦτα εἰπὼν, καὶ εὐξάμενος χριστομιμήτως ὑπὲρ τῶν διωκτῶν καὶ τῶν δημίων αὐτοῦ, ἀφῆκε τὸ πνεῦμα τῇ 10 Αὐγούστου, ἐν ἔτει 258.

**Ἀπολυτίκιον, Ἦχος δ'. Ταχὺ προκατάλαβε.**

Ὁ Μάρτυς σου Κύριε, ἐν τῇ ἀθλήσει αὐτοῦ, τὸ ςέφος ἐκομίσατο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· ἔχων γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλεν· ἔθραυσε καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση. Αὐτοῦ ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν.

**Κοντάκιον, Ἦχος β'. Τὰ ἄνω ζητῶν.**

Πυρὶ θείκῳ, φλεχθεὶς τὴν καρδίαν σου, τὸ πῦρ τῶν παθῶν, εἰς τέλος ἀπετέφρωσας, ἀθλητῶν ἐθραίωμα, θεοφόρε Μάρτυς Λαυρέντιε, καὶ ἐν ἄθλοις ἐβόας πιστῶς: Οὐδέν με χωρίσει τῆς ἀγάπης Χριστοῦ.

✠ **11. Τοῦ ἁγίου Μάρτυρος Εὔπλου τοῦ διακόνου.**

Ἦν ἐκ Κατάνης τῆς Σικελίας· ἤθλησεν ἐπὶ Διοκλητιανοῦ, θριμυτάτας πρότερον ὑπομείνας βασάνους, εἶτα καὶ τὴν ἀποτομὴν τῆς τιμίας αὐτοῦ κεφαλῆς, τῷ 296 ἔτει.

**Ἀπολυτίκιον. Ὁ Μάρτυς σου Κύριε, ὡς ἀνωτέρω.**

**Κοντάκιον, Ἦχος ά. Χορὸς ἀγγελικός.**

Τοὺς νόμους τοῦ Χριστοῦ, ἐν χερσὶ περιφέρων, ἐπέστης ἐχθροῖς, τοῖς ἐχθροῖς ἐν σταδίῳ: Αὐτόκλητος πάρειμι, ἐναθλήσων στερρότατα· ὅθεν κλίνας σου περιχαρῶς τὸν αὐχένα, ὑποδέδεξαι, τὴν ἐκτομὴν τὴν τοῦ ξίφους, τελέσας τὸν δρόμον σου.

✠ **12. Τῶν ἁγίων Μαρτύρων, Φωτίου καὶ Ἀνικήτου.**

Ἤθλησαν ἐν Νικομηδείᾳ τῷ 288 ἔτει, ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ. Ἦν δὲ ὁ Φώτιος ἀνεψιὸς τοῦ Ἀνικήτου.

Ἐν ταύτῃ τῇ ἡμέρᾳ συμψάλλεται καὶ ἡ Ἀκολουθία τοῦ ἁγίου Μαξίμου, διὰ τὸ ἀποδίδοσθαι αὔριον τὴν Ἑορτήν.

**Ἀπολυτίκιον, Ἦχος δ'. Ταχὺ προκατάλαβε.**

Οἱ Μάρτυρές σου Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν, ςεφάνους ἐκομίσαντο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· σχόντες γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλον· ἔθραυσαν καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση. Αὐτῶν ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν.

ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
Δημοσία Κοινοτική Βιβλιοθήκη Λαρισσαίου - Μουσείο Σπηλαίου Θεόδωρος

Τοῦ Ὁσίου, Ἦχος πλ. δ'.

Ὀρθοδοξίας ὁδηγὲ, εὐσεβείας διδάσκαλε καὶ σεμνότητος, τῆς οἰκουμένης ὁ φωστὴρ, τῶν μοναζόντων θεόπνευστον ἐγκαλλώπισμα, Μάξιμε σοφὲ, ταῖς διδαχαῖς σου πάντας ἐφώτισας, λύρα τοῦ Πνεύματος. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος β'. Τὴν ἐν πρεσβείαις.

Τῆς Ἐκκλησίας ὑπέρμαχε θεηγόρε, ὀρθοδοξίας ἀσφάλεια καὶ λαμπρότης, λύρα τῆς εὐσεβείας καὶ ὄργανον, καὶ μοναστῶν τὸ θεῖον καὶ ἱερὸν ἀγλάϊσμα, μὴ παύσῃ πρεσβεύων ὑπὲρ πάντων ἡμῶν.

✠ 13. Τοῦ ὁσίου Πατρὸς ἡμῶν Μαξίμου τοῦ Ὁμολογητοῦ. Ὥρα Ἰανουαρίου 21.

Σήμερον ἀποδίδοται τῆς θείας Μεταμορφώσεως ἡ Ἑορτὴ, καὶ ψάλλονται πάντα τὰ αὐτῆς.

✠ 14. Προεόρτια τῆς Κοιμήσεως τῆς ὑπεραγίας Θεοτόκου· καὶ μνήμη τοῦ ἁγίου Προφήτου Μιχαίου.

Οὗτος, κατὰ τὴν ἐπιγραφὴν τῆς ἰδίας αὐτοῦ προφητείας, ὑπῆρχε Μωρασθίτης τὴν πατρίδα, ἐκ γῆς Ἰούδα, προφητεύσας ὑπὲρ τὰ 50 ἔτη, ἐν ἡμέραις Ἰωάθαμ, καὶ Ἄχαζ, καὶ Ἐζεκίου, βασιλέων Ἰούδα, ὧν ὁ μὲν Ἰωάθαμ ἐβασίλευσε περὶ τὰ 758 πρὸ Χριστοῦ· ὁ δὲ Ἐζεκίας ἐτελεύτησε κατὰ τὸ 698 πρὸ Χ. Ἐκ τούτου δῆλον, ὅτι οὐκ ἔστιν ὁ Μιχαίας ἐκεῖνος, ὁ υἱὸς Ἰεμβλαὰ, ἢ Ἰεμβλὰ (Γ'. Βασ. κβ'.), ὁ ἐλέγξας τὸν Ἀχαάβ, καὶ ὑπὸ τοῦ υἱοῦ αὐτοῦ Ἰωράμ φονευθείς, κατὰ τὸν Συναξαριστήν· καθότι ὁ μὲν Ἰωρὰμ οὗτος ἐβασίλευσε τῷ 896 ἔτει πρὸ Χριστοῦ, ὁ δὲ Μιχαίας προεφήτευεν ἔτι, ὡς εἴρηται, ἐπὶ τῶν ἡμερῶν Ἐζεκίου, ὅς τις ἦν σύγχρονος τοῦ Ὡσηὲ, ἐσχάτου βασιλέως τῶν δέκα φυλῶν τοῦ Ἰσραὴλ, ἐφ' οὗ καὶ τὸ βασίλειον ἐκεῖνο κατεστράφη ὑπὸ Σαλμανασσὰρ βασιλέως Ἀσσυρίων (Δ'. Βασ. ιζ'. 1-6. καὶ ιή. 1). Ἔστι δὲ ὁ Μιχαίας οὗτος ἐκ τῶν Ἐλασσόνων Προφητῶν, ἕκτος τῇ τάξει· ἡ δὲ προφητεία αὐτοῦ διαιρεῖται εἰς τρία κεφάλαια.

Ἀπολυτίκιον, Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Λαοὶ προσκιρτήσατε, χεῖρας κροτοῦντες πιστῶς, καὶ πόθῳ ἀθροίσθητε, σήμερον χαίροντες, καὶ φαιδρῶς ἀλαλάζοντες, πάντες ἐν εὐφροσύνῃ· τῇ Θεοῦ γὰρ ἡ Μήτηρ, μέλλει τῶν ἐπιγείων, πρὸς τὰ ἄνω ἀπαίρειν ἐνδόξως· ἣν ἐν ὕμνοις ἀεὶ, ὡς Θεοτόκον δοξάζομεν.

ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

Κοντάκιον Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Τῇ ἐνδόξῳ μνήμῃ σου, ἡ οἰκουμένη, προσκιρτῶσα σήμερον, μετ' εὐφροσύνης μυσικῶς, Θεοκυῆτορ κραυγάζει σοι: Χαῖρε Παρθένε, Χριστιανῶν τὸ καύχημα.

## ΗΚΟΙΜΗΣΙΣ ΤΗΣ ΘΕΟΤΟΚΟΥ.



✠ 15. Ἡ Κοίμησις τῆς ὑπεραγίας ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας.

Περὶ τῆς Κοιμήσεως τῆς Θεοτόκου, ταῦτα παρέλαβεν ἡ Ἐκκλησία ἐξ ἀρχαίας τῶν Πατέρων παραδόσεως. Ὅτι, πλησιάσαντος τὸ καιροῦ, καθ' ὃν ὁ Σωτὴρ ἡμῶν εὐδόκησεν, ἵνα παραλάβῃ πρὸς ἑαυτὸν τὴν ἑαυτοῦ Μητέρα, ἐμήνυσεν αὐτῇ δι' Ἀγγέλου, πρὸ τριῶν ἡμερῶν, τὴν ἀπὸ τῆς προσκαίρου ζωῆς μετάβασιν αὐτῆς εἰς τὴν αἰώνιον καὶ μακαρίαν. Ἡ δὲ τοῦτο ἀκούσασα, ἀνέβη μετὰ σπουδῆς εἰς τὸ Ὄρος τῶν Ἐλαιῶν, ὅπου συνεχῶς ἀπερχομένη προσηύχετο· καὶ εὐχαριστήσασα τῷ Θεῷ, ὑπέστρεψεν εἰς τὴν οἰκίαν, καὶ ἡτοίμαζε τὰ πρὸς ἐνταφιασμόν. Ἐνῷ ταῦτα ἐγίνοντο, νεφέλαι ἁρπάσασαι τοὺς Ἀποστόλους ἐκ τῶν περάτων τῆς γῆς, ἔνθα ἔτυχεν ἕκαστος κηρύττων, παρέστησαν αὐτοὺς διαμιᾶς εἰς τὴν οἰκίαν τῆς Θεομήτορος· ἥτις, τὴν αἰτίαν τῆς αἰφνιδίου αὐτῶν συνδρομῆς δηλοποιήσασα, καὶ τὴν θλῖψιν αὐτῶν, ὡς εἰκός, μητρικῶς παραμυθησαμένη, ὕψωσεν ἔπειτα τὰς χεῖρας εἰς οὐρανόν, ἐδεήθη ὑπὲρ τῆς τοῦ κόσμου εἰρήνης, εὐλόγησε τοὺς Ἀποστόλους, εἶτα ἐπὶ τῆς κλίνης ἀναπεσοῦσα, καὶ τὸ σῶμα αὐτῆς σχηματίσασα, ὡς αὐτὴ ἠβουλήθη, οὕτω τὴν παναγίαν αὐτῆς ψυχὴν παρέθετο εἰς χεῖρας τοῦ ἑαυτῆς Υἱοῦ καὶ Θεοῦ.

Οἱ δὲ Ἀπόστολοι, ἅραντες μετ' εὐλαβείας καὶ λαμπαδοφορίας πολλῆς, τοῦ θεοδόχου ἐκείνου σώματος τὴν κλίνην, καὶ ὕμνους ἐπιταφίους ψάλλοντες, ἐκόμιζον ἐπὶ τὸ μνῆμα, ὅτε καὶ Ἄγγελοι συνέψαλλον οὐρανόθεν, προπέμποντες τὴν ἀνωτέραν τῶν Χερουβίμ. Εἷς δὲ τῶν Ἰουδαίων, φθόνῳ κινηθείς, καὶ αὐθαδῶς ἐπὶ τὴν κλίνην τὰς χεῖρας

ἀπλώσας, ἔλαβεν ἀμέσως τῆς ἀυθαδείας αὐτοῦ τὰ ἐπίχειρα παρὰ τῆς θείας δίκης, κοπεὶς τὰς τολμηρὰς ταύτας χεῖρας ἀοράτῳ πληγῇ· Φθάσαντες δὲ εἰς χωρίον, καλούμενον Γεθσημανῆ, ἔθαψαν ἐκεῖ ἐντίμως τὸ πανάχραντον καὶ ζωαρχικὸν τῆς Θεοτόκου Σῶμα. Ἀλλὰ τῇ τρίτῃ ἡμέρᾳ μετὰ τὴν ταφὴν, ὅτε, παραμυθίαν ὁμοθυμαδὸν ποιούμενοι, ἀνύψουν, κατὰ τὸ σύνηθες, τὸν εἰς ὄνομα τοῦ Ἰησοῦ κείμενον ἄρτον, ἐπιφαίνεται ἡ Θεοτόκος ἐν τῷ ἀέρι, λέγουσα αὐτοῖς τό: Χαίρετε, καὶ ὅσα ἐφεξῆς ἐγράφησαν σελ. 121, ἅπερ ἀνάγνωθι ἐκεῖ· ἐξ ὧν ἐπέγνωσαν τὴν εἰς οὐρανοὺς ἔνσωμον μετάστασιν τῆς Θεοτόκου.

Ταῦτα παραλαβοῦσα ἡ Ἐκκλησία ἐκ παραδόσεων πατρικῶν, καὶ πολλὰ ἐξ αὐτῶν ἁσματογραφήσασα, ὡς ὑπόθεσιν εὐλαβείας, ψάλλει κατὰ τὴν σήμερον, εἰς δόξαν τῆς Μητρὸς τοῦ Θεοῦ ἡμῶν.

Ἀργία, καὶ ἰχθύος Κατάλυσις.

Ἀπολυτίκιον, Ἦχος α.

Ἐν τῇ Γεννήσει, τὴν παρθενίαν ἐφύλαξας· ἐν τῇ Κοιμήσει, τὸν κόσμον οὐ κατέλιπες Θεοτόκε· μετέστης πρὸς τὴν ζωὴν, Μήτηρ ὑπάρχουσα τῆς ζωῆς, καὶ ταῖς πρεσβείαις ταῖς σαῖς λυτρουμένη, ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον αὐτόμελον, Ἦχος β΄.

Τὴν ἐν πρεσβείαις ἀκοίμητον Θεοτόκον, καὶ προστασίαις ἀμετάθετον ἐλπίδα, τάφος καὶ νέκρωσις οὐκ ἐκράτησεν· ὡς γὰρ ζωῆς Μητέρα, πρὸς τὴν ζωὴν μετέστησεν, ὁ μήτραν οἰκήσας ἀειπάρθενον.

✠ 16. Ἡ ἐξ Ἐδέσσης Ἀνακομιδὴ τῆς ἀχειροποιήτου Εἰκόνος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἤτοι τοῦ ἁγίου Μανδηλίου· καὶ μνήμη τοῦ ἁγίου Μάρτυρος Διομήδους.

Ἀπολυτίκιον, Ἦχος β΄.

Τὴν ἄχραντον Εἰκόνα σου προσκυνοῦμεν ἀγαθὲ, αἰτούμενοι συγχώρησιν τῶν πταισμάτων ἡμῶν Χριστὲ ὁ Θεός· βουλήσει γὰρ ηὐδόκησας σαρκὶ ἀνελθεῖν ἐν τῷ Σταυρῷ, ἵνα ῥύσῃ οὓς ἔπλασας ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ· ὅθεν εὐχαρίστως βοῶμέν σοι: Χαρᾶς ἐπλήρωσας τὰ πάντα ὁ Σωτὴρ ἡμῶν, παραγενόμενος εἰς τὸ σῶσαι τὸν κόσμον.

Καὶ τῆς Ἑορτῆς, Ἐν τῇ Γεννήσει τὴν παρθενίαν.

✠ 17. Τοῦ ἁγίου Μάρτυρος Μύρωνος.

Ἀπολυτίκιον, καὶ Κοντάκιον τῆς Ἑορτῆς:

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Λήμνου - Μουσείο Αρχαιοτήτων

Ψ 18. Τῶν ἁγίων Μαρτύρων, Φλώρου καὶ Λαύρου.
Ἀπολυτίκιον, καὶ Κοντάκιον τῆς Ἑορτῆς.

Ψ 19. Τοῦ ἁγίου Μάρτυρος Ἀνδρέου τοῦ Στρατηλάτου, καὶ τῶν σὺν αὐτῷ διςχιλίων πεντακοσίων ἐννενήκοντα τριῶν.
Ἀπολυτίκιον, καὶ Κοντάκιον τῆς Ἑορτῆς.

Ψ 20. Τοῦ ἁγίου Προφήτου Σαμουήλ.

Ὁ ἁγιώτατος οὗτος ἀνὴρ, ὁ παιδιόθεν Προφήτης τοῦ Θεοῦ, καὶ Κριτὴς τῶν Ἰσραηλιτῶν ὁ ἔσχατος, ὑπῆρχεν ἐκ πόλεως Ἁρμαθαὶμ, ἐκ φυλῆς Λευὶ, υἱὸς Ἑλκανὰ καὶ Ἄννης τῆς Προφήτιδος, γεννηθεὶς περὶ τὸ 1155 ἔτος πρὸ Χριστοῦ. Ὠνομάσθη ὑπὸ τῆς μητρὸς αὐτοῦ, Σαμουὴλ, ὅ ἐςι μεθερμηνευόμενον, Θεαίτητος· διότι στεῖρα οὖσα πρότερον, ᾐτήσατο τέκνον παρὰ Θεοῦ, διὰ πολλῶν δεήσεων καὶ δακρύων θερμῶν· τεκοῦσα δὲ τοῦτον καὶ ἀπογαλακτίσασα, ἤγαγεν αὐτὸν εἰς τὴν πόλιν Σηλὼμ, ἐν ᾗ εὑρίσκετο τότε ἡ Θεία Κιβωτός· καὶ νήπιον ἔτι ὄντα, ἀφιερώσασα αὐτὸν, κατὰ τὴν ὑπόσχεσιν, εἰς λειτουργίαν Θεοῦ, εὐχαρίστησεν αὐτῷ, ψάλλουσα τὴν Γ'. Ὠδὴν τῆς Παλαιᾶς Διαθήκης: Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, κ. τ. λ. σελ. 59. Εἶτα, αὐτὴ μὲν ὑποστρέψασα εἰς τὸν οἶκον αὐτῆς, ἐγέννησεν ἔπειτα τρεῖς ἑτέρους υἱοὺς, καὶ δύο θυγατέρας· ὁ δὲ Σαμουὴλ ἔμεινεν εἰς Σηλὼμ, ὑπὸ τὴν προστασίαν Ἠλὶ, τοῦ τότε ἀρχιερέως τῶν Ἰουδαίων, ὑπηρετῶν εἰς τὴν Σκηνὴν τοῦ Θεοῦ, καὶ διὰ τοῦ σεμνοτάτου αὐτοῦ πολιτεύματος, εὐαρεστῶν Θεῷ καὶ ἀνθρώποις, κατὰ τὴν μαρτυρίαν τῆς Θείας Γραφῆς: Καὶ τὸ παιδάριον Σαμουὴλ ἐπορεύετο καὶ ἐμεγαλύνετο, καὶ ἦν ἀγαθὸν μετὰ Κυρίου καὶ μετὰ ἀνθρώπων (Α'. Βασ. β'. 26.). Κοιμώμενον δὲ τὸ ἀγαθὸν τοῦτο παιδάριον ἐν τῷ ναῷ, ὅπου ἦν ἡ τοῦ Θεοῦ Κιβωτὸς, ἀκούει φωνὴν τρὶς καὶ τετράκις καλοῦσαν αὐτὸ ἐξ ὀνόματος, καὶ λέγουσαν: Σαμουὴλ, Σαμουήλ. Ἡ φωνὴ αὕτη ἦν φωνὴ τοῦ Θεοῦ, ὅς τις ἀνήγγειλεν εἰς τὸν Σαμουὴλ τὴν ἀπόφασιν αὐτοῦ περὶ τῆς μελλούσης καταστροφῆς τοῦ Ἠλί· διότι ἦτος, ἔχων δύο υἱοὺς, Ὀφνὶ καὶ Φινεὲς καλουμένους, νέους παρανομωτάτους καὶ τοῦ Θεοῦ καταφρονητὰς, οὐκ ἐφρόντισε παντοίῳ τρόπῳ τὴν τούτων διόρθωσιν. Καὶ ἡ μὲν Θεία ἀπόφασις ἐπληρώθη ἐν καιρῷ, καὶ πᾶσα ἡ οἰκογένεια τοῦ Ἠλὶ ἐξωλοθρεύθη ἐν μιᾷ ἡμέρᾳ· παράδειγμα φοβερὸν τῶν ἀμελούντων τῶν ἰδίων τέκνων τὴν καλὴν ἀνατροφὴν, καὶ τῶν παρανομιῶν αὐτῶν τὴν πρέπουσαν παίδευσιν.

Ὁ δὲ Σαμουὴλ, ἐκλεχθεὶς μετὰ ταῦτα εἰς τὴν προστασίαν τοῦ λαοῦ, ἔκρινεν αὐτὸν ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, γινόμενος εἰς αὐτὸν τύπος καλῶν ἔργων, καὶ νομίζων μέγα ἁμάρτημα, ἐάν παύσῃ ποτὲ προσευχόμενος ὑπὲρ αὐτοῦ, καὶ τὴν ἄφεσιν τῶν πλημμελημάτων αὐτοῦ παρὰ Θεοῦ ἐξαιτούμενος, ὡς εἶπεν ὁ ἴδιος ἐνώπιον πάντων· Ἐμοὶ μηδαμῶς (γένοιτο) τοῦ ἁμαρτεῖν τῷ Κυρίῳ, ἀνιέναι

ΑΠΟΡΡΗΤΟΝ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ἀπορρήτων Βιβλιοθήκη Κεντρική Υπηρεσία - Ἱερὸν Τριμονάστηριον Ἁγίου Ἰωάννου Προδρόμου

τοῦ προσεύχεσθαι περὶ ὑμῶν· καὶ δουλεύσω τῷ Κυρίῳ, καὶ δείξω ὑμῖν τὴν ὁδὸν τὴν ἀγαθὴν καὶ τὴν εὐθεῖαν (αὐτ. ιβ'. 23.). Τὴν δὲ δικαιοσύνην αὐτοῦ καὶ ἀφιλοκέρδειαν, δι' ἣν ἐκυβέρνα τὸν λαὸν, καὶ ἐδίκαζε τὰς ὑποθέσεις ἑκάστου, ὡμολόγησαν πάντες, ὅτε ἠρώτησεν αὐτοὺς, ἐπὶ Θεῷ μάρτυρι, ἵνα εἴπωσιν ἐν συνειδήσει, ἐὰν ἠδίκησε ποτέ τινα, ἢ ἔλαβε παρά τινος ἢ κτῆμα, ἢ χρῆμα, ἢ δῶρον, μέχρι καὶ ἑνὸς ὑποδήματος εὐτελοῦς. Οἱ δὲ ἀπεκρίθησαν ὁμοφώνως, λέγοντες: Οὐκ ἠδίκησας ἡμᾶς, καὶ οὐ κατεδυνάστευσας ἡμᾶς, καὶ οὐκ ἔθλιψας ἡμᾶς, καὶ οὐκ εἴληφας ἐκ χειρὸς οὐδενὸς οὐδέν (αὐτ. 2-4). Αἰτήσαντος δὲ τοῦ λαοῦ βασιλέα, περὶ τὸ γῆρας αὐτοῦ, ἔχρισεν αὐτοῖς τὸν Σαοὺλ ἀλλὰ παρακούσαντα μετ' ὀλίγον τοῦ θείου προστάγματος, ἤλεγξεν αὐτὸν ἐκ προσώπου τοῦ Κυρίου, καὶ ἀπελθὼν ἔχρισε τὸν Δαυΐδ, τοῦ Θεοῦ τοῦτο κελεύσαντος. Ζήσας δὲ ἀνεπίληπτος κατὰ πάντα ἔτη 98, καὶ γενόμενος τοῖς πᾶσι παράδειγμα ζωῆς θεαρέστου, ἐτελεύτησε περὶ τὰ 1057 πρὸ Χριστοῦ. Εἰς τοῦτον ἀποδίδοται ὑπὸ τῶν πλειόνων τὸ βιβλίον τῶν Κριτῶν, τῆς Ρούθ, καὶ τὰ 24 πρῶτα κεφάλαια τοῦ Α'. τῶν Βασιλειῶν βιβλίου.

## Ἀπολυτίκιον, καὶ Κοντάκιον τῆς Ἑορτῆς.

## Ἦχ. 21. Τοῦ ἁγίου Ἀποστόλου Θαδδαίου· καὶ τῆς ἁγίας Μάρτυρος Βάσσης, καὶ τῶν τέκνων αὐτῆς, Θεογνίου, Ἀγαπίου, καὶ Πιστοῦ.

Οἱ μὲν Μάρτυρες ἦσαν ἐκ πόλεως Ἐδέσσης, τῆς ἐν Μεσοποταμίᾳ· ἤθλησαν δὲ ἐπὶ Μαξιμιανοῦ, τῷ 290 ἔτει. Ὁ δὲ Ἀπόστολος, Ἐδεσσηνὸς ὢν καὶ αὐτὸς τὴν πατρίδα, Ἰουδαῖος δὲ τὸ γένος, ἐλθὼν εἰς Ἱερουσαλὴμ, ἐγένετο μαθητὴς τοῦ Χριστοῦ, ᾧ καὶ ἠκολούθησε μέχρι τοῦ πάθους. Μετὰ δὲ τὴν Ἀνάληψιν αὐτοῦ, περὶ τὸ 36 σωτήριον ἔτος, ἀπελθὼν εἰς τὴν ἑαυτοῦ πατρίδα, καὶ κατηχήσας καὶ βαπτίσας τὸν τοπάρχην αὐτῆς Ἄβγαρον, ἐθεράπευσεν αὐτὸν ἀπὸ τοῦ ἀνιάτου πάθους, ὑφ' οὗ ἔπασχε δεινῶς. Κηρύξας δὲ ἐν Μεσοποταμίᾳ, ἐτελεύτησε μαρτυρικῶς. Περὶ τούτου οἱ μὲν λέγουσιν, ὅτι ἐστὶν ἐκ τοῦ χοροῦ τῶν Δώδεκα, ὁ ὑπὸ τοῦ Ματθαίου ὀνομαζόμενος Λεββαῖος, ὁ ἐπικληθεὶς Θαδδαῖος (ί, 3). Ὁ δὲ Εὐσέβιος λέγει αὐτὸν ἐκ τῶν Ἑβδομήκοντα, ταῦτα ἐπὶ λέξεως γράφων περὶ αὐτοῦ: "Μετὰ γοῦν τὴν ἐκ νεκρῶν Ἀνάστασιν, καὶ τὴν εἰς οὐρανὸς ἄνοδον αὐτοῦ (τοῦ Χριστοῦ), Θωμᾶς, τῶν Ἀποστόλων εἷς τῶν Δώδεκα, Θαδδαῖον, ἐν ἀριθμῷ καὶ αὐτὸν τῶν Ἑβδομήκοντα τοῦ Χριστοῦ Μαθητῶν κατειλεγμένον, κινήσει θειοτέρᾳ ἐπὶ τὴν Ἔδεσσαν κήρυκα καὶ Εὐαγγελιστὴν τῆς περὶ τοῦ Χριστοῦ διδασκαλίας ἐκπέμπει (Ἱστορ. Ἐκκλ. α'. 13)". Τὸ δὲ, Ἄβγαρος, γράφεται παρ' αὐτῷ Ἄγβαρος ὅπερ ἕτεροι γράφουσιν, Αὔγαρος.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Ιστορικό Κεντρικό Αρχείο Μακεδονίας
Μονάδα Τυπογραφιών Εγγράφων

Ἀπολυτίκιον. Ἦχος γ΄.

Ἀπόστολε ἅγιε Θαδδαῖε, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

✠ 22. Τοῦ ἁγίου Μάρτυρος Ἀγαθονίκου.

Σήμερον συμψάλλεται καὶ ἡ Ἀκολουθία τοῦ ἁγίου Μάρτυρος Λούππου, διὰ τὸ ἀποδίδοσθαι αὔριον τὴν Ἑορτήν.

Ἀπολυτ. τῶν Μαρτύρ. Οἱ Μάρτυρές σου Κύριε. Σελ. 351.

Καὶ τῆς Ἑορτῆς.

Κοντάκιον. Ἦχος α΄. Χορὸς ἀγγελικός.

Τὴν κλῆσιν ἀγαθὴν, κεκτημένος θεόφρον, ἀνδρῶν τῶν πονηρῶν, ἀπεστράφης τὸ σέβας, μὴ πτήξας, τὰ βάσανα, Ἀγαθόνικε ἔνδοξε· ὅθεν γέγονας, τῶν ἀγαθῶν κληρονόμος, καὶ ἀπείληφας, σὺν τοῖς συνάθλοις ἀξίως, τὸν ἄφθαρτον στέφανον.

✠ 23. Τοῦ ἁγίου Μάρτυρος Λούππου.

Ἐν ταύτῃ τῇ ἡμέρᾳ ἀποδίδοται ἡ Ἑορτὴ τῆς Θεοτόκου, καὶ ψάλλονται πάντα τὰ αὐτῆς.

✠ 24. Τοῦ ἁγίου Ἱερομάρτυρος Εὐτυχοῦς, μαθητοῦ Ἰωάννου τοῦ Θεολόγου.

Ἀπολυτίκιον. Ἦχος δ΄.

Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος, τῶν Ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὗρες θεόπνευστε, εἰς θεωρίας ἐπίβασιν· διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίσει ἐνήθλησας μέχρις αἵματος, Ἱερομάρτυς Εὐτυχές. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

✠ 25. Ἡ ἐπάνοδος τοῦ Λειψάνου τοῦ ἁγίου Ἀποστόλου Βαρθολομαίου· καὶ μνήμη τοῦ ἁγίου Ἀποστόλου Τίτου.

Περὶ μὲν τοῦ Βαρθολομαίου ὅρα Ἰουνίου 11. Ὁ δὲ Τίτος ἦν Ἕλλην τὸ γένος, καὶ τὴν θρησκείαν ἐθνικός. Πιστεύσας δὲ εἰς Χριστὸν διὰ τοῦ Ἀποστόλου Παύλου, ἐγένετο μαθητὴς αὐτοῦ καὶ ἀκόλουθος, καὶ μεγάλως συνήργησεν εἰς τὸ κήρυγμα τοῦ Εὐαγγελίου. Χειροτονήσας δὲ αὐτὸν ὁ Παῦλος τῆς Κρήτης ἐπίσκοπον, ἔγραψεν ἔπειτα καὶ τὴν εἰς ὄνομα αὐτοῦ ἐπιγραφομένην Ἐπιστολήν. Ὁ δὲ ἀποστολικῶς ποιμάνας τὸ ἐμπιστευθὲν αὐτῷ ποίμνιον, καὶ γενόμενος πλήρης ἡμερῶν, ἐτελεύτησεν ἐν εἰρήνῃ, ζήσας ἔτη περὶ τὰ 94.

ΑΘΗΝΑΪΚΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ἀπολυτίκιον, Ἦχος γ΄.

Ἀπόστολοι ἅγιοι, πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Κοντάκιον τοῦ Βαρθολομαίου, Ἦχος α΄.

Τὸν τάφον σου Σωτήρ.

Ἡ κάθοδος τῶν σῶν, παναγίων λειψάνων, ὑπόθεσις ἡμῖν, ἑορτῆς φαιδροτάτης, πανεύφημε γέγονε, τοῦ Κυρίου Ἀπόστολε· ἣν γεραίροντες, εὐσεβοφρόνως τιμῶμεν, σὲ τὸν ἄδυτον, Βαρθολομαῖε λαμπτῆρα, Χριστὸν μεγαλύνοντες.

Ἕτερον τοῦ Τίτου, Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Τοῦ Παύλου δειχθεὶς, συνόμιλος Ἀπόστολε, σὺν τούτῳ ἡμῖν, τὸν λόγον προκατήγγειλας, τῆς ἐνθέου χάριτος, μυσολέκτα Τίτε ἀοίδιμε· διὰ τοῦτο βοῶμέν σοι: Πρεσβεύων μὴ παύσῃ ὑπὲρ πάντων ἡμῶν.

✠ 26. Τῶν ἁγίων Μαρτύρων, Ἀδριανοῦ καὶ Ναταλίας. Ἀπολυτίκιον. Οἱ Μάρτυρές σου Κύριε. Σελ. 351.

Κοντάκιον, Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Γυναικὸς θεόφρονος, τοὺς θείους λόγους, ἐν καρδίᾳ θέμενος, Ἀδριανὲ Μάρτυς Χριστοῦ, ἐν ταῖς βασάνοις προσέδραμες, σὺν τῇ συζύγῳ τὸ στέφος δεξάμενος.

✠ 27. Τοῦ ὁσίου Πατρὸς ἡμῶν Ποιμένος.

Ἀπολυτίκιον, Ἦχος πλ. δ΄.

Ταῖς τῶν δακρύων σου ροαῖς, τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας· καὶ τοῖς ἐκ βάθους στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας· καὶ γέγονας φωστὴρ, τῇ οἰκουμένῃ λάμπων τοῖς θαύμασι, Ποιμὴν Πατὴρ ἡμῶν ὅσιε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Τῶν λαμπρῶν ἀγώνων σου, ὅσιε Πάτερ, ἡ ἁγία σήμερον, ἐπέστη μνήμη τὰς ψυχὰς, τῶν εὐσεβῶν κατευφραίνουσα, Ποιμὴν θεόφρον, Πατὴρ ἡμῶν ὅσιε.

✠ 28. Τοῦ ὁσίου Πατρὸς ἡμῶν Μωϋσέως τοῦ Αἰθίοπος.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Δήμου Πειραιώς - Μουσείο Τσαλδάρη

Ἀπολυτ. Ἦχος ά. Τοῦ λίθου σφραγισθέντος.

Τῆς ἐρήμου πολίτης, καὶ ἐν σώματι ἄγγελος, καὶ θαυματουργὸς ἀνεδείχθης, θεοφόρε Πατὴρ ἡμῶν Μωϋσῆ· νηστείᾳ, ἀγρυπνίᾳ, προσευχῇ, οὐράνια χαρίσματα λαβών, θεραπεύεις τοὺς νοσοῦντας, καὶ τὰς ψυχὰς τῶν πίστει προστρεχόντων σοι. Δόξα τῷ δεδωκότι σοι ἰσχύν· δόξα τῷ σὲ στεφανώσαντι· δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Κοντάκιον, Ἦχος γ'. Θείας πίστεως.

Θείαν ἔλλαμψιν καταπλουτήσας, σκότος ἔλυσας παθῶν παμμάκαρ, καὶ εὐχαῖς σου ταῖς ἀγρύπνοις ἐμάρανας, τὸ τῆς σαρκὸς ἐπαιρόμενον φρόνημα, καὶ πρὸς τὴν ἄνω ἐπέβης ἀκρόπολιν. Πάτερ ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

✠ 29. Ἡ Ἀποτομὴ τῆς τιμίας Κεφαλῆς τοῦ ἁγίου ἐνδόξου Προφήτου, Προδρόμου, καὶ Βαπτιστοῦ Ἰωάννου.

Ὁ θεῖος οὗτος Βαπτιστὴς, ὁ ἐκ Προφήτου Προφήτης, καὶ πάντων τῶν Προφητῶν ἡ σφραγὶς, καὶ τῶν Ἀποστόλων ἡ ἔναρξις, ὁ μεσίτης τῆς Παλαιᾶς καὶ τῆς Νέας τοῦ Θεοῦ Διαθήκης, ἡ Φωνὴ τοῦ βοῶντος ἐν τῇ ἐρήμῳ, ὁ θεόπεμπτος Ἄγγελος τοῦ σαρκωθέντος Μεσσίου, καὶ τῆς ἐν τῷ κόσμῳ παρουσίας αὐτοῦ Πρόδρομος καὶ προετοιμαστὴς (Ἡσ. μ'. 3. Μαλαχ. γ'. 1)· ὁ διὰ πολλῶν θαυμασίων καὶ συλληφθεὶς, καὶ γεννηθεὶς, καὶ Πνεύματος ἁγίου πλησθεὶς ἔτι ἐκ κοιλίας μητρὸς αὐτοῦ, καὶ προελθὼν ὡς ἄλλος Ἠλίας ζηλωτὴς, οὗ τινος ἐμιμήθη καὶ τὸν ἐρημικὸν βίον, καὶ τὸ ἀσκητικὸν ἔνδυμα, καὶ τὴν δερματίνην ζώνην περὶ τὴν ὀσφὺν, καὶ τὸν ἔνθεον ζῆλον ὑπὲρ τῆς τοῦ νόμου φυλακῆς (ὅρα Σεπτεμ. 23. Μαρτ. 25. Ἰουν. 24. Ἰουλ. 20.)· οὗτος, λέγω, ἀφ' οὗ ἐκήρυξεν εἰς τὸν λαὸν τὸ βάπτισμα τῆς μετανοίας, κατὰ τὴν θείαν ἐπιταγὴν (Ἰαν. 6), ἀφ' οὗ ἐδίδαξε τὰ πρακτέα καὶ ἰδιώτας καὶ ἀξιωματικοὺς, καὶ ὑπέδειξε παντὸς ἐπαγγέλματος τὰ χρέη, ἀφ' οὗ κατέπληξε τοὺς βαπτιζομένους ὑπ' αὐτοῦ, διὰ τοῦ θείου φόβου, ὅτι οὐδεὶς δύναται φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς, ἐὰν μὴ ποιήσῃ καρποὺς ἀξίους τῆς μετανοίας, ἀφ' οὗ, διὰ τοῦ τοιούτου κηρύγματος, ἐστερέπισε τὰς καρδίας αὐτῶν, εἰς ὑποδοχὴν τῆς εὐαγγελικῆς τοῦ Σωτῆρος διδασκαλίας, ἀφ' οὗ, τέλος πάντων, καὶ αὐτὸν τοῦτον τὸν Σωτῆρα δακτυλοδεικτήσας αὐτοῖς, εἶπεν: Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου (Λουκ. γ'. 2-18. Ἰωάν. ά. 29) ἐπεσφράγισεν ὕστερον καὶ διὰ τοῦ ἰδίου αἵματος τὴν ἀλήθειαν τῶν ἑαυτοῦ λόγων, γενόμενος ὑπὲρ τοῦ θείου νόμου σφάγιον ἱερὸν, ὑπὸ χειρὸς ἀνδρὸς παραιόμου.

Ἡρῴδης ἦν οὗτος, ὁ Τετράρχης τῆς Γαλιλαίας, ὁ τοῦ Μ. Ἡρῴδου υἱὸς, ὁ ἐπονομαζόμενος Ἀντίπας· ὅς τις, ἔχων γυναῖκα νόμιμον, τὴν θυγατέρα τοῦ βασιλέως τῆς Ἀραβίας Ἀρέτα, ἢ Ἀρέθα, αὐτὴν μὲν ἀναιτίως ἀπέβαλεν· ἥρπασε δὲ, παρὰ πᾶσαν νόμου διαταγὴν, τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ, Ἡρωδιάδα, τεκοῦσαν καὶ θυγάτριον ἐξ ἐκείνου, Σαλώμην τὸ ὄνομα. Τὴν ἁρπαγὴν ταύτην καὶ μίξιν τὴν ἄθεσμον οὐκ ἐπαύετο ἐλέγχων ὁ κήρυξ τῆς μετανοίας, καὶ τῶν ἀνομούντων εὐπαρρησίαστος καὶ αὐστηρὸς ἐπιπλήκτωρ: Οὐκ ἔξεστί σοι, λέγων αὐτῷ, ἔχειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου (Μάρ. ϛ'. 18). Ὁ δὲ Ἡρῴδης, πρὸς τοῖς ἄλλοις αὐτοῦ ἀνοσιουργήμασι, προσέθηκεν ἔτι καὶ τοῦτο· καὶ συλλαβὼν τὸν Ἰωάννην, κατέκλεισεν εἰς δεσμωτήριον· καὶ ἐφόνευεν ἴσως αὐτὸν παρευθὺς, εἰ μὴ ἔλειπε τοῦ τυράννου ἡ συστολὴ, διὰ τὴν τοῦ ὄχλου πρὸς τὸν Ἰωάννην ἄκραν εὐλάβειαν, καὶ προσέτι, διὰ τὸ ὁπωσδήποτε σέβας, ὅπερ ἐξ ἀρχῆς καὶ αὐτὸς πρὸς τὸν δίκαιον καὶ ἅγιον τοῦτον ἄνδρα ὑπέτρεφεν. Ἀλλὰ τελευταῖον, ὑπὸ τοῦ οἴστρου τῆς θηλυμανίας κεντούμενος, ἐπέβαλε τὰς μιαρὰς αὐτοῦ χεῖρας ἐπὶ τὸν τῆς ἁγνείας διδάσκαλον, κατὰ τὴν ἑορτάσιμον τῶν γενεθλίων αὐτοῦ ἡμέραν· ὅτε ἡ μὲν Σαλώμη ὠρχήσατο κατ' ἀρέσκειαν αὐτοῦ, καὶ τῶν μετ' αὐτοῦ συμποσιαζόντων, αὐτὸς δὲ ἐποίησε πρὸς αὐτὴν μεθ' ὅρκου τὴν πάσης ἀφροσύνης ἀφρονεστέραν ὑπόσχεσιν, ὅτι, κἂν τὸ ἥμισυ τῆς βασιλείας αὐτοῦ αἰτήσῃ, δώσει αὐτῇ, εἰς μισθὸν τῆς ὀρχήσεως. Καὶ ἡ μὲν ἀναιδὴς ὀρχήστρια, τὴν μητέρα συμβουλευθεῖσα, αἰτεῖ πάραυτα ἐπὶ δίσκου τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ. Ὁ δὲ παραβάτης τοῦ θείου νόμου, νόμου τήρησιν περὶ τὸν ὅρκον ὑποκρινόμενος, βάλλει εἰς πρᾶξιν τῆς ψυχῆς αὐτοῦ τὴν διάθεσιν, καὶ πληροῖ τὸ ἐναγὲς αὐτοῦ συμπόσιον αἱμάτων προφητικῶν· καὶ ἡ πάντιμος ἐκείνη κεφαλὴ, αἰδέσιμος καὶ εἰς τοὺς Ἀγγέλους, δίδοται βραβεῖον βεβήλου ὀρχήσματος, καὶ γίνεται παίγνιον ἀκολάστου θυγατρὸς, καὶ μητρὸς μοιχαλίδος· Τὸ δὲ πανίερον σῶμα τοῦ θείου Βαπτιστοῦ, ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ, ἦραν καὶ ἔθηκαν ἐν μνημείῳ (Μάρκ. ϛ'. 21-29).

## Ἀργία, καὶ Νηστεία.

## Ἀπολυτίκιον, Ἦχος β'.

Μνήμη δικαίοις μετ' ἐγκωμίων· σοὶ δὲ ἀρκέσει ἡ μαρτυρία τοῦ Κυρίου Πρόδρομε· ἀνεδείχθης γὰρ ὄντως καὶ Προφητῶν σεβασμιώτερος, ὅτι καὶ ἐν ῥείθροις βαπτίσαι κατηξιώθης τὸν κηρυττόμενον. Ὅθεν τῆς ἀληθείας ὑπεραθλήσας, χαίρων εὐηγγελίσω καὶ τοῖς ἐν Ἅιδῃ, Θεὸν φανερωθέντα ἐν σαρκὶ, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

Κοντάκιον, Ἦχος πλ. ά.

Ἡ τοῦ Προδρόμου ἔνδοξος ἀποτομή, οἰκονομία γέγονέ τις θεϊκή, ἵνα καὶ τοῖς ἐν Ἅιδῃ τοῦ Σωτῆρος κηρύξῃ τὴν ἔλευσιν. Θρηνείτω οὖν Ἡρωδιὰς ἄνομον φόνον αἰτήσασα· οὐ νόμον γὰρ τὸν τοῦ Θεοῦ, οὐ ζῶντα αἰῶνα ἠγάπησεν, ἀλλ' ἐπίπλαστον πρόσκαιρον.

✠ 30. Τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν, ἀρχιεπισκόπων Κωνσταντινουπόλεως, Ἀλεξάνδρου, Ἰωάννου, καὶ Παύλου τοῦ Νέου.

Ἀπολυτίκιον τοῦ Προδρόμου, ὡς ἄνω.

Καὶ τῶν Ἁγίων, Ἦχος δ'.

Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὁ ποιῶν ἀεὶ μεθ' ἡμῶν, κατὰ τὴν σὴν ἐπιείκειαν, μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν· ἀλλὰ ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ κυβέρνησον τὴν ζωὴν ἡμῶν.

Κοντάκιον τοῦ Προδρόμου, ὡς ἄνω.

✠ 31. Ἡ κατάθεσις τῆς τιμίας Ζώνης τῆς ὑπεραγίας Θεοτόκου.

Κατάλυσις οἴνου καὶ ἐλαίου.

Ἀπολυτίκιον, Ἦχος πλ. δ'.

Θεοτόκε ἀειπάρθενε, τῶν ἀνθρώπων ἡ σκέπη, Ἐσθῆτα καὶ Ζώνην τοῦ ἀχράντου σου σώματος, κραταιὰν τῇ Πόλει σου περιβολὴν ἐδωρήσω, τῷ ἀσπόρῳ τόκῳ σου ἄφθαρτα διαμείναντα· ἐπὶ σοὶ γὰρ καὶ φύσις καινοτομεῖται καὶ χρόνος. Διὸ δυσωποῦμέν σε, εἰρήνην τῇ πολιτείᾳ σου δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Κοντάκιον, Ἦχος β'. Τὴν ἐν πρεσβείαις.

Τὴν θεοδόχον γαστέρα σου Θεοτόκε, περιλαβοῦσα ἡ Ζώνη σου ἡ τιμία, κράτος τῇ πόλει σου ἀπροσμάχητον, καὶ θησαυρὸς ὑπάρχει τῶν ἀγαθῶν ἀνέκλειπτος, ἡ μόνη τεκοῦσα ἀειπάρθενος.

Τέλος τοῦ Μηνολογίου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπωμένων Ελλήνων Τοκωβάτων

# ΤΡΟΠΑΡΙΑ

## ΤΩΝ ΕΝ ΤΩ ΤΡΙΩΔΙΩ ΚΑΙ ΠΕΝΤΗΚΟΣΤΑΡΙΩ ΚΙΝΗΤΩΝ ΕΟΡΤΩΝ.

## ΤΡΙΩΔΙΟΝ.

### ✠ Τῇ Κυριακῇ τοῦ Τελώνου καὶ Φαρισαίου ✠

Αἵρεσις παλαιὰ καὶ ἐπίσημος μεταξὺ τῶν Ἰουδαίων ἦσαν οἱ Φαρισαῖοι, οἵτινες, πονηροὶ ὄντες καὶ ὑποκριταὶ, τὰς μὲν κακίας αὐτῶν ἔκρυπτον, πᾶσαν δὲ ὑποκριτικὴν αὐτῶν ἀρετὴν ἐδημοσίευον, ποιοῦντες πάντα τὰ ἔργα αὐτῶν πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις (Ματ. κγ'. 5)· διὸ καὶ ἐνομίζοντο ὑπὸ πάντων ἐνάρετοι καὶ δίκαιοι, καὶ κατὰ τὴν φαινομένην τῆς ζωῆς ἁγιότητα, κεχωρισμένοι τῶν λοιπῶν, ὅπερ δηλοῖ τὸ ὄνομα Φαρισαῖος. Ἐξ ἐναντίας οἱ Τελῶναι, τουτέστιν οἱ ἀγοράζοντες τὰ βασιλικὰ δόσιμα, ἐπειδὴ, συλλέγοντες αὐτὰ, ἐποίουν πολλὰς ἀδικίας καὶ ἁρπαγὰς δι' αἰσχροκέρδειαν, διὰ τοῦτο πάντες ἐστοχάζοντο αὐτοὺς ἁμαρτωλοὺς καὶ ἀδίκους. Κατὰ τὴν τότε οὖν κοινὴν γνώμην, λαβὼν ὁ Ἰησοῦς ἕνα Φαρισαῖον, σημαίνοντα τὸν ἐνάρετον, καὶ ἕνα Τελώνην, δηλοῦντα τὸν ἁμαρτωλὸν, εἰδίδαξε παραβολικῶς τῆς ὑπερηφανείας τὴν βλάβην, καὶ τῆς ταπεινοφροσύνης τὴν ὠφέλειαν.

Ἐπειδὴ δὲ, μετὰ τρεῖς Ἑβδομάδας, ἐμβαίνομεν εἰς τὸ ᾄδιον τῆς ἁγίας Τεσσαρακοστῆς, καὶ εἰς τοὺς πνευματικοὺς τῆς ἀρετῆς ἀγῶνας, καὶ ἐπειδὴ πρῶτον ὅπλον πρὸς ἀρετὴν ἐστὶν ἡ ταπείνωσις, καθὼς ἐξ ἐναντίας ἡ ὑπερηφάνεια μέγιστον ἐμπόδιον εἰς αὐτήν· διὰ τοῦτο οἱ θεῖοι Πατέρες, τὰς μὲν ἑβδομάδας ταύτας ἐπενόησαν, ὡς προετοιμασίαν ἡμῶν εἰς τοὺς εἰρημένους ἀγῶνας· δι' ἣν αἰτίαν καὶ τὴν παροῦσαν ἑβδομάδα ἐκάλεσαν Προφωνήσιμον, ὡς προλέγουσαν τρόπον τινὰ καὶ κηρύττουσαν, ὅτι ἤγγικε τῆς νηστείας ὁ καιρός. Τὴν δὲ ἀνάγνωσιν τῆς τοῦ Τελώνου καὶ Φαρισαίου παραβολῆς ἔταξαν σήμερον, διδάσκοντες ἡμᾶς δι' αὐτῆς, ἵνα μὴ ἐπαιρώμεθα, ὅταν πράττωμεν τὸ καλὸν, μηδὲ καυχώμεθα δι' αὐτὸ, ὡς ὁ μεγαλαυχος Φαρισαῖος· ἀλλὰ, μαθόντες ἐκ τοῦ παραδείγματος ἐκείνου, ὅτι ὁ καπνὸς τῆς οἰήσεως, καὶ τῆς καυχήσεως ἡ δυσωδία, διώκει τὴν χάριν τοῦ Πνεύματος, καὶ ἀπογυμνοῦσα τὸν ἄνθρωπον πάσης ἀρετῆς, κρημνίζει αὐτὸν εἰς τοῦ Ἅδου τὰ βάραθρα, δεώμεθα μετὰ συντετριμμένης καρδίας τοῦ Θεοῦ, μιμούμενοι τοῦ Τελώνου τὴν ταπείνωσιν, ἥτις, κἂν ἁμαρτωλὸς ὑπάρχῃ ὁ ἄνθρωπος, κἂν εἰς ἔσχατα περιπέσῃ κακὰ, δικαιοῖ αὐτὸν, καὶ εἰς ὕψος ἀναβιβάζει μέγα.

Α' πολυτ. τὸ Ἀναστάσ. τοῦ Ἤχου, καὶ τὸ Θεοτοκίον αὐτοῦ.

Κοντάκ. τοῦ Τριῳδίου, Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Φαρισαίου φύγωμεν ὑψηγορίαν, καὶ Τελώνου μάθωμεν, τὸ ταπεινὸν ἐν στεναγμοῖς, πρὸς τὸν Σωτῆρα κραυγάζοντες: Ἱλάσθητι μόνε ἡμῖν εὐθιάλλακτε.

## ΕΙΔΗΣΙΣ

Ἰστέον ὅτι, ἐν ὅλῃ τῇ ἐφεξῆς Ἑβδομάδι, γίνεται κατάλυσις εἰς πάντα.

## ✠ Τῇ Κυριακῇ τοῦ Ἀσώτου ✠

Τρία πράγματα παρέστησεν ἡμῖν ὁ Σωτὴρ διὰ τῆς παραβολῆς τοῦ σημερινοῦ Εὐαγγελίου: τὴν κατάστασιν τοῦ ἁμαρτωλοῦ, τῆς μετανοίας τὸν κανόνα, καὶ τῆς θείας εὐσπλαγχνίας τὸ μέγεθος. Ἐτάχθη δὲ ὑπὸ τῶν θείων Πατέρων ἐνταῦθα, μετὰ τὴν τοῦ Τελώνου καὶ Φαρισαίου παραβολὴν, πρὸς ἡμετέραν καὶ αὐτὴ διδασκαλίαν· ἵνα δηλαδὴ, βλέποντες εἰς τοῦ Ἀσώτου τὸ πρόσωπον τὴν ἀθλίαν κατάστασιν ἡμῶν, ἐνόσῳ κυλιόμεθα εἰν τὴν ἁμαρτίαν, ἐνόσῳ εὑρισκόμεθα μακρὰν τοῦ Θεοῦ καὶ τῶν αὐτοῦ μυστηρίων, ἔλθωμεν τέλος πάντων εἰς αἴσθησιν καὶ ἡμεῖς, καὶ ταχύνωμεν τὴν ἐπιστροφὴν ἡμῶν πρὸς αὐτὸν διὰ τῆς μετανοίας, κἂν εἰς τὰς ἁγίας ταύτας ἡμέρας τῶν Νηστειῶν.

Καὶ ἄλλο. Ἐπειδή τινες, πολλὰ καὶ μεγάλα πράξαντες ἀνομήματα, καὶ χρονίσαντες εἰς αὐτὰ, ἔρχονται πολλάκις εἰς ἀπόγνωσιν, νομίζοντες ὅτι οὐκέτι ἐστὶ συγχώρησις δι' αὐτούς· καὶ οὕτως ἀπηλπισμένοι πίπτουσι τὸ λοιπὸν καθ' ἑκάστην εἰς τὰ αὐτὰ, καὶ ἔτι χείρονα κακὰ τῶν προτέρων· διὰ τοῦτο οἱ θεῖοι Πατέρες, ἵνα ἐκριζώσωσι τῆς ἀπογνώσεως τὸ πάθος ἐκ τῆς καρδίας αὐτῶν, καὶ ἐνθαρρύναντες αὐτοὺς, διεγείρωσιν εἰς τῆς ἀρετῆς τὰ ἔργα, ἔταξαν τὴν παροῦσαν παραβολὴν εἰς τῆς νηστείας τὰ πρόθυρα, δεικνύοντες εἰς αὐτοὺς τὰ φιλάνθρωπα καὶ ὑπεράγαθα σπλάγχνα τοῦ Θεοῦ, ἐκ τῆς χώρας τοῦ Ἀσώτου· καὶ ὅτι οὐκ ἔστιν ἁμάρτημα, ὅσον μέγα καὶ ἂν ὑποτεθῇ, δυνατὸν νὰ νικήσῃ ποτὲ τὴν φιλάνθρωπον αὐτοῦ γνώμην.

Α' πολυτ. τὸ Ἀναστάσιμον τοῦ Ἤχου, καὶ τὸ Θεοτοκίον αὐτοῦ.

Κοντάκιον τοῦ Τριῳδίου, Ἦχος γ'.

Ἡ Παρθένος σήμερον.

Τῆς πατρῴας δόξης σου, ἀποσκιρτήσας ἀφρόνως, ἐν κακοῖς ἐσκόρπισα, ὃν μοι παρέδωκας πλοῦτον· ὅθεν σοι τὴν τοῦ Ἀσώτου φωνὴν κραυγάζω· Ἥμαρτον, ἐνώπιόν σου Πάτερ οἰκτίρμον· δέξαι με μετανοοῦντα, καὶ ποίησόν με ὡς ἕνα τῶν μισθίων σου.

Δημοσία Βιβλιοθήκες

## ✠ Τῷ Σαββάτῳ τῆς Ἀποκρέω ✠

**Μνήμην ἐπιτελοῦμεν πάντων τῶν ἀπ' αἰῶνος κεκοιμημένων εὐσεβῶς πατέρων καὶ ἀδελφῶν ἡμῶν.**

Ἐξ αὐτῶν τῶν Ἀποστολικῶν Διαταγῶν (Βιβλ. ἡ. 42) παρέλαβεν ἡ τοῦ Χριστοῦ Ἐκκλησία τὴν συνήθειαν τοῦ ἐπιτελεῖν τὰ λεγόμενα Τρίτα, καὶ Ἔννατα, καὶ Τεσσαρακοστά, καὶ λοιπὰ μνημόσυνα τῶν κεκοιμημένων. Ἐπειδὴ δὲ πολλοὶ κατὰ καιροὺς ἀπέθανον ἄωρα ἢ εἰς ξενιτείαν, ἢ εἰς θάλασσαν, ἢ εἰς ὄρη καὶ κρημνούς· ἴσως δὲ καὶ πένητες ὄντες, οὐκ ἠξιώθησαν τῶν διατεταγμένων μνημοσύνων· διὰ τοῦτο, φιλανθρώπως οἱ θεῖοι Πατέρες κινούμενοι, ἐθέσπισαν σήμερον μνημόσυνον κοινὸν πάντων τῶν ἀπ' αἰῶνος εὐσεβῶς τελευτησάντων ἀνθρώπων, ἵνα, καὶ ὅσοι τῶν μερικῶν μνημοσύνων οὐκ ἔτυχον, δι' ὁποιονδήποτε συμβεβηκός, συμπεριλαμβάνωνται εἰς τὸ κοινὸν τοῦτο κἀκεῖνοι.

Πρὸς τούτοις, ἐπειδὴ ἄυριον ποιοῦμεν τὴν ἀνάμνησιν τῆς Δευτέρας Παρουσίας τοῦ Χριστοῦ, καὶ ἐπειδὴ οἱ κεκοιμημένοι οὐδὲ ἐκρίθησαν, οὐδὲ ἔλαβον ἔτι τὴν τελείαν ἀντάμειψιν (Πράξ. ιζ', 31. Β'. Πέτρ. β'. 9. Ἑβρ. ιά. 39-40), εὐκαίρως μνημονεύει σήμερον τῶν ψυχῶν ἡ Ἐκκλησία· καὶ εἰς τὸ ἄπειρον ἔλεος τοῦ Θεοῦ θαῤῥοῦσα, δέεται ἵνα ἐλεήσῃ τοὺς ἁμαρτωλούς. — Ὅτι δὲ ἁπάντων κοινῶς τῶν τεθνεώτων ἡ μνήμη ἀναμιμνήσκει τὸν κοινὸν θάνατον καὶ εἰς ἡμᾶς ἐν καιρῷ ἁρμοδίῳ, καὶ διεγείρει πρὸς μετάνοιαν, τοῦτο ἐστὶ τρίτον αἴτιον τοῦ παρόντος μνημοσύνου, καὶ τῶν ἁγίων Πατέρων ἄλλος ἅγιος σκοπός.

### Ἀπολυτίκιον Νεκρώσιμον, Ἦχος πλ. δ'.

Ὁ βάθει σοφίας φιλανθρώπως πάντα οἰκονομῶν, καὶ τὸ συμφέρον πᾶσιν ἀπονέμων μόνε Δημιουργέ, ἀνάπαυσον, Κύριε, τὰς ψυχὰς τῶν δούλων σου· ἐν σοὶ γὰρ τὴν ἐλπίδα ἀνέθεντο, τῷ ποιητῇ καὶ πλάστῃ καὶ Θεῷ ἡμῶν.

### Θεοτοκίον, Ἦχος ὁ αὐτός.

Σὲ καὶ τεῖχος, καὶ λιμένα ἔχομεν, καὶ πρέσβιν εὐπρόσδεκτον, πρὸς ὃν ἔτεκες Θεόν, Θεοτόκε ἀνύμφευτε, τῶν πιστῶν ἡ σωτηρία.

### Κοντάκιον, Ἦχος πλ. δ'.

Μετὰ τῶν Ἁγίων ἀνάπαυσον Χριστέ, τὰς ψυχὰς τῶν δούλων σου, ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη, οὐ στεναγμός, ἀλλὰ ζωὴ ἀτελεύτητος.

## ✠ Τῇ Κυριακῇ τῆς Ἀποκρέω ✠

Αἱ προλαβοῦσαι δύο παραβολαί, καὶ μάλιστα ἡ τοῦ Ἀσώτου, παρέστησαν ἡμῖν τὴν ἄκραν τοῦ Θεοῦ φιλανθρωπίαν καὶ ἀγαθότητα.

ΔΗΜΟΣΙΕΥΣΙΣ ΒΥΖΑΝΤΙΝΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Δημοτικού Μουσείου Τσαπουρνάκου Ιωαννίνων

Ἀλλ' ἵνα μή τινες, εἰς ταύτην μόνην θαῤῥοῦντες, διάγωσιν ἀμελῶς, καὶ τὸν καιρὸν τῆς ἑαυτῶν σωτηρίας πραγματευόμενοι, ἐπιμένωσιν εἰς τὴν ἁμαρτίαν, καὶ οὕτως ἁρπάσῃ αὐτοὺς αἰφνιδίως ὁ θάνατος· διὰ τοῦτο οἱ θειότατοι Πατέρες ἔταξαν σήμερον τὴν ἑορτὴν καὶ ἀνάμνησιν τῆς ἀδεκάστου Δευτέρας Παρουσίας τοῦ Χριστοῦ, ἐνθυμίζοντες δι' αὐτῆς τοὺς τοιούτους, ὅτι οὐ μόνον φιλάνθρωπος ἐστὶν ὁ Θεός, ἀλλὰ καὶ κριτὴς δικαιότατος, καὶ ἀποδίδωσιν ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

Σκοπὸς οὖν τῶν ἁγίων Πατέρων ἐστὶν ἵνα, διὰ τῆς ἐνθυμήσεως τῆς φοβερᾶς ἐκείνης ἡμέρας, διεγείρωσιν ἡμᾶς ἐκ τοῦ ὕπνου τῆς ἀμελείας πρὸς ἐργασίαν τῆς ἀρετῆς, καὶ προτρέψωσιν εἰς φιλαδελφίαν καὶ συμπάθειαν. Ἐπειδὴ δὲ, τῇ ἐρχομένῃ Κυριακῇ τῆς Τυροφάγου, ποιοῦμεν τὴν ἀνάμνησιν τῆς τοῦ Ἀδὰμ ἐξορίας ἐκ τοῦ Παραδείσου τῆς τρυφῆς, ἥτις ἐστὶν ἡ ἀρχὴ τοῦ παρόντος βίου, δῆλον ὅτι ἡ σημερινὴ ἑορτὴ λογίζεται ὡς τελευταία πασῶν· διότι εἰς ταύτην ἀληθῶς τελευτῶσι καὶ τὰ ἡμέτερα πάντα, καὶ ὁ κόσμος αὐτός.

Ἀπολυτ. τὸ Ἀναστάσιμον τοῦ Ἦχος, ᾗ τὸ Θεοτοκίον αὐτοῦ.

Κοντάκ. τοῦ Τριῳδίου, Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Ὅταν ἔλθῃς ὁ Θεὸς, ἐπὶ γῆς μετὰ δόξης, καὶ τρέμωσι τὰ σύμπαντα, ποταμὸς δὲ τοῦ πυρὸς, πρὸ τοῦ βήματος ἕλκῃ, καὶ βίβλοι ἀνοίγωνται, καὶ τὰ κρυπτὰ δημοσιεύωνται· τότε ῥῦσαί με, ἐκ τοῦ πυρὸς τὸ ἀσβέστου, καὶ ἀξίωσον, ἐκ δεξιῶν σου μὲ στῆναι, Κριτὰ δικαιότατε.

## ΕΙΔΗΣΙΣ

Ἰστέον ὅτι, ἐν τῇ ἐφεξῆς Ἑβδομάδι τῆς Τυροφάγου, καταλύομεν ἐπίσης Τετάρτην καὶ Παρασκευὴν, εἰς τυρὸν καὶ ᾠὰ, ὡς καὶ τὰς λοιπὰς τῆς αὐτῆς Ἑβδομάδος ἡμέρας.

✠ Τῷ Σαββάτῳ τῆς Τυροφάγου ✠

Μνήμην ἐπιτελοῦμεν πάντων τῶν ἐν ἀσκήσει λαμψάντων ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν.

Ἀφ' οὗ ἐπαιδαγώγησαν ἡμᾶς οἱ Θεοφόροι Πατέρες διὰ τῶν, ὅσα εἴπομεν εἰς τὰς προλαβούσας ἑορτὰς, καὶ κατ' ὀλίγον ἡτοίμασαν εἰς τὸ στάδιον τῶν πνευματικῶν ἀγώνων, ἰδοὺ προβάλλουσιν ἡμῖν ἤδη καὶ τοὺς θεαρέστως βιώσαντας, ἄνδρας τε καὶ γυναῖκας ὁμοῦ· ἵνα, διὰ τοῦ παραδείγματος τούτων, ποιήσωσιν ἡμᾶς προθυμοτέρους εἰς τὴν ἐργασίαν τῶν ἀρετῶν, καὶ κατὰ τῶν παθῶν ἀνδρειοτέρους. Καὶ καθὼς οἱ ἔμπειροι στρατηγοὶ, ὅταν τὰ στρατεύματα ἑτοιμασθῶσιν εἰς μάχην, καὶ ἵστανται ἤδη κατὰ πρόσωπον, οὐ μόνον διὰ λόγου προτρέπουσι τοὺς ἑαυτῶν στρατιώτας, ἀλλὰ καὶ ἀνδρῶν ἀρίστων ἀν-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Πάτρας
Μουσείο Σπηλαίου Κλειδί

δραγαθίας ἀναφέρουσιν εἰς αὐτοὺς, ἐξ ὧν ἐγκαρδιουμενοι ἐκεῖνοι, ὁρμῶσιν ὁλοψύχως κατὰ τῶν ἐχθρῶν· οὕτω καὶ οἱ Θεόσοφοι Πατέρες ποιοῦσι νῦν εἰς ἡμᾶς, διορίσαντες σήμερον κοινὴν μνήμην καὶ ἑορτὴν πάντων τῶν Ἁγίων, ὅσοι, διὰ κόπων πολλῶν νικήσαντες τὰ πάθη, εὐηρέστησαν τῷ Θεῷ· ἵνα καὶ ἡμεῖς, πρὸς τὴν ζωὴν ἐκείνων ἀποβλέποντες, ἀγωνιζώμεθα γενναίως κατὰ τῶν παθῶν, καὶ τὰς διαφόρους ἀρετὰς ἐργαζώμεθα, μιμούμενοι αὐτοὺς, ὅσον τὸ δυνατὸν, καὶ ἀναλογιζόμενοι, ὅτι ἄνθρωποι ἦσαν καὶ αὐτοὶ, καὶ τὴν αὐτὴν ἡμῖν εἶχον φύσιν.

## Ἀπολυτίκιον, Ἦχος δ'.

Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὁ ποιῶν ἀεὶ μεθ' ἡμῶν, κατὰ τὴν σὴν ἐπιείκειαν, μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν· ἀλλὰ ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ κυβέρνησον τὴν ζωὴν ἡμῶν. Θεοτοκίον.

Μήτηρ ἁγία, ἡ τοῦ ἀφράστου φωτὸς, ἀγγελικοῖς σε ὕμνοις τιμῶντες, εὐσεβῶς μεγαλύνομεν.

Κοντάκ. Ἦχος πλ. δ'. Ὡς ἀπαρχὰς τῆς φύσεως.

Ὡς εὐσεβείας κήρυκας, καὶ ἀσεβείας φίμωτρα, τῶν θοφόρων τὸν δῆμον ἐφαίδρυνας Κύριε, τὴν ὑρήλιον λάμποντα. Ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ τελείᾳ τοὺς σὲ δοξάζοντας καὶ μεγαλύνοντας, διαφύλαξον ψάλλειν καὶ ᾄδειν σοι: Ἀλληλούϊα.

## ✠ Τῇ Κυριακῇ τῆς Τυροφάγου ✠

Τὴν ἀνάμνησιν τῆς τοῦ Ἀδὰμ ἐξορίας ἀπὸ τοῦ Παραδείσου τῆς τρυφῆς ἔταξαν ἐνταῦθα, τῇ παραμοιῇ τῆς ἁγίας Τεσσαρακοστῆς, οἱ θειότατοι Πατέρες, δεικνύοντες οὐχὶ διὰ λόγων ἁπλῶν, ἀλλ' ἐξ αὐτῶν τῶν πραγμάτων, πόσον ὠφέλιμον ἐστὶν εἰς τὸν ἄνθρωπον τὸ τῆς νηστείας καλὸν· καὶ ἐκ τοῦ ἐναντίου, πόσον ἐπιβλαβὲς καὶ ὀλέθριον ἡ ἀκρασία, καὶ τῶν θείων ἐντολῶν ἡ παράβασις· καὶ ὅτι πρώτη ἐντολὴ τοῦ Θεοῦ πρὸς τοὺς ἀνθρώπους ἐστὶν ἡ τῆς νηστείας ἐντολὴ, ἣν λαβόντες οἱ Πρωτόπλαστοι, καὶ μὴ φυλάξαντες αὐτὴν, οὐ μόνον θεοὶ οὐκ ἐγένοντο, ὡς ἐφαντάσθησαν, ἀλλ' ἀπώλεσαν καὶ ἣν εἶχον μακαρίαν ζωήν· καὶ πεσόντες εἰς φθορὰν καὶ εἰς θάνατον, μετέδωκαν αὐτὰ ταῦτα, καὶ μυρία ἄλλα κακά, ὅσα ἐκεῖθεν ἐπήγασαν, εἰς ὅλον τὸ ἀνθρώπινον γένος. Ταῦτα πάντα βάλλουσιν ὑπ' ὄψιν ἡμῶν σήμερον οἱ Θεοφόροι Πατέρες· ἵνα, ἐνθυμούμενοι τὸ, Πόθεν ἐξεπέσαμεν, καὶ τί ἐπάθομεν διὰ τὴν τῶν Πρωτοπλάστων ἀκρασίαν καὶ παρακοὴν, σπουδάσωμεν ἐπανελθεῖν πάλιν εἰς τὴν ἀρχαίαν ἐκείνην μακαριότητα καὶ δόξαν, διὰ νηστείας καὶ ὑπακοῆς εἰς πάντα τὰ θεῖα προστάγματα.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ἀπολυτ. τὸ Ἀναστάσιμον τοῦ Ἤχ. ᾱ, καὶ τὸ Θεοτοκίον αὐτῆς.

Κοντάκιον τοῦ Τριῳδίου αὐτόμελον, Ἦχος πλ. β΄.

Τῆς σοφίας ὁδήγει, φρονήσεως χορήγει, τῶν ἀφρόνων παίδευτά, καὶ τῶν πτωχῶν ὑπέρασπιστὰ στήριξον, συνέτισον τὴν καρδίαν μου, Δέσποτα. Σὺ δίδου μοι λόγον, ὁ τοῦ Πατρὸς Λόγος· ἰδοὺ γὰρ τὰ χείλη μου οὐ μὴ κωλύσω ἐν τῷ κράζειν σοι: Ἐλεῆμον ἐλέησόν με τὸν παραπεσόντα.

Τῇ Κυριακῇ ταύτῃ τῆς Τυροφάγου, ὁμοίως καὶ τῇ Β΄. καὶ Δ΄. Κυριακῇ τῶν Νηστειῶν, ἐν τῷ Ἑσπερινῷ, ψάλλομεν τὸ παρὸν Προκείμενον, μετὰ τῶν Στίχων αὐτοῦ.

Ἦχος πλ. δ΄.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου, ὅτι θλίβομαι· ταχὺ ἐπάκουσόν μου· πρόσχες τῇ ψυχῇ μου, καὶ λύτρωσαι αὐτήν.

Στίχος α. Ἡ σωτηρία σου ὁ Θεὸς ἀντιλάβοιτό μου.

Στίχος β΄. Ἰδέτωσαν πτωχοὶ, καὶ εὐφρανθήτωσαν.

✠ Τῷ Πρώτῳ Σαββάτῳ τῶν Νηστειῶν ✠

Ἀνάμνησιν ποιούμεθα τῶν διὰ τῶν Κολλύβων γενομένου θαύματος, παρὰ τοῦ ἁγίου Μεγαλομάρτυρος Θεοδώρου τοῦ Τήρωνος.

Ἰουλιανὸς ὁ Παραβάτης, γινώσκων ὅτι οἱ Χριστιανοὶ καθαίρονται μᾶλλον διὰ νηστείας τὴν πρώτην Ἑβδομάδα τῆς ἁγίας Τεσσαρακοστῆς, ἣν καὶ ἡμεῖς διὰ τοῦτο Καθαρὰν Ἑβδομάδα καλοῦμεν, ἐβουλήθη ἵνα τότε μάλιστα μολύνῃ αὐτούς· διὸ καὶ προσέταξε κρυφίως, ἵνα τεθῶσιν εἰς τὴν ἀγορὰν, κατ' ἐκείνας τὰς ἡμέρας βρώματα μεμιασμένα ἐκ τῶν αἱμάτων τῶν εἰδωλικῶν θυσιῶν. Ἀλλὰ νεύσει θείᾳ, ἐπιφανεὶς καθ' ὕπνον ὁ Μάρτυς Θεόδωρος εἰς τὸν τότε Ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως Εὐδόξιον, καὶ φανερώσας τὸ πρᾶγμα, παρήγγειλεν αὐτῷ, ἵνα συγκαλέσῃ τοὺς πιστοὺς εὐθὺς τὸ πρωὶ τῆς Δευτέρας, καὶ ἐμποδίσῃ αὐτοῖς τῶν βρωμάτων ἐκείνων τὴν χρῆσιν· τὴν δὲ ἔλλειψιν τῆς ἀναγκαίας τροφῆς ἀναπληρώσῃ ἐκ τοῦ προχείρου διὰ Κολλύβων· καὶ ἑρμηνεύων αὐτά, εἶπεν: ὅτι Κόλλυβα ὀνομάζομεν ἡμεῖς εἰς τὰ Εὐχάϊτα (Φεβρ. 17) τὸν βρασμένον σῖτον. Τοιουτοτρόπως ὁ μὲν σκοπὸς τοῦ Τυράννου ἐματαιώθη· ὁ δὲ εὐσεβὴς λαὸς, διαφυλαχθεὶς ἀμόλυντος καθ' ὅλην τὴν καθαρσίμον Ἑβδομάδα, ἀπέδωκεν εἰς τὸν Μάρτυρα τὴν εὐχαριστίαν κατὰ τοῦτο τὸ Σάββατον, ποιήσαντες τὴν μνήμην αὐτοῦ διὰ Κολλύβων.

ΨΗΦΙΟΘΕΤΗΣΙΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ἀνήκουν στὴν Κοινότητα Βιβλιοθήκης Λιβαδειᾶς - Υπηρεσία Ψηφιοποίησης Βιβλίων

Καὶ ταῦτα μὲν συνέβησαν τῷ 362 ἔτει· ἡ δὲ Ἐκκλησία ἐπιτελεῖ κατ' ἔτος τὴν ἀνάμνησιν αὐτῶν, εἰς δόξαν Θεοῦ, καὶ τιμὴν τοῦ Μάρτυρος.

Ἀπολυτίκιον, Ἦχος β'.

Μεγάλα τὰ τῆς πίσεως κατορθώματα! Ἐν τῇ πηγῇ τῆς φλογὸς, ὡς ἐπὶ ὕδατος ἀναπαύσεως, ὁ ἅγιος Μάρτυς Θεόδωρος ἠγάλλετο· πυρὶ γὰρ ὁλοκαυτωθείς, ὡς ἄρτος ἡδὺς τῇ Τριάδι προσήνεκται. Ταῖς αὐτοῦ ἱκεσίαις Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν, Θεοτοκίον.

Πάντα ὑπὲρ ἔννοιαν, πάντα ὑπερένδοξα τὰ σὰ Θεοτόκε Μυσήρια· τῇ ἁγνείᾳ ἐσφραγισμένη, καὶ παρθενίᾳ φυλαττομένη, Μήτηρ ἐγνώσθης ἀψευδὴς, Θεὸν τεκοῦσα ἀληθινόν. Αὐτὸν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος πλ. δ'.

Πίστιν Χριστοῦ ὡσεὶ θώρακα, ἔνδον λαβὼν ἐν καρδίᾳ σε, τὰς ἐναντίας δυνάμεις κατεπάτησας πολύαθλε, καὶ στέφει οὐρανίῳ ἐστέφθης αἰωνίως, ὡς ἀήττητος.

✠ Τῇ Πρώτῃ Κυριακῇ τῶν Νηστειῶν ✠

Ἀνάμνησιν ποιούμεθα τῆς ἀναστηλώσεως τῶν ἁγίων καὶ σεπτῶν Εἰκόνων.

Ἑκατὸν ἔτη καὶ ἐπέκεινα κατετάραξε τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ ὁ διωγμὸς τῶν κακοδόξων Εἰκονομάχων, ὧν πρῶτος ὑπῆρξε Λέων ὁ Ἴσαυρος, ἔσχατος δὲ ὁ Θεόφιλος, ὁ ἀνὴρ τῆς ἁγίας Θεοδώρας (Φεβρ. 11), ἥτις μετὰ τὸν θάνατον αὐτοῦ, τῷ 842 ἔτει, ἐστερέωσε πάλιν τὴν ὀρθοδοξίαν. Αὕτη οὖν ἡ ἀείμνηστος Βασιλὶς, πρῶτον μὲν ἠσπάσθη τὴν εἰκόνα τῆς Θεομήτορος, ἐνώπιον Μεθοδίου τοῦ Πατριάρχου (Ἰουν. 14), καὶ πολλῶν ἄλλων Ὁμολογητῶν καὶ Ὁσίων ἀνδρῶν, ἐκβοήσασα παῤῥησίᾳ τὰ ἅγια ταῦτα λόγια: Εἴ τις ταύτας οὐ προσκυνεῖ καὶ ἀσπάζεται σχετικῶς, οὐ λατρευτικῶς, οὐχ ὡς θεοὺς, ἀλλ' ὡς εἰκόνας ἀρχετύπων, διὰ τὸν πόθον, εἴη τὸ ἀνάθεμα. Εἶτα ἐζήτησε παρὰ Θεοῦ τοῦ ἀνδρὸς τὴν συγχώρησιν, διὰ κοινῆς νηστείας καὶ δεήσεως καθ' ὅλην τὴν πρώτην Ἑβδομάδα τῆς Τεσσαρακοστῆς. Μετὰ ταῦτα, κατὰ τὴν παροῦσαν Κυριακὴν, λιτανεύσαντες καὶ αὐτὴ, καὶ ὁ υἱὸς αὐτῆς Μιχαὴλ ὁ Αὐτοκράτωρ, μετὰ παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ, ἀνεστήλωσαν τὰς ἁγίας Εἰκόνας, καὶ ἐστόλισαν πάλιν δι' αὐτῶν τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν. Τοῦ ἁγίου τούτου ἔργου τὴν ἀνάμνησιν ἑορτάζομεν σήμερον οἱ Ὀρθόδοξοι πάντες, καὶ διὰ αὐτὸ τοῦτο τὴν λαμπρὰν καὶ σεβάσμιον ταύτην ἡμέραν ὀνομάζομεν: Κυριακὴν τῆς Ὀρθοδοξίας.

Ἀπολυτ. Ἀναστάσιμον· καὶ τὸ ἑπόμενον, Ἦχος β΄.

Τὴν ἄχραντον Εἰκόνα σου προσκυνοῦμεν ἀγαθὲ, αἰτούμενοι συγχώρησιν τῶν πταισμάτων ἡμῶν, Χριστὲ ὁ Θεός· βουλήσει γὰρ ηὐδόκησας σαρκὶ ἀνελθεῖν ἐν τῷ Σταυρῷ, ἵνα ῥύσῃ οὓς ἔπλασας ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ. Ὅθεν εὐχαρίστως βοῶμέν σοι: Χαρᾶς ἐπλήρωσας τὰ πάντα, ὁ Σωτὴρ ἡμῶν, παραγενόμενος εἰς τὸ σῶσαι τὸν κόσμον.

Καὶ νῦν, Θεοτοκίον.

Πάντα ὑπὲρ ἔννοιαν, πάντα ὑπερένδοξα τὰ σὰ Θεοτόκε Μυστήρια· τῇ ἁγνείᾳ ἐσφραγισμένη, καὶ παρθενίᾳ φυλαττομένη, Μήτηρ ἐγνώσθης ἀψευδὴς, Θεὸν τεκοῦσα ἀληθινόν. Αὐτὸν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον αὐτόμελον, Ἦχος πλ. δ΄.

Ὁ ἀπερίγραπτος Λόγος τοῦ Πατρὸς, ἐκ σοῦ Θεοτόκε περιεγράφη σαρκούμενος, καὶ τὴν ῥυπωθεῖσαν εἰκόνα εἰς τὸ ἀρχαῖον ἀναμορφώσας, τῷ θείῳ κάλλει συγκατέμιξεν. Ἀλλ' ὁμολογοῦντες τὴν σωτηρίαν, ἔργῳ καὶ λόγῳ ταύτην ἀνιστοροῦμεν.

Τῇ Πρώτῃ ταύτῃ Κυριακῇ τῶν Νηστειῶν, ὁμοίως καὶ τῇ Γ. καὶ Ε. ἐν τῷ Ἑσπερινῷ, ψάλλομεν τὸ παρὸν Προκείμενον, μετὰ τῶν Στίχων αὐτοῦ.

Ἦχος πλ. δ΄.

Ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου, Κύριε.

Στίχος α΄. Ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκέκραξα.

Στίχος β΄. Σκεπασθήσομαι ἐν τῇ σκέπῃ τῶν πτερύγων σου.

✠ Τῇ Δευτέρᾳ Κυριακῇ τῶν Νηστειῶν ✠

Ψάλλεται ἡ Ἀκολουθία τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου, ἀρχιεπισκόπου Θεσσαλονίκης, τοῦ Παλαμᾶ.

Ὁ θεῖος οὗτος Πατὴρ, ἐξ Ἀσίας καταγόμενος, ἀνετράφη παιδιόθεν ἐν τῇ βασιλικῇ τῆς Κωνσταντινουπόλεως αὐλῇ, ὅπου καὶ τὴν καθ' ἡμᾶς καὶ τὴν θύραθεν ἐπαιδεύθη σοφίαν. Μετὰ ταῦτα, καταλιπὼν τὰ βασίλεια, ἤσκησεν ἐκ νεότητος ἐν τῷ ἁγίῳ ὄρει τοῦ Ἄθωνος, καὶ ἐν τῇ κατὰ τὴν Βέρροιαν Σκήτῃ. Διέτριψεν ἐν Θεσσαλο-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

νίκη, πρὸς θεραπείαν τῶν ἐκ τῆς σκληραγωγίας ἀσθενειῶν αὐτοῦ. Παρέστη εἰς τὰς ἐν Κωνσταντινουπόλει συγκροτηθείσας Συνόδους, τῷ 1341 ἔτει κατὰ Βαρλαὰμ τοῦ Καλαβροῦ, καὶ τῷ 1347 κατὰ τοῦ ὁμόφρονος αὐτοῦ Ἀκινδύνου, ἐν αἷς γενναίως ἠγωνίσατο ὑπὲρ τῶν ὀρθῶν τῆς Ἀνατολικῆς τοῦ Χριστοῦ Ἐκκλησίας δογμάτων. Κατὰ δὲ τὸ 1349 ἔτος, προχειρισθεὶς Θεσσαλονίκης Ἀρχιεπίσκοπος, καὶ ποιμάνας τὸ ποίμνιον αὐτοῦ ἀποστολικῶς 13 ἔτη, καὶ ζήσας τὰ πάντα 63, καὶ πολλὰ συγγραψάμενος, ἀνεπαύσατο ἐν Κυρίῳ — Τὸ ἱερὸν τούτου λείψανον σώζεται ἐν τῇ τῆς Θεσσαλονίκης Μητροπόλει· τὴν δὲ ἁσματικὴν αὐτοῦ Ἀκολουθίαν ἐποίησε Φιλόθεος ὁ Πατριάρχης τῷ 1368 ἔτει, ὅτε καὶ ἡ ἑορτὴ αὐτοῦ ἐθεσπίσθη κατὰ τὴν σήμερον ἡμέραν.

## Ἀπολυτίκιον Ἀναστάσιμον.

## Καὶ τοῦ Ἁγίου, Ἦχος πλ. δ'.

Ὀρθοδοξίας ὁ φωστήρ, Ἐκκλησίας τὸ στήριγμα καὶ διδάσκαλε, τῶν μοναστῶν ἡ καλλονή, τῶν θεολόγων ὑπέρμαχος ἀπροσμάχητος, Γρηγόριε θαυματουργέ, Θεσσαλονίκης τὸ καύχημα, κῆρυξ τῆς Χάριτος, ἱκέτευε διαπαντὸς σωθῆναι τὰς ψυχὰς ἡμῶν.

## Κοντάκιον, Ἦχος ὁ αὐτός. Τῇ ὑπερμάχῳ.

Τὸ τῆς σοφίας ἱερὸν καὶ θεῖον ὄργανον, θεολογίας τὴν λαμπρὰν συμφώνως σάλπιγγα, ἀνυμνῶμέν σε Γρηγόριε θεορρῆμον. Ἀλλ' ὡς νοῦς Νοῒ τῷ πρώτῳ παριστάμενος, πρὸς αὐτὸν τὸν νοῦν ἡμῶν Πάτερ ὁδήγησον, ἵνα κράζωμεν: Χαῖρε κῆρυξ τῆς χάριτος.

## ✠ Τῇ Τρίτῃ Κυριακῇ τῶν Νηστειῶν ✠

## Ἑορτάζομεν τὴν προσκύνησιν τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ.

Παντὸς ἔργου κοπιαστικοῦ ἡ ἐκτέλεσις ἔχει δυσκολίαν μεγάλην, ἀλλὰ τῆς δυσκολίας ταύτης τὸ μέγεθος ἀναφαίνεται εἰς τὸ μέσον αὐτοῦ· διότι ὁ ἕως τότε καταβληθεὶς κόπος φέρει ἀδυναμίαν, ἡ δὲ ἀδυναμία ποιεῖ δυσκολώτερον τὸ λοιπὸν τοῦ ἔργου. Ἐπειδὴ οὖν καὶ ἡμεῖς ἐφθάσαμεν θεία χάριτι εἰς αὐτὸ τὸ μέσον σχεδὸν τοῦ τῆς νηστείας δρόμου, ὅπου καὶ ἡ ἀδυναμία περιεκύκλωσεν ἡμᾶς, καὶ ἡ δυσκολία ἤυξησε· διὰ τοῦτο ἡ ἁγία ἡμῶν μήτηρ, ἡ τοῦ Χριστοῦ Ἐκκλησία, προβάλλει σήμερον εἰς ἡμᾶς, ὡς βοήθημα κραταιότατον, τὸν πανάγιον Σταυρὸν, τὴν χαρὰν τοῦ κόσμου, τῶν πιστῶν τὴν δύναμιν, τῶν δικαίων τὸ στήριγμα, καὶ τῶν ἁμαρτωλῶν τὴν ἐλπίδα· ἵνα, εὐλαβῶς αὐτὸν κατασπαζόμενοι, λάβωμεν χάριν καὶ δύναμιν, πρὸς τελείωσιν τοῦ θείου τῆς νηστείας ἀγῶνος.

ΔΗΜΟΣΙΕ ΒΙΒΛΙΟΘΗΚΗ

Ἀπολυτίκιον Ἀναστάσιμον.

Καὶ τοῦ Σταυροῦ, Ἦχος ά.

Σῶσον Κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς Βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων, διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

Κοντάκιον αὐτόμελον, Ἦχος βαρύς.

Οὐκ ἔτι φλογίνη ῥομφαία φυλάττει τὴν πύλην τῆς Ἐδέμ· αὐτῇ γὰρ ἐπῆλθε παράδοξος σβέσις, τὸ ξύλον τοῦ Σταυροῦ· θανάτου τὸ κέντρον, καὶ Ἅδου τὸ νῖκος ἐλήλαται. Ἐπέστης δὲ Σωτήρ μου βοῶν τοῖς ἐν Ἅδῃ· Εἰσάγεσθε πάλιν εἰς τὸν Παράδεισον.

✠ Τῇ Τετάρτῃ Κυριακῇ τῶν Νηστειῶν ✠

Ψάλλομεν τὴν Ἀκολουθίαν τοῦ ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου, τοῦ Συγγραφέως τῆς Κλίμακος.

Ἡ τούτου μνήμη τελεῖται καθ' αὐτὸ τῇ τριακοστῇ Μαρτίου, ὅπου ἐτέθη καὶ ὁ βίος αὐτοῦ· ἑορτάζεται δὲ καὶ σήμερον, ἴσως διότι, ἀπ' ἀρχῆς τῆς ἁγίας Τεσσαρακοστῆς, ἄρχεται συνήθως ἀναγινώσκεσθαι ἐν τοῖς ἱεροῖς Μοναστηρίοις ἡ Κλίμαξ τῶν λόγων αὐτοῦ.

Ἀπολυτίκιον Ἀναστάσιμον.

Καὶ τοῦ Ὁσίου, Ἦχος πλ. δ'.

Ταῖς τῶν δακρύων σου ῥοαῖς, τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας· καὶ τοῖς ἐκ βάθους στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας· καὶ γέγονας φωστὴρ, τῇ οἰκουμένῃ λάμπων τοῖς θαύμασιν, Ἰωάννη Πατὴρ ἡμῶν ὅσιε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, Ἦχος ά. Χορὸς ἀγγελικός.

Καρποὺς ἀειθαλεῖς, ἐκ τῆς βίβλου προσφέρων, διδάγματα σοφὲ, καθηδύνεις καρδίας, τῶν τούτοις μετὰ νήψεως, προσεχόντων μακάριε. Κλίμαξ γάρ ἐστι, ψυχὰς ἀνάγουσα γῆθεν, πρὸς οὐράνιον, καὶ διαμένουσαν δόξαν, τῶν πίστει τιμώντων σε.

✠ Τῇ Πέμπτῃ τῆς Ε'. Ἑβδομάδος ✠

Ψάλλομεν τὴν Ἀκολουθίαν τοῦ Μεγάλου Κανόνος.

Τὸν κατανυκτικώτατον καὶ μέγαν ὄντως τοῦτον Κανόνα, οὐ μόνον

Δημόσια Κεντρική Εκκλησιαστική Βιβλιοθήκη Αξιούπολης - Μουσείο Τυπλάδων Ιερών Βιβλίων

διὰ τῶν Τροπαρίων τὴν ποσότητα, ὡς πρὸς πάντας τοὺς λοιποὺς, ἀλλὰ καὶ διὰ τὸ πλῆθος τῶν τροπολογικῶν ἐννοιῶν καὶ ἐνθυμημάτων, συνέγραψεν ἄριστα Ἀνδρέας ὁ Κρήτης (Ἰουλ. 4). Οὗτος οὖν ὁ θεῖος Πατὴρ, ἐρανισάμενος πᾶσαν ἱστορίαν τῆς ἁγίας Γραφῆς, Παλαιᾶς τε καὶ Νέας, καὶ εἰς τὸ παρὸν μέλος τεχνηέντως ἁρμοσάμενος, προτρέπει διὰ τούτου πᾶσαν ψυχὴν πρὸς μίμησιν μὲν τῶν καλῶν, ἀποφυγὴν δὲ τῶν κακῶν, καὶ εἰς Θεὸν ἐπιστροφὴν διὰ μετανοίας.

## Κοντάκιον αὐτόμελον, Ἦχος πλ. β'.

Ψυχή μου, ψυχή μου, ἀνάστα, τί καθεύδεις; τὸ τέλος ἐγγίζει, καὶ μέλλεις θορυβεῖσθαι· ἀνάνηψον οὖν, ἵνα φείσηταί σου Χριστὸς ὁ Θεὸς, ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν.

## ✠ Τῷ Σαββάτῳ τῆς Ε'. Ἑβδομάδος ✠

## Ψάλλομεν τὸν εἰς τὴν ὑπεραγίαν Θεοτόκον Ἀκάθιστον Ὕμνον.

Περὶ τὸ 620 ἔτος, οἱ Πέρσαι ἐξ ἀνατολῶν, καὶ ἐκ δυσμῶν οἱ Ἄβαροι, γένος Σκυθικὸν, ἐλθόντες ἀμφότεροι μετὰ στρατοῦ πολυαρίθμου, ἐπολιόρκησαν τὴν Βασιλεύουσαν, ἀπόντος τότε τοῦ βασιλέως Ἡρακλείου· καὶ τὴν μὲν θάλασσαν, καὶ μάλιστα τὸν Κεράτιον Κόλπον, πλοιαρίων γεμίσαντες, τὴν δὲ ξηρὰν πεζῶν καὶ ἱππέων καὶ μηχανῶν, ἦσαν ἤδη πρὸς ἔφοδον ἕτοιμοι. Οἱ δὲ πολῖται, καὶ τοι γενναίως ἀνθιστάμενοι, ἀλλ' ὀλιγώτατοι ὄντες πρὸς ἀντίκρουσιν τοσαύτης ὁρμῆς, εἰς οὐδὲν ἕτερον ἤλπιζον τὴν ἑαυτῶν σωτηρίαν, εἰμὴ εἰς τὴν προστασίαν τῆς Θεοτόκου. Καὶ τῳόντι, ἐξαίφνης ἀνεμοστρόβιλος φοβερὸς τὰ μὲν πλοιάρια πάντα συντρίψας ἐβύθισε, τῶν δὲ ἐν αὐτοῖς βαρβάρων τὰ πτώματα ἐξέβρασεν ἔμπροσθεν τοῦ ἐν Βλαχέρναις ναοῦ τῆς Θεοτόκου (Ἰουλ. 2). Ἐκ τούτου θαρρήσας ὁ λαὸς, ἐξῆλθε τῆς πόλεως, καὶ κατεδίωξε τοὺς λοιποὺς, φεύγοντας ὑπὸ τοῦ φόβου. Τὸ δὲ ἑσπέρας, συναχθέντες εἰς τὸν εἰρημένον τῆς Θεοτόκου ναὸν, ἀπέδωκαν αὐτῇ τὸν εὐχαριστήριον ὕμνον, μηδόλως καθίσαντες δι' ὅλης τῆς νυκτὸς, ἀφ' οὗ καὶ ὁ ὕμνος ἐκεῖνος ἐπωνομάσθη Ὕμνος Ἀκάθιστος. Τῆς παραδόξου ταύτης σωτηρίας τῶν τότε πιστῶν τὴν ἀνάμνησιν ἐπιτελοῦμεν σήμερον, εἰς δόξαν τῆς Μητρὸς τοῦ Θεοῦ ἡμῶν.

Τοὺς δὲ Οἴκους τῆς Θεοτόκου, οὓς ἀναγινώσκομεν σήμερον κατ' ἐξοχὴν, οἱ μὲν ἀποδίδουσιν εἰς Σέργιον τὸν τότε Πατριάρχην, οἱ δὲ, εἰς Γεώργιον τὸν Πισίδην, σύγχρονον ὄντα καὶ αὐτὸν, καὶ Χαρτοφύλακα τῆς Μ. Ἐκκλησίας, οὗ τινος καὶ ποίημα σώζεται, ἔχον τοιαύτην ἐπιγραφήν: "Εἰς τὴν γενομένην ἔφοδον τῶν βαρβάρων καὶ τὴν αὐτῶν ἀστοχίαν· ἤτοι, Ἔκθεσις τοῦ γενομένου πολέμου εἰς τὸ τεῖχος τῆς Κωνσταντινουπόλεως, μεταξὺ Ἀβάρων καὶ τῶν πολιτῶν,,.

Ἀπολυτίκιον αὐτόμελον, Ἦχος πλ. δ'.

Τὸ προσταχθὲν μυστικῶς λαβὼν ἐν γνώσει, ἐν τῇ σκηνῇ τοῦ Ἰωσὴφ σπουδῇ ἐπέστη, ὁ Ἀσώματος λέγων τῇ Ἀπειρογάμῳ: Ὁ κλίνας τῇ καταβάσει τοὺς οὐρανοὺς, χωρεῖται ἀναλλοιώτως ὅλως ἐν σοί· ὃν καὶ βλέπων ἐν μήτρᾳ σου, λαβόντα δούλου μορφὴν, ἐξίσταμαι κραυγάζειν σοι: Χαῖρε Νύμφη ἀνύμφευτε.

Κοντάκιον αὐτόμελον, Ἦχος πλ. δ'.

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια, ὡς λυτρωθεῖσα τῶν δεινῶν εὐχαριστήρια, ἀναγράφω σοι ἡ Πόλις σου Θεοτόκε. Ἀλλ' ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον, ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον, ἵνα κράζω σοι: Χαῖρε Νύμφη ἀνύμφευτε.

✠ Τῇ Πέμπτῃ Κυριακῇ τῶν Νηστειῶν ✠

Ψάλλομεν τὴν Ἀκολουθίαν τῆς ὁσίας Μητρὸς ἡμῶν Μαρίας τῆς Αἰγυπτίας.

Τῆς Ὁσίας ταύτης ἡ μνήμη τελεῖται μὲν κατὰ τὴν πρώτην Ἀπριλίου, ἔνθα ἐγράφη καὶ ὁ βίος αὐτῆς· ἐτάχθη δὲ ἡ αὐτὴ καὶ σήμερον, ἐγγίζοντος ἤδη τοῦ τέλους τῆς ἁγίας Τεσσαρακοστῆς, πρὸς διεγερσιν τῶν ῥᾳθύμων, καὶ ἁμαρτωλῶν εἰς μετάνοιαν, ἐχόντων ὑπόδειγμα τὴν ἑορταζομένην Ἁγίαν.

Ἀπολυτίκιον Ἀναστάσιμον τοῦ Ἤχου.
Καὶ τῆς Ἁγίας, Ἦχος πλ. δ'.

Ἐν σοὶ Μῆτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα· λαβοῦσα γὰρ τὸν Σταυρὸν, ἠκολούθησας τῷ Χριστῷ, καὶ πράττουσα ἐδίδασκες, ὑπερορᾶν μὲν σαρκὸς, παρέρχεται γάρ· ἐπιμελεῖσθαι δὲ ψυχῆς, πράγματος ἀθανάτου· διὸ καὶ μετὰ Ἀγγέλων συναγάλλεται, ὁσία Μαρία τὸ πνεῦμά σου.

Κοντάκιον, Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῆς ἁμαρτίας τὴν ἀχλὺν ἐκφυγοῦσα, τῆς μετανοίας τῷ φωτὶ αὐγασθεῖσα, τὴν σὴν καρδίαν ἔνδοξε προσῆξας τῷ Χριστῷ, τούτου τὴν πανάμωμον, καὶ ἁγίαν Μητέρα, πρέσβιν συμπαθέστατον, προσενέγκασα· ὅθεν, καὶ τῶν πταισμάτων εὗρες ἄφεσιν, καὶ σὺν Ἀγγέλοις ἀεὶ ἐπαγάλλεσαι.

ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

## Η ΕΓΕΡΣΙΣ ΤΟΥ ΛΑΖΑΡΟΥ.



## ✠ Τῷ Σαββάτῳ τοῦ ἁγίου, καὶ δικαίου Λαζάρου ✠

Φίλος ἦν τοῦ Ἰησοῦ ὁ Λάζαρος, καὶ αἱ τούτου ἀδελφαί, Μάρθα καὶ Μαρία, αἵτινες καὶ ἐφιλοξένησαν αὐτὸν, καὶ διηκόνησαν πολλάκις (Λουκ. ί, 38-40. Ἰωάν. ιβ, 2-3). Ἦσαν δὲ ἐκ κώμης τινὸς τῆς Ἰουδαίας, Βηθανίας τὸ ὄνομα, κατὰ τοὺς πρὸς τὰ ἀνατολικὰ μέρη πρόποδας τοῦ Ὄρους τῶν Ἐλαιῶν κειμένης, ἐγγὺς τῆς Ἱερουσαλὴμ, ἕως δύο μίλια Ῥωμαϊκά. Τούτου οὖν τοῦ Λαζάρου ἀσθενήσαντος ἡμέρας τινὰς πρὸ τοῦ σωτηρίου πάθους, διαμηνύουσι τὴν ἀσθένειαν αὐτοῦ αἱ ἀδελφαὶ εἰς τὸν Ἰησοῦν, διατρίβοντα τότε ἐν τῇ Γαλιλαίᾳ. Ὁ δὲ, μείνας ἐπίτηδες ἐκεῖ δύο ἡμέρας, ἕως οὗ ἀπέθανεν ὁ Λάζαρος, τότε εἶπε πρὸς τοὺς Μαθητὰς αὐτοῦ: Ἄγωμεν εἰς τὴν Ἰουδαίαν, ἵνα ἐξυπνίσω τὸν φίλον κοιμώμενον, ἐννοῶν δηλαδὴ τὸν βαρὺν τοῦ θανάτου ὕπνον. Φθάσας δὲ εἰς Βηθανίαν, ἐπαραμύθησε τὰς ἀδελφὰς τοῦ πρὸ τεσσάρων ἡμερῶν τεθαμμένου ἤδη Λαζάρου· ἐνεβριμήσατο τῷ πνεύματι, καὶ ἐτάραξεν ἑαυτὸν ἐπὶ τῷ θανάτῳ τοῦ ἀγαπητοῦ φίλου· ἠρώτησε: Ποῦ ἐναπετέθη τὸ λείψανον· ἐδάκρυσεν ἐπ' αὐτῷ· προσῆλθεν εἰς τὸ μνημεῖον· προσέταξεν ἵνα ἄρωσι τὸν λίθον· ὕψωσεν ἄνω τοὺς ὀφθαλμούς· καὶ εὐχαριστήσας τῷ Θεῷ καὶ Πατρὶ, ἔκραξε φωνῇ μεγάλῃ: Λάζαρε, δεῦρο ἔξω· καὶ τοῦ τεταρταίου νεκροῦ ἐξελθόντος εὐθὺς, ἐντετυλιγμένου εἰς τὰ σάβανα, εἶπε πρὸς τοὺς παρεστῶτας: Λύσατε αὐτὸν, καὶ ἄφετε ὑπάγειν (Ἰωάν. ιά.) Τοῦτο ἐστι τὰ ὑπερφυὲς τοῦ Σωτῆρος θαῦμα, ὅπερ ἑορτάζομεν σήμερον.

Λέγεται δὲ ἐξ ἀρχαίας παραδόσεως, ὅτι ὁ Λάζαρος ἦν τριακονταετής, ὅτε ἀνέστησεν αὐτὸν ὁ Κύριος· ὅτι ἐπιζήσας ἄλλα τριάκοντα, ἐτελεύτησεν ἐν Κύπρῳ τὸ 63 ἔτος· καὶ ὅτι ὁ τάφος αὐτοῦ ἔκειτο πλησίον τῆς πόλεως Κιτιέων, ἔχων ἐπιγραφήν: "Λάζαρος ὁ τετραήμερος καὶ φίλος Χριστοῦ„. Τῷ δὲ 890 ἔτει, μετεκόμισεν εἰς Κωνσταντινούπολιν τὸ ἱερὸν αὐτοῦ Λείψανον Λέων ὁ Σοφὸς, ὅτε

ἀναμφιβόλως ἐποίησε καὶ τὰ εἰς τὸν Ἑσπερινὸν αὐτοῦ Ἰδιόμελα: Κύριε, Λαζάρου θέλων τάφον ἰδεῖν, κτλ.

## Ἀπολυτίκιον, Ἦχος ά.

Τὴν κοινὴν Ἀνάστασιν πρὸ τοῦ σοῦ πάθους πιστούμενος, ἐκ νεκρῶν ἤγειρας τὸν Λάζαρον, Χριστὲ ὁ Θεός· ὅθεν καὶ ἡμεῖς ὡς οἱ Παῖδες, τὰ τῆς νίκης σύμβολα φέροντες, σοὶ τῷ νικητῇ τοῦ θανάτου βοῶμεν: Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι, Κυρίου.

## Κοντάκιον, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Ἡ πάντων χαρά, Χριστὸς ἡ ἀλήθεια, τὸ φῶς, ἡ ζωή, τοῦ κόσμου ἡ ἀνάστασις, τοῖς ἐν γῇ πεφανέρωται, τῇ αὐτοῦ ἀγαθότητι, καὶ γέγονε τύπος τῆς Ἀναστάσεως, τοῖς πᾶσι παρέχων θείαν ἄφεσιν.

## Η ΒΑΙΟΦΟΡΟΣ




## ✠ Τῇ Κυριακῇ τῶν Βαΐων ✠

Κατὰ τὴν 18 τοῦ Μαρτίου, ἐν ἡμέρᾳ Κυριακῇ, πέντε ἡμέρας πρὸ τοῦ νομικοῦ Πάσχα, ἐρχόμενος ὁ Ἰησοῦς ἀπὸ τῆς Βηθανίας εἰς Ἱεροσόλυμα, ἀπέστειλε δύο τῶν Μαθητῶν αὐτοῦ, καὶ ἔφερον πρὸς αὐτὸν ὀνάριον, καὶ καθίσας ἐπ' αὐτοῦ, εἰσήρχετο εἰς τὴν πόλιν. Τὸ δὲ ἐν αὐτῇ πλῆθος τοῦ λαοῦ, ἀκούσαντες ὅτι ὁ Ἰησοῦς ἔρχεται, λάβοντες εὐθὺς εἰς τὰς χεῖρας αὐτῶν τὰ βαΐα τῶν φοινίκων, ἐξῆλθον εἰς ἀπάντησιν αὐτοῦ· καὶ ἄλλοι μὲν τὰ ἑαυτῶν ἱμάτια, ἄλλοι δὲ κόπτοντες κλάδους ἀπὸ τῶν δένδρων, ἐστρώννυον τὴν ὁδὸν, ὅπου ἤμελλε διέρχεσθαι καὶ πάντες ὁμοῦ, καὶ αὐτὰ ἔτι τὰ νήπια, προπορευόμενοι καὶ ἀκολουθοῦντες, ἔκραζον λέγοντες: Ὡσαννὰ,

ΜΗΤΡΟΠΟΛΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Αρμονία Κεντρική Βιβλιοθήκη Μητροπολιτικού Ιερατείου

εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ὁ Βασιλεὺς τοῦ Ἰσραήλ (Ἰωάν. ιβ'. 13). Καὶ ταύτην μὲν τὴν λαμπρὰν καὶ ἔνδοξον πανήγυριν τῆς εἰς Ἱερουσαλὴμ εἰσόδου τοῦ Κυρίου ἡμῶν ἑορτάζομεν σήμερον.

Ἐσήμαινον δὲ τὰ μὲν Βαΐα, τουτέστιν οἱ ἀπαλοὶ τῶν φοινίκων κλάδοι, τὴν κατὰ τοῦ διαβόλου καὶ τοῦ θανάτου νίκην τοῦ Χριστοῦ. Τὸ δὲ, Ὡσαννὰ, ἑρμηνεύεται, σῶσον, παρακαλῶ ἢ, σῶσον δή. Τὸ δὲ πωλάριον τῆς ὄνου, καὶ τὸ κάθισμα τοῦ Ἰησοῦ ἐπ' αὐτοῦ, (ζώου ἀδαμάστου ἔτι, καὶ κατὰ τὸν νόμον ἀκαθάρτου) ἐσήμαινε τὴν πρώην ἀκαθαρσίαν καὶ ἀγριότητα τῶν ἐθνῶν, καὶ τὴν μετὰ ταῦτα ὑποταγὴν αὐτῶν εἰς τὸν ἅγιον τοῦ Εὐαγγελίου νόμον.

**Ἀπολυτ. Ἦχος ά. Τὴν κοινὴν Ἀνάστασιν, ὡς ἀνωτέρω. Ἕτερον, Ἦχος δ'.**

Συνταφέντες σοι διὰ τοῦ Βαπτίσματος, Χριστὲ ὁ Θεὸς ἡμῶν, τῆς ἀθανάτου ζωῆς ἠξιώθημεν τῇ Ἀναστάσει σου, καὶ ἀνυμνοῦντες κράζομεν: Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

**Ἀπὸ γ'. Ὠδὴ, ἡ Ὑπακοὴ, Ἦχος πλ. β'.**

Μετὰ κλάδων ὑμνήσαντες πρότερον, μετὰ ξύλων συνέλαβον ὕστερον, οἱ ἀγνώμονες Χριστὸν, Ἰουδαῖοι τὸν Θεόν. Ἡμεῖς δὲ πίστει ἀμεταθέτῳ ἀεὶ τιμῶντες ὡς εὐεργέτην, διαπαντὸς βοήσωμεν αὐτῷ: Εὐλογημένος εἶ ὁ ἐρχόμενος, τὸν Ἀδὰμ ἀνακαλέσασθαι.

**Κοντάκιον αὐτόμελον, Ἦχος πλ. β'.**

Τῷ θρόνῳ ἐν οὐρανῷ, τῷ πώλῳ ἐπὶ τῆς γῆς, ἐποχούμενος Χριστὲ ὁ Θεὸς, τῶν Ἀγγέλων τὴν αἴνεσιν, καὶ τῶν Παίδων ἀνύμνησιν, προσεδέξω βοώντων σοι: Εὐλογημένος εἶ ὁ ἐρχόμενος, τὸν Ἀδὰμ ἀνακαλέσασθαι.

✠ **Τῇ ἁγίᾳ καὶ Μεγάλῃ Δευτέρᾳ.** ✠

Ἀπὸ τῆς σήμερον ἄρχονται τὰ ἅγια Πάθη τοῦ Σωτῆρος ἡμῶν καὶ πρῶτον πάντων λαμβάνεται εἰς τύπον αὐτοῦ Ἰωσὴφ ὁ Πάγκαλος. Ἦν δὲ οὗτος υἱὸς τοῦ Ἰακὼβ ἑνδέκατος· ὃς τις, φθονηθεὶς ὑπὸ τῶν ἰδίων ἀδελφῶν, καὶ εἰς λάκκον βληθεὶς, εἶτα πωληθεὶς εἰς ἀλλοφύλους, καὶ ὑπ' ἐκείνων πάλιν εἰς Αἴγυπτον, καὶ διὰ τὴν σωφροσύνην αὐτοῦ συκοφαντηθεὶς, καὶ εἰς φυλακὴν καταδικασθεὶς, καὶ τελευταῖον, ἐξαχθεὶς ἐκεῖθεν μετὰ δόξης πολλῆς, καὶ τιμηθεὶς ὡς βασιλεὺς, καὶ γενόμενος κύριος πάσης γῆς Αἰγύπτου, καὶ σιτοδότης παντὸς τοῦ λαοῦ, διὰ τούτων πάντων ἐτύπωσεν εἰς ἑαυτὸν τὰ πάθη, καὶ τὴν μετὰ ταῦτα δόξαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ (Γεν. λζ', μά.).

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσιος Κεντρική Βιβλιοθήκη Λεβαδειάς
Ψηφιακή Συλλογή Χειρογράφων

Εἰς τὴν μνήμην ταύτην τοῦ Ἰωσὴφ ἐπισυνάπτεται καὶ ἡ ἱστορία τῆς ὑπὸ τοῦ Κυρίου, κατὰ τὴν σήμερον τὸ πρωΐ, 19 Μαρτίου, καταραθείσης καὶ ξηρανθείσης συκῆς διὰ τὴν ἑαυτῆς ἀκαρπίαν. Εἰκόνιζε δὲ ἄυτη τῶν Ἰουδαίων τὴν Συναγωγὴν, ἥτις, μὴ ἔχουσα τὸν ἀπαιτούμενον καρπὸν τῆς ἀρετῆς καὶ εὐσεβείας, ἐγυμνώθη πάσης χάριτος πνευματικῆς διὰ τῆς θείας κατάρας (Ματθ. κά, 18-20).

Ἐν τῷ Ὄρθρῳ, εἰς τὸ, Ἀλληλουϊα, ψάλλομεν τὸ παρὸν Τροπάριον, Ἦχος πλ. δ'.

Ἰδοὺ ὁ Νυμφίος ἔρχεται ἐν τῷ μέσῳ τῆς νυκτός· καὶ μακάριος ὁ δοῦλος, ὃν εὑρήσει γρηγοροῦντα· ἀνάξιος δὲ πάλιν, ὃν εὑρήσει ῥᾳθυμοῦντα. Βλέπε οὖν ψυχή μου, μὴ τῷ ὕπνῳ κατενεχθῇς, ἵνα μὴ τῷ θανάτῳ παραδοθῇς, καὶ τῆς βασιλείας ἔξω κλεισθῇς· ἀλλὰ ἀνάνηψον κράζουσα: Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεὸς, διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Κοντάκιον, Ἦχος πλ. δ'.

Ὡς ἀπαρχὰς τῆς φύσεως.

Ὁ Ἰακὼβ ὠδύρετο τοῦ Ἰωσὴφ τὴν στέρησιν· καὶ ὁ γενναῖος ἐκάθητο ἅρματι ὡς βασιλεὺς τιμώμενος· τῆς Αἰγυπτίας γὰρ τότε ταῖς ἡδοναῖς μὴ δουλεύσας, ἀντεδοξάζετο παρὰ τοῦ βλέποντος τὰς τῶν ἀνθρώπων καρδίας, καὶ νέμοντος στέφος ἄφθαρτον.

✠ Τῇ ἁγίᾳ καὶ Μεγάλῃ τρίτῃ ✠

Τῆς τῶν Δέκα Παρθένων παραβολῆς τὴν ἀνάμνησιν ποιούμεθα σήμερον, ἣν ἐλάλησεν ὁ Ἰησοῦς μετὰ καὶ ἄλλων τοιούτων παραβολῶν, ἐρχόμενος ἐπὶ τὸ πάθος. Διδάσκει δὲ ἡμᾶς ἡ παραβολὴ αὕτη, ἵνα μὴ, τὸ μέγα τῆς παρθενίας ἔργον κατορθοῦντες, ἀμελῶμεν τὰ λοιπὰ, καὶ μάλιστα τὴν ἐλεημοσύνην, δι' ἧς ἡ λαμπὰς τῆς παρθενίας φαιδρύνεται. Ἔτι δὲ ἵνα, τὸ τέλος τῆς ζωῆς ἡμῶν ἀγνοοῦντες, ὑπάρχωμεν πᾶσαν ὥραν ἕτοιμοι πρὸς αὐτὸ, ὡς αἱ φρόνιμοι Παρθένοι, πρὸς τὴν τοῦ Νυμφίου ἀπάντησιν· μήποτε, αἰφνιδίως ἐλθόντος αὐτοῦ, καὶ κλεισθείσης τῆς θύρας τοῦ οὐρανίου νυμφῶνος, ἀκούσωμεν καὶ ἡμεῖς, ὡς αἱ Μωραὶ, τὴν φρικτὴν ἐκείνην ἀπόφασιν: Ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς (Ματθ. κέ, 1-13).

Ἐν τῷ Ὄρθρῳ, Ἰδοὺ ὁ Νυμφίος, ὡς ἀνωτέρω.

Κοντάκιον, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τὴν ὥραν ψυχή, τοῦ τέλους ἐννοήσασα, καὶ τὴν ἐκκοπὴν, τῆς συκῆς δειλιάσασα, τὸ δοθέν σοι τάλαν-

Δημόσια Κεντρική Βιβλιοθήκη Λήξουριου - Μουσείο Τυπωμένων Ελληνικών

τον, φιλοπόνως ἔργασαι ταλαίπωρε, γρηγοροῦσα καὶ κράζουσα: Μὴ μείνωμεν ἔξω τοῦ νυμφῶνος Χριστοῦ.

## ✠ Τῇ ἁγίᾳ καὶ Μεγάλῃ Τετάρτῃ ✠

Δύο γυναῖκες, λέγουσιν οἱ κριτικώτεροι τῶν Εὐαγγελίων ἑρμηνευταὶ, ἠλειψαν τὸν Κύριον μύρῳ, ἡ μὲν πολὺν καιρὸν πρὸ τοῦ πάθους αὐτοῦ, ἡ δὲ πρὸ ὀλίγων ἡμερῶν· καὶ ἡ μὲν ὑπῆρχε πόρνη καὶ ἁμαρτωλὸς, ἡ δὲ σώφρων καὶ ἐνάρετος. Τοῦ εὐλαβοῦς τούτου ἔργου τὴν μνήμην ἐπιτελοῦσα σήμερον ἡ Ἐκκλησία, καὶ εἰς τὸ πρόσωπον τῆς πόρνης αὐτὸ ἀναφέρουσα, συναναφέρει ἑνταυτῷ καὶ τὴν προδοσίαν τοῦ Ἰούδα, ἅπερ ἀμφότερα ἐπράχθησαν, κατὰ τὴν ἱστορικὴν τοῦ Ματθαίου σειρὰν, δύο ἡμέρας πρὸ τοῦ νομικοῦ Πάσχα, Μαρτίου 21. ἡμέρᾳ δ'. τῆς Ἑβδομάδος.

Ἡ γυνὴ λοιπὸν ἐκείνη ἤλειψε διὰ τοῦ μύρου τὴν κεφαλὴν καὶ τοὺς πόδας τοῦ Ἰησοῦ, καὶ διὰ τῶν τριχῶν τῆς κεφαλῆς αὐτῆς ἀπεσπόγγισεν αὐτούς. Τὸ πολύτιμον ἐκεῖνο μύρον ἐξετιμήθη 300 δηνάρια, ἤ περίπου 15 φλωρία Βενετικά. Οἱ Μαθηταὶ, καὶ ἐξόχως ὁ φιλάργυρος Ἰούδας σκανδαλίζεται, τάχα διὰ τὴν ἀπώλειαν τοσούτου μύρου. Ὁ Ἰησοῦς ἐπιπλήττει αὐτὸν, ἵνα μὴ ἐνοχλῇ τὴν γυναῖκα· καὶ ὁ Ἰούδας εἰγανακτῶν, πορεύεται πρὸς τοὺς Ἀρχιερεῖς, συνηγμένους εἰς τὴν αὐλὴν τοῦ Καϊάφα, καὶ συμβουλευομένους ἤδη κατὰ τοῦ Ἰησοῦ· καὶ συμφωνήσας μετ' αὐτῶν τὴν προδοσίαν τοῦ Διδασκάλου διὰ 30 ἀργύρια, ἀπὸ τότε ἐζήτει εὐκαιρίαν, ἵνα αὐτὸν παραδῷ (Ματθ. κς'. 2-15). Ἐκ τούτου ἔλαβεν ἀρχὴν, ἀπ' αὐτῶν τῶν ἀποστολικῶν χρόνων, ἡ νηστεία τῆς Τετράδος.

**Ἐν τῷ Ὄρθρῳ, Ἰδοὺ ὁ Νυμφίος, ὡς ἀνωτέρω.**

**Κοντάκιον, Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Ὑπὲρ τὴν Πόρνην ἁγαθὲ ἀνομήσας, δακρύων ὄμβρους ἀδαμῶς σοι προσῆξα· ἀλλὰ σιγῇ δεόμενος προσπίπτω σοι, πόθῳ ἀσπαζόμενος, τοὺς ἀχράντους σου πόδας, ὅπως μοι τὴν ἄφεσιν, ὡς Δεσπότης παράσχῃς τῶν ὀφλημάτων, κράζοντι Σωτήρ: Ἐκ τοῦ βορβόρου τῶν ἔργων μου ῥῦσαί με.

ΔΗΜΟΣΙΕΥΤΑ ΣΤΟ ΔΙΑΔΙΚΤΥΟ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

## Ο ΔΕΙΠΝΟΣ Ο ΜΥΣΤΙΚΟΣ.



## ✠ Τῇ ἁγίᾳ, καὶ Μεγάλῃ Πέμπτῃ ✠

Κατὰ τὸ ἑσπέρας τῆς σήμερον, ἥτις ἦν τότε ἡ πρὸ τῶν Ἀζύμων ἡμέρα, τουτέστιν ἡ τοῦ νομικοῦ Πάσχα παραμονή, Μαρτίου 22. ἡμέρα ε. τῆς Ἑβδομάδος, συνεδείπνησεν ἐν τῇ πόλει ὁ Ἰησοῦς μετὰ τῶν Δώδεκα. Εὐλόγησε τὸν ἄρτον καὶ τὸν οἶνον, καὶ παρέδωκε τὸ Μυστήριον τῆς θείας Εὐχαριστίας. Ἔνιψε τοὺς πόδας τῶν Μαθητῶν, εἰς ὑπόδειγμα ταπεινώσεως. Εἶπε παῤῥησίᾳ, ὅτι εἷς ἐξ αὐτῶν ἐμελέτα τὴν κατ' αὐτοῦ προδοσίαν· καὶ ἔδειξε τὸν προδότην, δοὺς εἰς Ἰούδαν ψωμίου κομμάτιον, βεβαμμένον εἰς τοῦ τρυβλίου (πιάτου) τὸν ζωμόν. Ἐξελθόντος ἐκείνου εὐθὺς, ἐδίδαξε τοὺς Μαθητὰς τὰ ὑπερφυῆ καὶ τελευταῖα μαθήματα, ὅσα ἐμπεριέχονται εἰς τὸ ἁ. Εὐαγγέλιον τῶν ἁγίων Παθῶν—Ἐξέρχεται μετὰ ταῦτα ὁ Θεάνθρωπος εἰς τὸ Ὄρος τῶν Ἐλαιῶν, καὶ ἐκεῖ ἄρχεται λυπεῖσθαι καὶ ἀδημονεῖν. Ἀναχωρεῖ κατ' ἰδίαν, καὶ κλίνας τὰ γόνατα προσεύχεται ἐντενῶς· καὶ ἐκ τῆς πολλῆς ἀγωνίας γίνεται ὁ ἱδρὼς αὐτοῦ, ὡς αἵματος πηκτοῦ κόμβοι, πίπτοντες εἰς τὴν γῆν. Μόλις πληρεῖ τὴν ἐναγώνιον ἐκείνην προσευχὴν, καὶ ἰδοὺ φθάνει καὶ ὁ Ἰούδας μετὰ στρατιωτῶν ἐνόπλων καὶ ὄχλου πολλοῦ, καὶ χαιρετήσας, καὶ φιλήσας δολίως τὸν Διδάσκαλον, παραδίδει αὐτόν.

Συλλαμβάνεται τὸ λοιπὸν ὁ Ἰησοῦς· καὶ φέρεται δέσμιος πρὸς τοὺς Ἀρχιερεῖς Ἄνναν καὶ Καϊάφαν. Οἱ Μαθηταὶ σκορπίζονται· καὶ ὁ θερμότερος τῶν ἄλλων Πέτρος, ἀκολουθήσας αὐτὸν ἕως εἰς τὴν ἀρχιερατικὴν αὐλὴν, ἀρνεῖται καὶ αὐτὸς τελευταῖον, ὅτι ἐστὶν αὐτοῦ Μαθητής. Ὁ δὲ θεῖος Διδάσκαλος παριστάνεται ἔμπροσθεν τοῦ παρανόμου συνεδρίου, ἐξετάζεται περὶ τῶν μαθητῶν καὶ τῆς διδαχῆς αὐτοῦ, ἐξορκίζεται εἰς τὸν Θεὸν ἵνα εἴπῃ, ἐὰν αὐτὸς ὑπάρχῃ τῷ ὄντι ὁ Χριστός· καὶ εἰπὼν τὴν ἀλήθειαν, κρίνεται θανάτου ἔνοχος, τάχα ὡς βλασφημήσας. Ἐφεξῆς ἐμπτύεται εἰς τὸ πρόσωπον, ῥα-

πίζεται, γρονθοκοπεῖται, ἐμπαίζεται παντοιοτρόπως δι' ὅλης τῆς νυκτὸς, ἕως πρωΐας.

**Ἐν τῷ Ὄρθρῳ, εἰς τὸ, Ἀλληλούϊα, ψάλλομεν τὸ παρὸν Τροπάριον, Ἦχος πλ. δ'.**

Ὅτε οἱ ἔνδοξοι Μαθηταὶ, ἐν τῷ νιπτῆρι τοῦ Δείπνου ἐφωτίζοντο, τότε Ἰούδας ὁ δυσσεβὴς, φιλαργυρίᾳ νοσήσας ἐσκοτίζετο· καὶ ἀνόμοις κριταῖς, σὲ τὸν δίκαιον Κριτὴν παραδίδωσι. Βλέπε χρημάτων ἐραστὰ, τὸν διὰ ταῦτα ἀγχόνῃ χρησάμενον· φεῦγε ἀκόρεστον ψυχὴν, τὴν Διδασκάλῳ τοιαῦτα τολμήσασαν. Ὁ περὶ πάντας ἀγαθὸς, Κύριε δόξα σοι.

**Κοντάκιον, Ἦχος β'. Τὰ ἄνω ζητῶν.**

Τὸν ἄρτον λαβὼν, εἰς χεῖρας ὁ Προδότης, κρυφίως αὐτὰς, ἐκτείνει καὶ λαμβάνει, τὴν τιμὴν τοῦ πλάσαντος ταῖς οἰκείαις χερσὶ τὸν ἄνθρωπον· καὶ ἀδιόρθωτος ἔμεινεν, Ἰούδας ὁ δοῦλος καὶ δόλιος.

**Η ΣΤΑΥΡΩΣΙΣ ΤΟΥ ΧΡΙΣΤΟΥ**




**✠ Τῇ ἁγίᾳ, καὶ Μεγάλῃ Παρασκευῇ ✠**

Ἀφ' οὗ ἀνέτειλεν ἡ 23 τοῦ Μαρτίου, ἡμέρα τῆς Ἑβδομάδος Παρασκευὴ, ἀποστέλλεται ὁ Ἰησοῦς δέσμιος ἀπὸ τοῦ Καϊάφα πρὸς τὸν τότε ἡγεμόνα τῆς Ἰουδαίας, Πόντιον Πιλάτον τὸ ὄνομα· ὅς τις, πολυτρόπως ἀνακρίνας αὐτὸν, καὶ ἄπαξ καὶ δὶς ὁμολογήσας ἀθῶον, πρὸς εὐχαριστησιν ἔπειτα τῶν Ἰουδαίων, ψηφίζει θάνατον κατ' αὐτοῦ· καὶ φραγγελώσας ὡς δοῦλον φυγάδα τὸν Δεσπότην τοῦ παντὸς, παρέδωκεν εἰς τὸ σταυρωθῆναι — Ἐντεῦθεν ὁ Ἰησοῦς, παραδοθεὶς

εἰς τοὺς στρατιώτας, γυμνοῦται τὰ ἱμάτια αὐτοῦ ἐνδύεται χλαμύδα κοκκίνην, στεφανοῦται ἀκάνθας, σκηπτροφορεῖ κάλαμον, προσκυνεῖται χλευαστικῶς, ἐμπτύεται, κρούεται κατὰ τοῦ προσώπου καὶ τῆς κεφαλῆς. Εἶτα, ἐνδυθεὶς πάλιν τὰ ἑαυτοῦ ἱμάτια, καὶ βαστάζων τὸν σαυρὸν, ἔρχεται εἰς τὸν Γολγοθᾶ, τόπον τῆς καταδίκης, καὶ ἐκεῖ, περὶ ὥραν γ'. τῆς ἡμέρας, σταυροῦται μεταξὺ δύο λῃστῶν, βλασφημεῖται ὑπὸ τῶν παραπορευομένων, μυκτηρίζεται ὑπὸ τῶν Ἀρχιερέων, ποτίζεται ὑπὸ τῶν στρατιωτῶν ὄξος μεμιγμένον μετὰ χολῆς. Περὶ δὲ τὴν Θ'. ὥραν κράξας φωνῇ μεγάλῃ, καὶ εἰπὼν, Τετέλεσται, ἐκπνέει ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου (Ἰωάν. ά, 29) καθ' ἣν ὥραν, πανσελήνου οὔσης τῆς ἡμέρας, ἐσφάζετο κατὰ τὸν νόμον ὁ Πασχάλιος ἀμνὸς, ὁ εἰς τύπον αὐτοῦ διαταχθεὶς τοῖς Ἰουδαίοις πρὸ 1643 ἐτῶν (Ἐξ. ιβ'.)

Τὸν δεσποτικὸν τοῦτον θάνατον καὶ ἡ ἄψυχος κτίσις πενθοῦσα, τρέμει καὶ ἀλλοιοῦται ἀπὸ τοῦ φόβου· ἀλλ' ὁ Δημιουργὸς τῆς κτίσεως, καὶ νεκρὸς ἤδη ὤν, λογχεύεται προσέτι καὶ τὴν πλευράν, καὶ ῥέει ἐξ αὐτῆς αἷμα καὶ ὕδωρ. Τέλος, περὶ τὴν δύσιν τοῦ Ἡλίου, ἔρχεται Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας, καὶ Νικόδημος μετ' αὐτοῦ, ἀμφότεροι μαθηταὶ τοῦ Ἰησοῦ κεκρυμμένοι, ἀποκαθηλοῦσιν ἀπὸ τοῦ Σταυροῦ τὸ πανάγιον τοῦ Διδασκάλου σῶμα, ἀρωματίζουσιν αὐτὸ, ἐντυλίσσουσιν εἰς σινδόνα καθαράν, καὶ θάψαντες αὐτὸ ἐν μνημείῳ καινῷ, προσκυλίουσιν ἐπὶ τὸ στόμιον αὐτοῦ λίθον μέγαν.

Ταῦτα τὰ φρικτὰ καὶ σωτήρια πάθη τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπιτελοῦμεν σήμερον, καὶ εἰς ἀναμνησιν αὐτῶν παρελάβομεν, ἐξ Ἀποστολικῆς διαταγῆς, τὴν τῆς Παρασκευῆς νηστείαν.

**Ἐν τῇ Ἀκολουθίᾳ τῶν ἁγίων Παθῶν, εἰς τὸ, Ἀλληλούϊα, Ὅτε οἱ ἔνδοξοι Μαθηταί, ὡς ἀνωτέρω.**

**Κοντάκιον αὐτόμελον, Ἦχος πλ. δ'.**

Τὸν δι' ἡμᾶς σαυρωθέντα δεῦτε πάντες ὑμνήσωμεν· αὐτὸν γὰρ κατεῖδε Μαρία ἐπὶ τοῦ ξύλου, καὶ ἔλεγεν: Εἰ καὶ Σταυρὸν ὑπομένεις, σὺ ὑπάρχεις ὁ Υἱὸς καὶ Θεός μου.

**Εἰς τὴν Ἀπόλυσιν τοῦ Ὄρθρου, Ἦχος δ'.**

Ἐξηγόρασας ἡμᾶς, ἐκ τῆς κατάρας τοῦ νόμου, τῷ τιμίῳ σου αἵματι· τῷ Σταυρῷ προσηλωθεὶς, καὶ τῇ λόγχῃ κεντηθεὶς, τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις. Σωτὴρ ἡμῶν, δόξα σοι.

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

## Ο ΕΠΙΤΑΦΙΟΣ ΘΡΗΝΟΣ



### ✠ Τῷ ἁγίῳ καὶ Μεγάλῳ Σαββάτῳ ✠

Τῇ ἐπαύριον μετὰ τὴν Παρασκευήν, ἡμέρᾳ Σαββάτου, Μαρτίου 24, συναχθέντες οἱ Ἀρχιερεῖς, καὶ οἱ Φαρισαῖοι πρὸς τὸν Πιλάτον, παρεκάλεσαν αὐτὸν, ἵνα ἀσφαλίσῃ τὸν τάφον τοῦ Ἰησοῦ, ἕως τῆς τρίτης ἡμέρας· διότι (ἔλεγον οἱ Θεομάχοι) ἔχομεν ὑποψίαν, μήπως οἱ Μαθηταὶ αὐτοῦ, κλέψαντες διὰ νυκτὸς τὸ ἐνταφιασθὲν αὐτοῦ σῶμα, κηρύξωσιν ἔπειτα εἰς τὸν λαὸν ὡς ἀληθινὴν τὴν ἀνάστασιν, ἣν προεῖπεν ὁ πλάνος ἐκεῖνος, ἔτι ζῶν· καὶ τότε ἔσται ἡ ἐσχάτη πλάνη χείρων τῆς πρώτης. Ταῦτα εἰπόντες πρὸς τὸν Πιλάτον, καὶ λαβόντες ἄδειαν παρ' αὐτοῦ, ἀπῆλθον καὶ ἐσφράγισαν τὸν τάφον, διορισάντες πρὸς ἀσφάλειαν αὐτοῦ καὶ Κουσωδίαν (Custodiam), τουτέστι φύλακας, ἐκ τῶν φυλασσόντων τὴν πόλιν στρατιωτῶν (Ματθ. κζ', 62-66).

### Ἀπολυτίκιον, Ἦχος β'.

Ὁ εὐσχήμων Ἰωσὴφ, ἀπὸ τοῦ ξύλου καθελὼν, τὸ ἄχραντόν σου Σῶμα, σινδόνι καθαρᾷ εἱλήσας καὶ ἀρώμασιν, ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο.

### Δόξα.

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον, ἡ ζωὴ ἡ ἀθάνατος, τότε τὸν Ἅδην ἐνέκρωσας τῇ ἀστραπῇ τῆς Θεότητος· ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ Δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον: Ζωοδότα Χριστὲ, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Λαπουρδών
Μουσείο Τυπαλδών Ιακωβατών

Καὶ νῦν.

Ταῖς Μυροφόροις γυναιξί, παρὰ τὸ μνῆμα ἐπιστὰς ὁ Ἄγγελος ἐβόα: Τὰ μύρα τοῖς θνητοῖς ὑπάρχει ἁρμόδια, Χριστὸς δὲ διαφθορᾶς ἐδείχθη ἀλλότριος.

Κοντάκιον, Ἦχος β'. Χειρόγραφον εἰκόνα.

Τὴν ἄβυσσον ὁ κλείσας, νεκρὸς ὁρᾶται· καὶ σμύρνῃ καὶ σινδόνι ἐνειλημμένος, ἐν μνημείῳ κατατίθεται, ὡς θνητὸς ὁ ἀθάνατος. Γυναῖκες δὲ αὐτὸν ἦλθον μυρίσαι, κλαίουσαι πικρῶς καὶ ἐκβοῶσαι: Τοῦτο Σάββατόν ἐστι τὸ ὑπερευλογημένον, ἐν ᾧ Χριστὸς ἀφυπνώσας, ἀναστήσεται τριήμερος.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΠΕΝΤΗΚΟΣΤΑΡΙΟΝ.

## Η ΑΝΑΣΤΑΣΙΣ ΤΟΥ ΧΡΙΣΤΟΥ.



### ✠ Τῇ ἁγίᾳ καὶ Μεγάλῃ Κυριακῇ τοῦ Πάσχα ✠

Αἱ εἰς τὸν ἐνταφιασμὸν τοῦ Σωτῆρος, κατὰ τὴν ἑσπέραν τῆς Παρασκευῆς, παρευρεθεῖσαι γυναῖκες Μαρία ἡ Μαγδαληνὴ μετὰ τῶν λοιπῶν (Κυρ. τῶν Μυροφ.), ὑποστρέψαται ἀπὸ τοῦ Γολγοθᾶ εἰς τὴν πόλιν, ἡτοίματαν ἀρώματα καὶ μύρα, ἵνα ἐλθοῦσαι μετὰ ταῦτα, ἀλείψωσι τὸ σῶμα τοῦ Ἰησοῦ. Καὶ τῇ μὲν ἐπαύριον, διὰ τὴν πεῖν τῆς ἁγίας τοῦ Σαββάτου ἐντολὴν, ἡσύχασαν δὲ ὅλης τῆς ἡμέρας. Κατὰ δὲ τὸν βαθὺν ὄρθρον τῆς ἐφεξῆς Κυριακῆς, ἥτις ὑπὸ τῶν Εὐαγγελιστῶν ὀνομάζεται πρώτη Σαββάτου, καὶ, μία Σαββάτων, ἤγουν πρώτη τῆς Ἑβδομάδος ἡμέρα, Μαρτίου τότε 25, μετὰ 36 ὥρας σχεδὸν ἀπὸ τῆς τοῦ Ζωοδότου νεκρώσεως, ἔρχονται μετὰ τῶν νεκρασίμων ἀρωμάτων εἰς τὸ μνημεῖον. Καὶ ἐνῷ αὐταὶ διαλογίζονται τὴν δυσκολίαν τῆς τοῦ λίθου ἀποκυλίσεως ἐκ τῆς θύρας τοῦ μνημείου, ἰδοὺ γίνεται σεισμὸς φοβερός· καὶ Ἄγγελος Κυρίου, ἀστραπηφόρος τὴν ὄψιν, χιονόφωτος τὴν στολὴν, ἀποκυλίσας τὸν λίθον, καὶ καθίσας ἐπ' αὐτοῦ, ἀπενέκρωσεν ἀπὸ τοῦ φόβου τοὺς φύλακας, καὶ ἔβλεπεν αὐτοὺς εἰς φυγήν. Αἱ δὲ γυναῖκες, εἰσελθοῦσαι εἰς τὸ μνημεῖον, καὶ μὴ εὑροῦσαι τὸ σῶμα τοῦ Ἰησοῦ, βλέπουσιν ἄλλους δύο Ἀγγέλους λευκοφοροῦντας, ἐν σχήματι ἀνδρικῷ, οἵ, καὶ μηνύσαντες τὴν ἔγερσιν τοῦ Σωτῆρος, ἀποστέλλουσιν αὐτὰς ἵνα, δραμοῦσαι τεχέως, ἀπαγγείλωσιν εἰς τοὺς Μαθητὰς τὰ φαιδρὰ Εὐαγγέλια. Ἐν τοσούτῳ φθάνει καὶ ὁ Πέτρος μετὰ τοῦ Ἰωάννου, μαθόντες τὰ γενόμενα πα-

ρὰ τῆς Μαγδαληνῆς, ὡς εἴρηται (Ἰουλ. 22)· καὶ εἰσελθόντες εἰς τὸν τάφον, εὑρίσκουσι μόνα τὰ σάβανα. Διὸ ἐπανέρχονται πάντες εἰς τὴν πόλιν μετὰ χαρᾶς, κήρυκες ἤδη τῆς ὑπερφυοῦς Ἀναστάσεως τοῦ Χριστοῦ, ὃν καὶ εἶδον ζῶντα πραγματικῶς πεντάκις κατὰ τὴν σήμερον ἡμέραν.

Ταύτην οὖν τὴν χαρμόσυνον Ἀνάστασιν ἑορτάζοντες σήμερον, ἀσπαζόμεθα ἀλλήλους τὸν ἐν Χριστῷ ἀσπασμόν, δεικνύοντες διὰ τούτου τὴν κατάλυσιν τῆς πρώην ἔχθρας μεταξὺ ἡμῶν καὶ τοῦ Θεοῦ, καὶ τὴν πρὸς ἡμᾶς πάλιν αὐτοῦ διαλλαγὴν διὰ τοῦ πάθους τοῦ Σωτῆρος. Καὶ ἡ μὲν ἑορτὴ ὀνομάζεται Πάσχα, ὁμωνύμως τῷ Πάσχα τῶν Ἑβραίων, ὅπερ, κατὰ τὴν γλῶσσαν αὐτῶν, σημαίνει διάβασιν· διότι ὁ παθὼν καὶ ἀναστὰς Ἰησοῦς διεβίβασεν ἡμᾶς ἐκ τῆς κατάρας τοῦ Ἀδὰμ, καὶ τῆς δουλείας τοῦ διαβόλου, εἰς τὴν ἀρχαίαν ἐλευθερίαν καὶ μακαριότητα. Ἡ δὲ παροῦσα τῆς Ἑβδομάδος ἡμέρα, ἥτις ἐστὶν ἡ πρώτη τῶν λοιπῶν, ἀφιερωθεῖσα εἰς τιμὴν τοῦ Κυρίου, ἐπωνομάσθη ἐκ τοῦ ὀνόματος αὐτοῦ, Κυριακὴ, καὶ εἰς αὐτὴν μετετέθη ὑπὸ τῶν Ἀποστόλων ἡ ἀργία καὶ ἀνάπαυσις τῆς τοῦ Σαββάτου ἑορτῆς τοῦ παλαιοῦ νόμου.

Τροπάριον, Ἦχος πλ. ά.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

Ἡ Ὑπακοή. Ἦχος δ'.

Προλαβοῦσαι τὸν ὄρθρον αἱ περὶ Μαριὰμ, καὶ εὑροῦσαι τὸν λίθον ἀποκυλισθέντα τοῦ μνήματος, ἤκουον ἐκ τοῦ Ἀγγέλου: Τὸν ἐν φωτὶ ἀϊδίῳ ὑπάρχοντα, μετὰ νεκρῶν τί ζητεῖτε ὡς ἄνθρωπον; βλέπετε τὰ ἐντάφια σπάργανα· δράμετε, καὶ τῷ κόσμῳ κηρύξατε, ὡς ἠγέρθη ὁ Κύριος, θανατώσας τὸν θάνατον· ὅτι ὑπάρχει Θεοῦ Υἱὸς, τοῦ σώζοντος τὸ γένος τῶν ἀνθρώπων.

Κοντάκιον αὐτόμελον, Ἦχος πλ. δ'.

Εἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε, ἀλλὰ τοῦ Ἅιδου καθεῖλες τὴν δύναμιν, καὶ ἀνέστης ὡς νικητὴς, Χριστὲ ὁ Θεὸς, γυναιξὶ Μυροφόροις φθεγξάμενος, Χαίρετε, καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος, ὁ τοῖς πεσοῦσι παρέχων Ἀνάστασιν.

ΕΙΔΗΣΙΣ.

Δεῖ εἰδέναι, ὅτι ἀπὸ ταύτης τῆς ἡμέρας τῆς ἁγίας καὶ Μεγάλης Κυριακῆς τοῦ Πάσχα, μέχρι τοῦ Σαββάτου τῆς Δια-

Δημόσια Κεντρική Βιβλιοθήκη Λεξουρίου - Μοναστηριακή Βιβλιοθήκη

καινισίμου, αἱ Ὧραι, τὰ Ἀπόστιχα, καὶ τὸ Μεσονυκτικὸν ψάλλονται οὕτω:

## Μετὰ τὸν Εὐλογητὸν,

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος. Ἐκ γ.

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν Ἅγιον Κύριον, Ἰησοῦν τὸν μόνον ἀναμάρτητον. Τὸν Σταυρόν σου Χριστὲ προσκυνοῦμεν, καὶ τὴν ἁγίαν σου Ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σε ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Δεῦτε πάντες οἱ πιστοί, προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν Ἀνάστασιν· ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ, χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ. Διαπαντὸς εὐλογοῦντες τὸν Κύριον ὑμνοῦμεν τὴν Ἀνάστασιν αὐτοῦ· Σταυρὸν γὰρ ὑπομείνας δι' ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν. Ἐκ γ.

Προλαβοῦσαι τὸν ὄρθρον αἱ περὶ Μαριὰμ, καὶ εὑροῦσαι τὸν λίθον ἀποκυλισθέντα τοῦ μνήματος, ἤκουον ἐκ τοῦ Ἀγγέλου: Τὸν ἐν φωτὶ ἀϊδίῳ ὑπάρχοντα, μετὰ νεκρῶν τί ζητεῖτε ὡς ἄνθρωπον; βλέπετε τὰ ἐνταφια σπάργανα· δράμετε, καὶ τῷ κόσμῳ κηρύξατε, ὡς ἠγέρθη ὁ Κύριος, θανατώσας τὸν θάνατον· ὅτι ὑπάρχει Θεοῦ Υἱὸς, ποῦ σώζοντος τὸ γένος τῶν ἀνθρώπων.

Εἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε, ἀλλὰ τοῦ Ἅιδου καθεῖλες τὴν δύναμιν· καὶ ἀνέστης ὡς νικητὴς Χριστὲ ὁ Θεὸς, γυναιξὶ Μυροφόροις φθεγξάμενος, Χαίρετε, καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος, ὁ τοῖς πεσοῦσι παρέχων Ἀνάστασιν.

Ἐν τάφῳ σωματικῶς, ἐν Ἅιδου δὲ μετὰ ψυχῆς ὡς Θεὸς, ἐν Παραδείσῳ δὲ μετὰ Λῃστοῦ, καὶ ἐν θρόνῳ ὑπῆρχες Χριστὲ, μετὰ Πατρὸς καὶ Πνεύματος, πάντα πληρῶν ὁ ἀπερίγραπτος. Δόξα.

Ὡς ζωηφόρος, ὡς Παραδείσου ὡραιότερος, ὄντως καὶ παντὸς πάσης βασιλικῆς, ἀναδέδειξαι λαμπρότερος Χριστὲ ὁ τάφος σου, ἡ πηγὴ τῆς ἡμῶν Ἀναστάσεως.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Καὶ νῦν, Θεοτοκίον.

Τὸ τοῦ Ὑψίστου ἡγιασμένον θεῖον σκήνωμα, χαῖρε· διὰ σοῦ γὰρ δέδοται ἡ χαρά, Θεοτόκε τοῖς κραυγάζουσιν: Εὐλογημένη σὺ ἐν γυναιξὶν, ὑπάρχεις παναμωμε Δέσποινα.

Τὸ, Κύριε ἐλέησον, μ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ. Εἶτα, Δι' εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν. Τρισσεύεται δὲ ἡ τοιαύτη Ἀκολουθία ἔντε τῷ Μεσονυκτικῷ, καὶ ταῖς Ὥραις, καὶ τῷ Ἀποδείπνῳ· ἐν τούτῳ δὲ λέγομεν καὶ τὴν ἑπομένην

ΕΥΧΗΝ ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ.

Εὐλογητὸς εἶ, Δέσποτα παντοκράτορ, ὁ φωτίσας τὴν ἡμέραν τῷ φωτὶ τῷ ἡλιακῷ, καὶ τὴν νύκτα φαιδρυνας ταῖς αὐγαῖς τοῦ πυρὸς, ὁ τὸ μῆκος τῆς ἡμέρας διελθεῖν ἡμᾶς καταξιώσας, καὶ προσεγγίσαι ταῖς ἀρχαῖς τῆς νυκτὸς, ἐπάκουσον τῆς δεήσεως ἡμῶν, καὶ παντὸς τοῦ λαοῦ σου· καὶ πᾶσιν ἡμῖν συγχωρήσας τὰ ἑκούσια, καὶ τὰ ἀκούσια ἁμαρτήματα, πρόσδεξαι τὰς ἑσπερινὰς ἡμῶν ἱκεσίας, καὶ κατάπεμψον τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ τῶν οἰκτιρμῶν σου ἐπὶ τὴν κληρονομίαν σου. Τείχισον ἡμᾶς ἁγίοις Ἀγγέλοις σου· ὅπλισον ἡμᾶς ὅπλοις δικαιοσύνης σε· περιχαράκωσον ἡμᾶς τῇ ἀληθείᾳ σου· φρούρησον ἡμᾶς τῇ δυνάμει σου· ῥῦσαι ἡμᾶς ἐκ πάσης περιστάσεως, καὶ πάσης ἐπιβουλῆς τοῦ ἀντικειμένου. Παράσχου δὲ ἡμῖν καὶ τὴν παροῦσαν ἑσπέραν, σὺν τῇ ἐπερχομένῃ νυκτὶ, τελείαν, ἁγίαν, εἰρηνικὴν, ἀναμάρτητον, ἀσκανδάλιστον, ἀφάνταστον, καὶ πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν· πρεσβείαις τῆς ἁγίας Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων, τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων. Ἀμήν.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, ἐκ γ'. καὶ ἀπόλυσις.

ΕΙΔΗΣΙΣ.

Ἐν ὅλῃ ταύτῃ τῇ Διακαινησίμῳ Ἑβδομάδι, πᾶσι ὡς μία λαμπροφόρος ἡμέρα λογίζεται, καταλύομεν εἰς πάντα.

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάδων Ιακωβάτων

## ✠ Τῇ Παρασκευῇ τῆς Διακαινησίμου ✠
## Ψάλλομεν τὴν Ἀκολουθίαν τῆς Ζωοδόχου Πηγῆς.

Ἔξω τῆς Κωνσταντινουπόλεως, πρὸς τὰ μέρη τῶν Ἑπτὰ Πύργων, ὑπῆρχε τοπάλαι ναὸς μέγιστος καὶ περικαλλὴς, ἐπ' ὀνόματι τῆς Θεοτόκου, ἀνεγερθεὶς περὶ τὰ μέσα τοῦ Ε'. αἰῶνος ὑπὸ Λέοντος τοῦ Θρᾳκὸς, τοῦ καὶ Μακέλλη καλουμένου, πλησίον πηγῆς τινος, ἧς τὸ ὕδωρ πολλὰς ἰάσεις ἐποίησε κατὰ καιροὺς, καὶ παντοίας νόσους ἐθεράπευσε τῇ χάριτι τῆς Θεοτόκου, ἀφ' ἧς καὶ ἐπωνομάσθη Ζωοδόχος, ἢ μᾶλλον Ζωηφόρος Πηγή. Τοῦ ναοῦ τούτου τὰ Ἐγκαίνια ἐπιτελεῖ σήμερον ἡ τοῦ Χριστοῦ Ἐκκλησία· οὗτινος ὅμως ναοῦ, μετὰ τὴν πτῶσιν τοῦ βασιλείου, κατεδαφισθέντος δι' ἀνωτέρας ἐπιταγῆς, καὶ τῆς ὕλης αὐτοῦ μετακομισθείσης εἰς κατασκευὴν τοῦ Σουλτὰν Βαγιαζιτίου, οὐδὲν ἕτερον ἔμενεν ἐκ τῆς ἀρχαίας ἐκείνης καλλονῆς, εἰ μὴ σμικρότατον καὶ εὐτελὲς παρεκκλήσιον, ὅλον σχεδὸν εἰς τὰ ἐρείπια πεχωσμένον, ἔχον 25 βαθμίδας πρὸς κατάβασιν, καὶ φεγγίτας ἄνωθεν τῆς στέγης, δι' ὧν ἐδέχετο ὀλίγον φῶς. Πρὸς δὲ τὴν δυτικὴν πλευρὰν τοῦ ἐδάφους αὐτοῦ, ἔκειτο ἡ ῥηθεῖσα τοῦ Ἁγιάσματος πηγὴ, διὰ κιγκλίδων πεφραγμένη, ἐν ᾗ ἐφαίνοντο κολυμβῶντα καὶ ὀψάρια τινά. Τοιαύτη μὲν ἦν ἡ κατάστασις αὐτοῦ μέχρι τοῦ 1821 ἔτους· τότε δὲ κατεδαφισθὲν καὶ τὸ μικρὸν ἐκεῖνο λείψανον, συγκατέχωσεν ἐν ἑαυτῷ καὶ τὸ ἱερὸν Ἁγίασμα, καὶ ἐγένετο πάντη ἀφανές.

Ἀλλ' ἐπὶ τῶν εὐκλεῶν ἡμερῶν τοῦ Σουλτὰν Μαχμούτ, ὅτε οἱ ὑπήκοοι αὐτοῦ ἔχαιρον ἐλευθερίαν εἰς τῶν θρησκευτικῶν αὐτῶν ἐθίμων τὴν ἐκτέλεσιν, ἐζητήθη ἄδεια ὑπὸ τῶν ὁμογενῶν, πρὸς ἀνοικοδομὴν τοὐλάχιστον τοῦ εἰρημένου παρεκκλησίου. Καὶ ἤρξατο μὲν τὸ ἔργον τῇ 27 Ἰουλίου τοῦ 1833 ἔτους· ἀνασκαβῆς δὲ γενομένης, καὶ τῶν θεμελίων τοῦ ἀρχαίου ναοῦ εὑρεθέντων, ἀνηγέρθη, διὰ νεωτέρας ἀδείας βασιλικῆς, οὐ μόνον τὸ τοῦ Ἁγιάσματος παρεκκλήσιον, λαμπρότερον τοῦ προτέρου, ἀλλὰ καὶ ἕτερος νέος, ἐπὶ τῶν θεμελίων τοῦ παλαιοῦ, μέγιστος, περικαλλέστατος, καὶ μεγαλοπρεπέστατος ναός. Καὶ τὰ μὲν θεμέλια τούτου κατεβλήθησαν τῇ 14 Σεπτεμβρίου τοῦ 1833 ἔτους· τὸ δὲ ἔργον ἀπηρτίσθη τῇ 30 Δεκεμβρίου τοῦ 1834· κατὰ δὲ τὴν β'. Φεβρουαρίου τοῦ 1835, ὁ παναγιώτατος καὶ Οἰκουμενικὸς πατριάρχης κύριος Κωνσάντιος ὁ β'. ἔχων συλλειτουργοὺς καὶ δώδεκα τῶν προκρίτων Ἀρχιερέων, μετὰ μεγάλης καὶ ἐκκλησιαστικῆς παρατάξεως, καὶ ἀπείρου πλήθους Χριστιανῶν, ἐξετέλεσε τὰ Ἐγκαίνια τοῦ ἱεροῦ τούτου ναοῦ, εἰς δόξαν τῆς Θεομήτορος, καὶ καύχημα τοῦ γένους ἡμῶν.

### Κοντάκιον, Ἦχος πλ. δ'.

Τῇ ὑπερμάχῳ.

Ἐξ ἀενάου σου Πηγῆς Θεοχαρίτωτε, ἐπιβραβεύοις μοι πηγάζουσα τὰ ἁμάτα, ἀεναίως τῆς σῆς χά-

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου – Μουσείο Τυπογραφίων Κεφαλλονιάς

ριτος ὑπὲρ λόγον· τὸν γὰρ Λόγον ὡς τεκοῦσαν ὑπὲρ ἔννοιαν, ἱκετεύω σε δροσίζειν με σῇ χάριτι, ἵνα κράζω σοι: Χαῖρε ὕδωρ σωτήριον.

Η ΨΗΛΑΦΗΣΙΣ ΤΟΥ ΘΩΜΑ



## ✠ Τῇ Κυριακῇ τοῦ ἁγίου Ἀποστόλου Θωμᾶ ✠

Κεκλεισμέναι ἦσαν αἱ θύραι τοῦ οἰκήματος, ἔνθα ἦσαν οἱ Μαθηταὶ συνηγμένοι, κατὰ τὴν ἑσπέραν τῆς παρελθούσης τοῦ Πάσχα Κυριακῆς, ὅτε, ἐλθὼν παραδόξως ὁ Ἰησοῦς, ἔστη ἐν τῷ μέσῳ· καὶ ἀσπασάμενος αὐτοὺς κατὰ τὸ σύνηθες, Εἰρήνη ὑμῖν, ἐπέδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τοὺς πόδας καὶ τὴν πλευράν· καὶ προσέτι, λαβὼν παρ' αὐτῶν μέρος ἰχθύος ὀπτοῦ, καὶ κηρόμελι, ἔφαγεν ἐνώπιον αὐτῶν, καὶ οὕτως ἐπιστοποίησεν αὐτοῖς τὴν ἑαυτοῦ ἀνάστασιν. Ὁ δὲ Θωμᾶς, μὴ εὑρεθεὶς τότε μετὰ τῶν λοιπῶν, οὐκ ἐπίστευσεν εἰς τὴν περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ μαρτυρίαν ἐκείνων, ἀλλ' εἶπεν ἀποφασιστικῶς: "Ἐὰν μὴ ἴδω καὶ ψηλαφήσω τὰς τρυπηθείσας αὐτοῦ χεῖρας καὶ τὴν λογχευθεῖσαν πλευράν, οὐ μὴ πιστεύσω,,. Ὅθεν μεθ' ἡμέρας ὀκτώ, τουτέστι κατὰ τὴν σήμερον, ὄντων πάλιν τῶν Μαθητῶν συνηγμένων, ὁμοῦ καὶ τοῦ Θωμᾶ, ἔρχεται ὁ Ἰησοῦς, τῶν θυρῶν πάλιν κεκλεισμένων, ὡς καὶ πρότερον· καὶ στὰς εἰς τὸ μέσον, καὶ εἰπὼν τό, Εἰρήνη ὑμῖν, λέγει ἔπειτα πρὸς τὸν Θωμᾶν: Φέρε τὸν δάκτυλόν σου ὧδε, καὶ ἴδε τὰς χεῖράς μου· καὶ φέρε τὴν χεῖρά σου, καὶ βάλε εἰς τὴν πλευράν μου· καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πιστός.

Ὁ δὲ Θωμᾶς, ἰδὼν καὶ ψηλαφήσας ἀκριβῶς τὰς χεῖρας καὶ τὴν πλευρὰν τοῦ Δεσπότου, ἀνεβόησε μετὰ πίστεως: Ὁ Κύριός μου καὶ ὁ Θεός μου· καὶ οὕτως ἐκήρυξε τρανῶς τοῦ Θεανθρώπου τὰς δύο φύσεις, τὴν ἀνθρώπινον καὶ τὴν θείαν (Λουκ. κδ', 36-43. Ἰωάν. κ'. 19-28).

Ιερά Σύνοδος Βιβλιοθήκη Κληρικών

## Ἀπολυτίκιον, Ἦχος βαρύς.

Ἐσφραγισμένου τοῦ μνήματος, ἡ ζωὴ ἐκ τάφου ἀνέτειλας, Χριστὲ ὁ Θεός· καὶ τῶν θυρῶν κεκλεισμένων, τοῖς Μαθηταῖς ἐπέστης ἡ πάντων Ἀνάστασις, Πνεῦμα εὐθὲς δι' αὐτῶν ἐγκαινίζων ἡμῖν, κατὰ τὸ μέγα σου ἔλεος.

## Κοντάκιον, Ἦχος πλ. δ'.

Τῇ φιλοπράγμονι δεξιᾷ, τὴν ζωοπάροχόν σου πλευρὰν ὁ Θωμᾶς ἐξηρεύνησε, Χριστὲ ὁ Θεός· συγκεκλεισμένων γὰρ τῶν θυρῶν ὡς εἰσῆλθες, σὺν τοῖς λοιποῖς Ἀποστόλοις ἐβόα σοι: Κύριος ὑπάρχεις καὶ Θεός μου.

## ✠ Τῇ Κυριακῇ τῶν Μυροφόρων ✠

Περὶ τὰς ἀρχὰς τοῦ 32 ἔτους, ὅτε ὁ Ἰησοῦς περιήρχετο τὴν Γαλιλαίαν κηρύττων καὶ θαυματουργῶν, πολλαὶ γυναῖκες, εὐεργετηθεῖσαι παρ' αὐτοῦ, κατέλιπον τὴν οἰκείαν πατρίδα· καὶ ἀκολουθοῦσαι εἰς τὸ ἔξῆς κατόπιν, διηκόνουν αὐτῷ ἀπὸ τῶν ὑπαρχόντων αὐταῖς, ἕως ἐπὶ τοῦ σταυροῦ καὶ τοῦ τάφου, ὅπου καὶ ἦλθον ἔπειτα φέρουσαι τὰ πρὸς ἄλειψιν τοῦ δεσποτικοῦ σώματος ἑτοιμασθέντα μύρα (Κυρ. τοῦ Πάσχα). Ἐκ τούτων οὖν τῶν μύρων, ἅπερ ἔφερον αἱ θεοφιλεῖς αὗται γυναῖκες ἐπὶ τὸν τάφον τοῦ Ἰησοῦ, ἐπωνομάσθησαν Μυροφόροι· καὶ αἱ μὲν ἐξ ὀνόματος γνωσταὶ εἰσὶ, Μαρία ἡ Μαγδαληνὴ (Ἰουλ. 22), Μαρία ἡ τοῦ Ἰακώβου καὶ Ἰωσῆ μήτηρ, ἥτις καὶ Μαρία τοῦ Κλωπᾶ λέγεται (Ὀκτωβρ. 23), Ἰωάννα γυνὴ Χουζᾶ ἐπιτρόπου Ἡρῴδου τοῦ Ἀντίπα, Σαλώμη ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου, καὶ Σουσάννα· τῶν δὲ λοιπῶν τὰ ὀνόματα ἀπεσιωπήθησαν ὑπὸ τῶν Εὐαγγελιστῶν (Ματθ. κζ'. 56. Λουκ. κ', 3. Ἰωάν. ιθ'. 25). Καὶ αὗται μὲν αἱ Μυροφόροι.

Συνεορτάζονται δὲ μετ' αὐτῶν καὶ οἱ πρώην κεκρυμμένοι τοῦ Σωτῆρος μαθηταὶ, Ἰωσὴφ καὶ Νικόδημος· ὧν ὁ μὲν Νικόδημος ἦν πιθανῶς Ἱεροσολυμίτης τὴν πατρίδα, ἄρχων τῶν Ἰουδαίων κατὰ τὸ ἀξίωμα, Φαρισαῖος τὸ τάγμα, νομομαθὴς καὶ πεπαιδευμένος τὰς ἁγίας Γραφὰς, πιστεύσας εἰς τὸν Χριστὸν, ὅτε, ἐν ἀρχῇ τοῦ σωτηρίου κηρύγματος, ὑπῆγε πρὸς αὐτὸν τὴν νύκτα (Ἰωάν. γ', 1-21). Εἰς δὲ τὸν ἐνταφιασμὸν αὐτοῦ ἦλθε φέρων σμύρνης καὶ ἀλόης μίγμα, ἀρωματιστικὸν ὁμοῦ καὶ βαλσαμωτικὸν, ἕως 100 λίτρας, δεῖγμα εὐλαβείας καὶ ἀγάπης πρὸς τὸν θεῖον Διδάσκαλον. Ὁ δὲ Ἰωσὴφ ἦν ἐκ πόλεως Ἀριμαθαίας, ἀνὴρ πλούσιος καὶ εὐγενὴς, καὶ εἷς τῶν Βουλευτῶν τῶν ἐν Ἱεροσολύμοις. Οὗτος τολμήσας εἰσῆλθε πρὸς Πιλάτον, καὶ αἰτήσας τὸ σῶμα τοῦ Ἰησοῦ, ἐνεδύσεν αὐτὸ μετὰ τοῦ Νικοδήμου. — Λέγουσι δέ τινες, ὅτι ὁ ἐν Γολγοθᾷ κῆπος, ὅπου ἐτάφη ὁ Ἰησοῦς, ἦν τοῦ Ἰωσὴφ τούτου κτῆμα, ἐν ᾧ εἶχε καὶ τὸν ἑαυτοῦ

τάφον ἕτοιμον, ἐσκαμμένον εἰς πέτραν (βράχον)· μὴ συγχωροῦντος δὲ τοῦ καιροῦ πρὸς ἑτοιμασίαν ἑτέρου τάφου, ἔθηκεν ἐκεῖ τὸ σῶμα τοῦ Ἰησοῦ. Τοῦτο φαίνεται ὅτι ἐννοεῖ καὶ ὁ Εὐαγγελιστὴς, λέγων: Καὶ ἔθηκεν αὐτὸ ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ, ὃ ἐλατόμησεν ἐν τῇ πέτρᾳ (Ματ. κζ', 60).

## Ἀπολυτίκια, Ἦχος β'.

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον, ἡ ζωὴ ἡ ἀθάνατος, τότε τὸν Ἅιδην ἐνέκρωσας, τῇ ἀστραπῇ τῆς Θεότητος· ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ Δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον: Ζωοδότα Χριστὲ, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

## Δόξα.

Ὁ εὐσχήμων Ἰωσὴφ, ἀπὸ τοῦ Ξύλου καθελὼν, τὸ ἄχραντόν σου Σῶμα, σινδόνι καθαρᾷ εἱλήσας καὶ ἀρώμασιν, ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο· ἀλλὰ τριήμερος ἀνέστης Κύριε, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

## Καὶ νῦν.

Ταῖς Μυροφόροις γυναιξὶ, παρὰ τὸ μνῆμα ἑστὰς, ὁ Ἄγγελος ἐβόα: Τὰ μύρα τοῖς θνητοῖς ὑπάρχει ἀρώματα, Χριστὸς δὲ διαφθορᾶς ἐδείχθη ἀλλότριος· ἀλλὰ κραυγάσατε: Ἀνέστη ὁ Κύριος, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

## Κοντάκιον αὐτόμελον, Ἦχος β'.

Τὸ Χαῖρε ταῖς Μυροφόροις φθεγξάμενος, τὸν θρῆνον τῆς προμήτορος Εὔας κατέπαυσας, τῇ Ἀναστάσει σου Χριστὲ ὁ Θεός· τοῖς Ἀποστόλοις δὲ τοῖς σοῖς κηρύττειν ἐπέταξας: Ὁ Σωτὴρ ἐξανέστη τοῦ μνήματος.

## ✠ Τῇ Κυριακῇ τοῦ Παραλύτου ✠

Πλησίον μιᾶς τῶν πυλῶν τῆς Ἱερουσαλὴμ, Προβατικῆς καλουμένης (Νεεμ. γ', 1), ὑπῆρχε ποτὲ κολυμβήθρα, ἢ ὡς ἡμεῖς κοινότερον λέγομεν, Στέρνα (ἐκ τοῦ Λατινικοῦ Κιστέρνα, Cisterna), Προβατικὴ καλουμένη καὶ αὐτὴ διότι εἰς αὐτὴν φέροντες ἔπλυνον τὰ ἐντόσθια τῶν θυσιαζομένων ζώων· ἡ δὲ πίλη ἔλαβεν ἴσως τὴν αὐτὴν ἐπωνυμίαν ἐκ τῆς κολυμβήθρας αὐτῆς· ἢ, ὡς τινες λέγουσιν, ὅτι δι' αὐτῆς εἰσήγοντο εἰς τὴν πόλιν τὰ πρόβατα, καὶ τὰ λοιπὰ πρὸς θυσίαν ζῶα. Ἡ κολυμβήθρα ἐκείνη πεντάγωνος οὖσα τὸ σχῆμα, κατὰ τὸ φαινόμενον, εἶχε κύκλῳ αὐτῆς 5 στοὰς, ὅ ἐστι 5 σειρὰς στύλων παραλλήλων, βασταζόντων στέγην καμαρωτήν· ὑπὸ δὲ

τὴν στέγην αὐτὴν κατέκειτο διαφόρων ἀῤῥωστημάτων πάμπολλοι ἀσθενεῖς, ἀναμένοντες τὴν τοῦ ὕδατος κίνησιν· διότι Ἄγγελος Κυρίου καταβαίνων εἰς τὴν κολυμβήθραν κατὰ καιρὸν, ἐτάραττεν αὐτῆς τὸ ὕδωρ· ὁ δὲ πρῶτος ἐμβὰς εἰς αὐτὸ μετὰ τὴν ταραχὴν, ἰατρεύετο πάσης, ὁποιονδήποτε πάθος καὶ ἂν εἶχεν.

Ἐκεῖ οὖν κατέκειτο καὶ ὁ Παράλυτος τῆς σημερινῆς τοῦ Εὐαγγελίου ἱστορίας, βασανιζόμενος ὑπὸ τῆς ἀσθενείας αὐτοῦ 38 ἔτη. Τοῦτον ἰδὼν ὁ Ἰησοῦς, ἠρώτησε λέγων: Θέλεις ὑγιὴς γενέσθαι; Ὁ δὲ, πτωχὸς ὢν ἀναμφιβόλως καὶ ἄπορος, ἴσως δὲ καὶ ξένος, ἀπεκρίνατο μετὰ πραείας καὶ ἡσύχου φωνῆς: Κύριε, ἄνθρωπον οὐκ ἔχω, ἵνα, ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ με εἰς τὴν κολυμβήθραν. Τότε λέγει πρὸς αὐτὸν ὁ Ἰησοῦς: Ἔγειραι, ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει. Καὶ εὐθὺς, ὑγιὴς γενόμενος ὁ ἄνθρωπος, ἦρε τὸν κράββατον αὐτοῦ, καὶ περιπατῶν ἐνώπιον πάντων, ἀπῆλθε χαίρων εἰς τὸν οἶκον αὐτοῦ — Ἐθεράπευσε δὲ τὸν Παράλυτον τοῦτον ὁ Ἰησοῦς, κατὰ τοὺς ἁρμονιογράφους, τῷ 32 ἔτει, ἐν ταῖς ἡμέραις τοῦ Πάσχα, ὅτε, ἀναβὰς ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα διὰ τὴν ἑορτὴν, διέτριβεν ἐκεῖ θαυματουργῶν καὶ διδάσκων· πάντως δὲ ἐν ἡμέρᾳ Σαββάτου, κατὰ τὸν Εὐαγγελιστὴν (Ἰωάν, ε. 1-9).

## Ἀπολυτίκιον Ἀναστάσιμον, Ἦχος γ΄.

Εὐφραινέσθω τὰ οὐράνια, ἀγαλλιάσθω τὰ ἐπίγεια, ὅτι ἐποίησε κράτος, ἐν βραχίονι αὐτοῦ ὁ Κύριος· ἐπάτησε τῷ θανάτῳ τὸν θάνατον, πρωτότοκος τῶν νεκρῶν ἐγένετο, ἐκ κοιλίας Ἅδου ἐῤῥύσατο ἡμᾶς, καὶ παρέσχε τῷ κόσμῳ τὸ μέγα ἔλεος.

## Θεοτοκίον.

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς ἐκ φθορᾶς, ὡς φιλάνθρωπος.

## Κοντάκιον, Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Τὴν ψυχήν μου Κύριε, ἐν ἁμαρτίαις παντοίαις, καὶ ἀτόποις πράξεσι, δεινῶς παραλελυμένην, ἔγειρον τῇ θείᾳ σου ἐπιστασίᾳ, ὥσπερ καὶ τὸν Παράλυτον ἤγειρας πάλαι, ἵνα κράζω σεσωσμένος: Οἰκτίρμον δόξα, Χριστὲ τῷ κράτει σου.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ ΛΗΞΟΥΡΙΟΥ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπαλδών Ιακωβάτων

## Η ΜΕΣΟΠΕΝΤΗΚΟΣΤΗ



### ✠ Τῇ Τετάρτῃ τῆς Μεσοπεντηκοστῆς ✠

Μετὰ τὴν εἰς τὸν Παράλυτον θαυματουργίαν τοῦ Ἰησοῦ, φθόνῳ κινούμενοι οἱ Ἰουδαῖοι, καὶ ἐξαιρέτως οἱ Φαρισαῖοι καὶ Γραμματεῖς, ἐδίωκον αὐτὸν, καὶ ἐζήτουν ἀποκτεῖναι ἐπὶ προφάσει, ὅτι οὐκ ἐτήρει τὸ Σάββατον, θαυματουργῶν ἐν αὐτῷ. Ὁ δὲ Ἰησοῦς, τότε μὲν ἀνεχώρησεν εἰς τὰ μέρη τῆς Γαλιλαίας· περὶ δὲ τὰ μέσα τῆς ἑορτῆς τῆς λεγομένης Σκηνοπηγίας, ἀνέβη πάλιν εἰς τὸ Ἱερὸν καὶ ἐδίδασκεν· ὅτε, καὶ θαυμάζοντες οἱ Ἰουδαῖοι τὴν σοφίαν τῶν λόγων αὐτοῦ, ἔλεγον: Πῶς οὗτος γράμματα οἶδε, μὴ μεμαθηκὼς; Ὁ δὲ, ἐλέγξας πρότερον τὴν ἀπιστίαν αὐτῶν καὶ παρανομίαν, ἀπέδειξεν ἔπειτα διὰ τοῦ νόμου, ὅτι ἀδίκως ζητοῦσιν αὐτὸν ἀποκτεῖναι, τάχα ὡς τοῦ νόμου καταφρονητὴν, διότι ἐθεράπευσε τὸν Παράλυτον ἐν ἡμέρᾳ Σαββάτου.

Ἐπειδὴ οὖν τὰ ἐν τῷ μέσῳ τῆς ἑορτῆς ἐκείνης λαληθέντα ὑπὸ τοῦ Ἰησοῦ σχέσιν ἔχουσι πρὸς τὰ τῆς παρελθούσης Κυριακῆς τοῦ Παραλύτου, καὶ ἐπειδὴ ἐφθάσαμεν ἤδη εἰς τὸ μέσον τοῦ ἀπὸ τοῦ Πάσχα μέχρι τῆς Πεντηκοστῆς πεντηκονθημέρου διαστήματος, διὰ τοῦτο ἡ Ἐκκλησία, μετὰ τὴν τοῦ Παραλύτου ἱστορίαν, ἔταξεν ἐνταῦθα τὴν παροῦσαν ἑορτὴν, ὥσπερ σύνδεσμον τῶν εἰρημένων δύο μεγάλων ἑορτῶν, καὶ τρόπον τινὰ ἕνωσιν ἀμφοτέρων εἰς μίαν. Ὅθεν καὶ Μεσοπεντηκοστὴν ἐκάλεσε τὴν σημερινὴν ἑορτὴν, καὶ τὴν περικοπὴν ἐκείνην τοῦ Εὐαγγελίου, Τῆς ἑορτῆς μεσούσης. κτλ. ἐφήρμοσεν εἰς αὐτὴν κατὰ τὸ γράμμα, ἐν ᾧ ταῦτα ἱστοροῦνται καθ' αὐτὸ περὶ τῆς Σκηνοπηγίας (Ἰωάν. ζ'.)

Σημειωτέον δὲ, ὅτι τρεῖς ἦσαν αἱ μέγισται τῶν Ἰουδαίων ἑορταί: τὸ Πάσχα, ἡ Πεντηκοστὴ, καὶ ἡ Σκηνοπηγία. Καὶ τὸ μὲν Πάσχα ἐποίουν τῇ 15 τοῦ παρ' αὐτοῖς πρώτου μηνὸς, συμπίπτοντος τῷ παρ' ἡμῖν Μαρτίῳ, εἰς ἀνάμνησιν, ὅτι κατ' αὐτὴν διεπάγησαν ἵνα φάγωσιν ἀφ' ἑσπέρας τὸν ἀμνὸν, καὶ ἀλείψωσιν ἐκ τοῦ αἵματος αὐ-

τοῦ τῶν οἰκιῶν αὐτῶν τὰς θύρας· καὶ οὕτω, διαφυγόντες τῶν Αἰγυπτίων τὸν θάνατον καὶ τὴν δουλείαν, διέβησαν τὴν Ἐρυθρὰν θάλασσαν, διὰ τὴν γῆν τῆς Ἐπαγγελίας. Ἐλέγετο δὲ ἡ αὐτὴ καὶ Ἑορτὴ τῶν Ἀζύμων, διότι ἄρτον ἄζυμον ἔτρωγον εἰς αὐτὴν ἡμέρας — Ἡ δὲ Πεντηκοστὴ ἐτελεῖτο μετὰ 50 ἡμέρας ἀπὸ τοῦ Πάσχα· τὸ μὲν, ὅτι τότε φθάσαντες ἐκ τῆς Αἰγύπτου εἰς τὸ Ὄρος Σινᾶ ἔλαβον ἐκ Θεοῦ τὸν Νόμον· τὸ δὲ, καὶ εἰς ἀνάμνησιν τῆς εἰσόδου αὐτῶν εἰς τὴν γῆν τῆς Ἐπαγγελίας, ὅτε καὶ ἄρτον ἔφαγον, τραφέντες πρότερον ἐν τῇ ἐρήμῳ διὰ τοῦ Μάννα ἔτη 40. διὸ καὶ προσέφερον κατ' αὐτὴν τὴν ἡμέραν θυσίαν τῷ Θεῷ, ἄρτους ἐκ νέου σίτου κατεσκευασμένους — Τὴν δὲ Σκηνοπηγίαν ἑώρταζον ἀπὸ τῆς 15 ἕως τῆς 22 τοῦ Σεπτεμβρίου, καθήμενοι ὑπὸ καλύβας καὶ σκηνὰς, ἐκ διαφόρων κλάδων κατεσκευασμένας, πρὸς ἐνθύμησιν, ὅτι τὰ εἰρημένα 40 ἔτη διέτριψαν εἰς τὴν ἔρημον, κατοικοῦντες ἐν σκηναῖς (Ἐξ. ιβ'. ιθ'. Λευῖτ. κγ.).

## Ἀπολυτίκιον, Ἦχος πλ. δ'.

Μεσούσης τῆς Ἑορτῆς, διψῶσάν μου τὴν ψυχὴν, εὐσεβείας πότισον νάματα· ὅτι πᾶσι Σωτὴρ ἐβόησας: Ὁ διψῶν ἐρχέσθω πρός με καὶ πινέτω. Ἡ πηγὴ τῆς ζωῆς, Χριστὲ ὁ Θεὸς ἡμῶν, δόξα σοι.

**Κοντάκιον, Ἦχος δ'.** Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῆς Ἑορτῆς τῆς νομικῆς μεσαζούσης, ὁ τῶν ἁπάντων ποιητὴς καὶ Δεσπότης, πρὸς τοὺς παρόντας ἔλεγες, Χριστὲ ὁ Θεός: Δεῦτε καὶ ἀρύσασθε, ὕδωρ ἀθανασίας. Ὅθεν σοι προσπίπτομεν, καὶ πιστῶς ἐκβοῶμεν: Τοὺς οἰκτιρμούς σου δώρησαι ἡμῖν· σὺ γὰρ ὑπάρχεις πηγὴ τῆς ζωῆς ἡμῶν.

## ✠ Τῇ Κυριακῇ τῆς Σαμαρείτιδος ✠

Μία τῶν ἀρχαιοτάτων πόλεων τῆς γῆς τῆς Ἐπαγγελίας ὑπῆρχεν ἡ Συχὲμ, ἥτις καὶ Σίκιμα ἐκαλεῖτο, κειμένη εἰς τοὺς πρόποδας τοῦ κατὰ τὰ ἀνατολικὰ μέρη τῆς Ἱεριχὼ ὄρους Γαριζὶν, ὅπου ποτὲ ἀνέγνωσαν οἱ Ἰσραηλῖται τὰς Εὐλογίας (Δευτ. ια, 29). Πλησίον τῆς πόλεως ταύτης, ἐπανερχόμενος ὁ Ἰακὼβ ἀπὸ τῆς Μεσοποταμίας, πρὸ Χριστοῦ περίπου 1887 ἔτη, ἠγόρασεν ὑποστατικὸν, ἐν ᾧ ὑπῆρχε καὶ φρέαρ, σωζόμενον ἕως ἐπὶ Χριστοῦ, καὶ καλούμενον Πηγὴ τοῦ Ἰακώβ. Ὕστερον δὲ, ἀποθνήσκων ἐν Αἰγύπτῳ, κατέλιπε τὸ ὑποστατικὸν ἐκεῖνο εἰς κληρονομίαν ἐξαίρετον τῷ υἱῷ αὐτοῦ Ἰωσὴφ (Γεν. λγ', 19. μη, 22). Ἡ πόλις αὕτη, πρὶν κτισθῇ ἡ Σαμάρεια, ἐχρημάτισε καὶ μητρόπολις τοῦ βασιλείου τῶν δέκα φυλῶν· καὶ ἐπειδὴ ὁ λαὸς τούτων, καταλιπόντες τὴν λατρείαν τοῦ ἀληθινοῦ

ΔΗΜΟΣΙΕΥΣΙΣ ΒΙΒΛΙΟΘΗΚΗΣ
Ἀπορρ. Κεντρικῆς Βιβλιοθήκης Ἀπουρίου
Μουσείο Τυπογραφίας Ἀκαδημίας

Θεοῦ, ἐδόθησαν μανικῶς εἰς τὴν εἰδωλολατρείαν, ἐμπαίζοντες αὐτοὺς οἱ εἰς τὴν εὐσέβειαν ἐμμείναντες Ἰουδαῖοι, ὡς τινες λέγουσι, μετωνόμασαν τὴν πόλιν αὐτῶν Σιχάρ, ὅπερ σημαίνει μέθην· ὡς καὶ τὸ ἐξ αὐτοῦ παραγόμενον Σίκερα, πᾶν εἶδος μεθυστικοῦ ποτοῦ.

Εἰς ταύτην οὖν τὴν πόλιν ἐλθὼν ὁ Ἰησοῦς ἐν ὥρᾳ μεσημβρίας, καὶ ἐκ τῆς ὁδοιπορίας καὶ τῆς καύσεως κεκοπιακώς, ἐκάθισεν ἐπὶ τῆς εἰρημένης πηγῆς εἰς τὸν τυχόντα τόπον. Μετ' ὀλίγον ἦλθεν ἐκεῖ καὶ ἡ σήμερον ἱστορουμένη Σαμαρεῖτις γυνή, ἀντλῆσαι ὕδωρ, καὶ συνομιλήσασα μετὰ τοῦ Ἰησοῦ διεξοδικῶς, καὶ ἀκούσασα παρ' αὐτοῦ τὰ ἑαυτῆς ἀπόκρυφα, ἐπίστευσεν εἰς αὐτόν· δι' αὐτῆς δὲ καὶ πολλοὶ ἄλλοι συμπολῖται αὐτῆς Σαμαρεῖται (Ἰωάν. δ', 5-42).

Περὶ δὲ τῶν Σαμαρειτῶν τούτων ἰστέον ὅτι, τὸ 721 ἔτος πρὸ Χριστοῦ, Σαλμανάσαρ, ὁ τῶν Ἀσσυρίων βασιλεύς, αἰχμαλωτίσας τὰς ἀνωτέρω δέκα φυλὰς τῶν Ἰσραηλιτῶν, μετῴκισεν ἅπαντα τὸν λαὸν εἰς τὴν Βαβυλωνίαν καὶ Μηδίαν· ἐκεῖθεν δὲ συναγαγὼν διάφορα ἔθνη, ἀπέστειλεν αὐτὰ εἰς τὴν Σαμάρειαν. Τὰ ἔθνη ταῦτα ἦσαν εἰδωλολάτραι ἐξ ἀρχῆς· διδαχθέντες δὲ ὕστερον καὶ τὴν Ἰουδαϊκὴν πίστιν, ἐπίστευον μὲν εἰς τὸν ἀληθινὸν Θεόν, ἐλάτρευον ὅμως καὶ τὰ εἴδωλα· καὶ δεχόμενοι τὴν Πεντάτευχον μόνον τοῦ Μωϋσέως, ἀποστρεφόμενοι δὲ τὰ λοιπὰ βιβλία τῆς ἁγίας Γραφῆς, ἐνόμιζον ἑαυτοὺς τοῦ Ἀβραὰμ καὶ τοῦ Ἰακὼβ ἀπογόνους — Τούτους οὖν τοὺς ἰουδαΐζοντας, καὶ εἰδωλολατροῦντας ἐνταυτῷ, ὠνόμαζον οἱ εὐσεβεῖς Ἰουδαῖοι Σαμαρείτας, ὡς κατοικοῦντας τὴν Σαμάρειαν, τὴν πρώην μητρόπολιν τῶν Ἰσραηλιτῶν, καὶ τὰς λοιπὰς αὐτῶν πόλεις· ἀπεστρέφοντο δὲ αὐτούς, ὡς ἐθνικοὺς καὶ ἀλλοφύλους, καὶ οὐδεμίαν κοινωνίαν εἶχον πρὸς αὐτούς, κατὰ τὸ, Οὐ συγχρῶνται Ἰουδαῖοι Σαμαρείταις (Ἰωάν. δ', 9). Ἐντεῦθεν τὸ ὄνομα Σαμαρείτης ἀναφέρεται καταφρονητικῶς πολλαχοῦ τῆς εὐαγγελικῆς ἱστορίας.

## Ἀπολυτίκιον Ἀναστάσιμον Ἦχος δ'.

Τὸ φαιδρὸν τῆς Ἀναστάσεως κήρυγμα, ἐκ τοῦ Ἀγγέλου μαθοῦσαι αἱ τοῦ Κυρίου Μαθήτριαι, καὶ τὴν προγονικὴν ἀπόφασιν ἀπορρίψασαι, τοῖς Ἀποστόλοις καυχώμεναι, ἔλεγον: Ἐσκύλευται ὁ θάνατος, ἠγέρθη Χριστὸς ὁ Θεός, δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

## Καὶ τῆς Μεσοπεντηκοστῆς. Μεσούσης τῆς Ἑορτῆς, ὡς ἄνω.

## Κοντάκιον, Ἦχος πλ. δ'. Πίστιν Χριστοῦ.

Πίσει ἐλθοῦσα ἐν τῷ φρέατι, ἡ Σαμαρεῖτις ἐθεάσατο, τὸ τῆς σοφίας ὕδωρ σε, ᾧ ποτισθεῖσα δαψιλῶς, βασιλείαν τὴν ἄνωθεν ἐκληρώσατο, ἀϊδίως ἡ ἀοίδιμος.

## ✠ Τῇ Κυριακῇ του Τυφλου ✠

Ἐκ τοῦ Ἱεροῦ ἐξήρχετο ὁ Ἰησοῦς, ἐν ἡμέρᾳ Σαββάτου, ὅτε, διὰ

Απόσπασμα Βιβλιοθήκης
Αρμοδία Κεντρική Βιβλιοθήκη Λήξουρίου - Μουσείο Παλαιών Χειρογράφων

βαίνων διὰ τῆς ὁδοῦ, εἶδε τὸν Τυφλὸν τοῦ σημερινοῦ Εὐαγγελίου, νέον, οὕτω γεννηθέντα ἐκ κοιλίας μητρὸς αὐτοῦ, καὶ ἡλικίαν ἱκανὴν ἤδη ἔχοντα, καὶ ἑπομένως ἀνεπίδεκτον θεραπείας τινὸς ἐξ ἀνθρωπίνης τέχνης. Τοῦτον ἰδὼν ὁ Θεάνθρωπος, ἔπτυσε χαμαὶ, καὶ ἐκ τοῦ πτύσματος ἐποίησε πηλὸν, καὶ χρίσας αὐτὸν ἐπὶ τοὺς ὀφθαλμοὺς τοῦ Τυφλοῦ, εἶπε πρὸς αὐτόν: Ὕπαγε, νίψαι εἰς τὴν κολυμβήθραν τοῦ Σιλωάμ. Ἦν δὲ ὁ Σιλωὰμ (ὃ ἑρμηνεύεται ἀπεσταλμένος) πηγὴ ἐν Ἱερουσαλὴμ περίφημος, διὰ τὴν εἰς τοὺς ἐγκατοίκους μεγάλην χρῆσιν τῶν ὑδάτων αὐτῆς, ἅπερ, περιχεόμενα εἰς τὰ πρὸς ἀνατολὰς τείχη τῆς πόλεως, ὑπεδέχετο εὐρυχωροτάτη κολυμβήθρα, ὀνομαζομένη Κολυμβήθρα τοῦ Σιλωάμ.

Εἰς ταύτην οὖν ἀπέστειλεν ὁ Ἰησοῦς τὸν Τυφλὸν, ἵνα νίψῃ τοὺς ὀφθαλμοὺς αὐτοῦ, τοὺς ἐκ τοῦ πηλοῦ κεχρισμένους· οὐχ ὅτι τὸ ὕδωρ αὐτῆς εἶχε τοιαύτην δύναμιν, ὥστε ἀνοίγειν τυφλῶν ὀφθαλμοὺς, ἀλλ' ἵνα καὶ τοῦ ἀποσταλέντος ἡ πίστις καὶ ἡ ὑπακοὴ δοκιμασθῇ, καὶ τὸ θαῦμα κατασταθῇ ἐπισημότερον, γνωστὸν εἰς πάντας, καὶ ἀναμφίβολον. Ἐπίστευσε λοιπὸν ὁ Τυφλὸς εἰς τοῦ Ἰησοῦ τοὺς λόγους, ὑπήκουσεν εἰς τὸ πρόσταγμα αὐτοῦ, ὑπῆγεν, ἐνίφθη, καὶ ὑπέστρεψεν οὐκέτι τυφλὸς, ἀλλ' ὑγιὴς καὶ βλέπων — Πόσον δὲ φιλαλήθως ἀπεκρίθη ἔπειτα εἰς τοὺς ἐρωτῶντας αὐτὸν τῆς ἰατρείας αὐτοῦ τὸν τρόπον, μετὰ πόσης παῤῥησίας ὡμολόγησε τὸ ὄνομα τοῦ θείου ἰατροῦ, καὶ ἐκήρυξεν αὐτὸν ἐνώπιον τῶν Φαρισαίων, καὶ πῶς τελευταῖον, μαρτυρῶν τὴν ἀλήθειαν, ἐδιώχθη μετὰ ὕβρεων ὑπὸ τῶν τῆς ἀληθείας ἐχθρῶν, ταῦτα πάντα διηγεῖται λεπτομερῶς ἡ σημερινὴ τοῦ Εὐαγγελίου ἱστορία (Ἰωάν. θ', 1-38).

## Ἀπολυτίκιον Ἀναστάσιμον, Ἦχος πλ. ά.

Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι, τὸν ἐκ Παρθένου τεχθέντα εἰς σωτηρίαν ἡμῶν, ἀνυμνήσωμεν πιστοὶ καὶ προσκυνήσωμεν· ὅτι ηὐδόκησε σαρκὶ ἀνελθεῖν ἐν τῷ Σταυρῷ, καὶ θάνατον ὑπομεῖναι, καὶ ἐγεῖραι τοὺς τεθνεῶτας, ἐν τῇ ἐνδόξῳ Ἀναστάσει αὐτοῦ.

## Θεοτοκίον.

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος. Χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ. Χαῖρε ἀχείμαστε λιμὴν, καὶ ἀπειρόγαμε. Ἡ τεκοῦσα ἐν σαρκὶ, τὸν ποιητήν σου καὶ Θεὸν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν τόκον σου.

## Κοντάκιον, Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Τῆς ψυχῆς τὰ ὄμματα, πεπηρωμένος, σοὶ Χριστὲ προσέρχομαι, ὡς ὁ Τυφλὸς ἐκ γενετῆς, ἐν μετα-

ΔΗΜΟΣΙΕΥΣΗ ΒΙΒΛΙΟΘΗΚΕΣ

νοία κραυγάζων σοι: Σὺ τῶν ἐν σκότει τὸ φῶς τὸ ὑπέρλαμπρον.

✠ Τῇ Τετάρτῃ πρὸ τῆς Ἀναλήψεως ✠

Γίνεται ἡ Ἀπόδοσις τῆς Ἀναστάσεως τοῦ Χριστοῦ.

Ἀπολυτίκιον: Τὸν συνάναρχον Λόγον. } ὡς ἀνωτέρω.
Καὶ τὸ Θεοτοκίον: Χαῖρε πύλη Κυρίου. }
Κοντάκιον: Τῆς ψυχῆς τὰ ὄμματα.
Καὶ τοῦ Πάσχα: Εἰ καὶ ἐν τάφῳ κατῆλθες. Σελ. 385.

ΗΑΝΑΛΗΨΙΣ ΤΟΥ ΧΡΙΣΤΟΥ



✠ Τῇ Πέμπτῃ τῆς Ἀναλήψεως. ✠

Τεσσαράκοντα ἡμέρας διέτριψεν ἐπὶ τῆς γῆς ὁ Ἰησοῦς, μετὰ τὴν ἐκ νεκρῶν αὐτοῦ Ἀνάστασιν, ἐμφανιζόμενος συνεχῶς, ἐν διαφόροις τόποις, εἰς τοὺς ἑαυτοῦ Μαθητάς, μεθ' ὧν καὶ συνωμίλησε, καὶ συνέφαγε, καὶ συνέπιε, παριστάνων διὰ πάντων τούτων βεβαιοτέραν τὴν Ἀνάστασιν αὐτοῦ. Κατὰ δὲ τὴν σήμερον, ἥτις ἐστὶν ἡ τεσσαρακοστὴ ἀπὸ τοῦ Πάσχα, καὶ τρίτη τότε τοῦ Μαΐου, ἐμφανισθεὶς πάλιν εἰς αὐτοὺς ἐν Ἱερουσαλὴμ, καὶ πολλὰ πρότερον πρὸς αὐτοὺς διαλεχθεὶς, ἔδωκεν αὐτοῖς ἔπειτα τὴν τελευταίαν ἐντολὴν, ἵνα ἀπελθόντες κηρύξωσιν αὐτοῦ τὸ ὄνομα εἰς πάντα τὰ ἔθνη, ἀρξάμενοι ἀπὸ τῆς Ἱερουσαλήμ· ἐν τοσούτῳ ὅμως παρήγγειλεν αὐτοὺς, ἵνα μὴ ἀναχωρήσωσιν ἀπ' αὐτῆς, ἀλλ' ἐκεῖ περιμένωσι συνηνωμένοι, ἕως ἂν λάβωσιν ἐντὸς ὀλίγου τὴν ἐξ ὕψους δύναμιν, ἐπελθόντος τοῦ ἁγίου Πνεύματος ἐπ' αὐτούς.

Ταῦτα εἰπὼν, ἐξήγαγεν αὐτοὺς εἰς τῶν Ἐλαιῶν τὸ Ὄρος, καὶ ὑψώσας τὰς χεῖρας αὐτοῦ, εὐλόγησεν αὐτούς· καὶ λέγων ἔτι τῆς πατρικῆς αὐτοῦ εὐλογίας τὰ ῥήματα, ἀπεχωρίσθη ἀπ' αὐτῶν, καὶ ἐπήρθη εἰς τὰ ἄνω. Ἀμέτως νεφέλη φωτεινὴ, δεῖγμα τῆς θείας αὐ-

τοῦ μεγαλειότητος, ὑπεδέξατο αὐτὸν, ἐφ' ἧς καὶ καθήμενος, ὡς ἐπ' ὀχήματος βασιλικοῦ, ἀνεφέρετο εἰς τὸν οὐρανὸν, καὶ κατ' ὀλίγον ἀπεκρύπτετο ἀπ' ἔμπροσθεν τῶν Μαθητῶν, οἵτινες ἔμενον προσηλωμένοι τὰ ὄμματα ἐπ' αὐτόν. Ἐν τούτῳ, ἐπιφανέντες δύο Ἄγγελοι λευκοφοροῦντες, ἐν σχήματι ἀνδρικῷ, εἶπον πρὸς αὐτούς: Ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε ἐμβλέποντες εἰς τὸν οὐρανόν; Οὗτος ὁ Ἰησοῦς, ὁ ἀναλημφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν, ἐλεύσεται πάλιν ὁ αὐτὸς τοιουτοτρόπως, καθὼς εἴδετε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν. Λόγοι, οἵτινες συμπληροῦσι καὶ ἀπαρτίζουσι τὰ περὶ τοῦ Υἱοῦ καὶ Λόγου τοῦ Θεοῦ δογματιζόμενα ἐν τῷ τῆς πίστεως Συμβόλῳ. — Οὕτω λοιπὸν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, πληρώσας πᾶσαν τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν, ἀνῆλθε μετὰ δόξης εἰς τὸν οὐρανὸν, καὶ ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ καὶ Πατρός. Οἱ δὲ ἱεροὶ αὐτοῦ Μαθηταὶ ὑπέστρεψαν ἀπὸ τοῦ Ὄρους τῶν Ἐλαιῶν εἰς Ἱερουσαλὴμ, χαίροντες διὰ τὴν τοῦ ἁγίου Πνεύματος ἐπαγγελίαν (Λουκ. κδ', 46-52. Πράξ. ά, 1-12).

Ἰστέον δὲ, ὅτι τῶν Ἐλαιῶν τὸ Ὄρος ἀπεῖχε τῆς Ἱερουσαλὴμ τοσοῦτον διάστημα, ὅσον ἦν ὡρισμένον εἰς τοὺς Ἰουδαίους βαδίζειν τὴν ἡμέραν τοῦ Σαββάτου· διὸ καὶ Σαββάτου ὁδὸς ἐλέγετο τὸ διάστημα ἐκεῖνο. Περὶ δὲ τοῦ μήκους αὐτοῦ οὕτω γράφει ὁ Οἰκουμένιος: "Μίλιον ἦν, ἡ τοῦ Σαββάτου ὁδὸς, ὡς φησιν Ὠριγένης ἐν τῷ πέμπτῳ στρωματεῖ, δισχιλίων πηχῶν ὑπῆρχεν" (Ἑρμην. εἰς τὰς Πράξεις). Αἰτιολογοῦσι δὲ τὸν προσδιορισμὸν τοῦτον, ὅτι καὶ τῶν πάλαι Ἰσραηλιτῶν τὰ σκηνώματα ἐν τῇ ἐρήμῳ τοσοῦτον ἀπεῖχον τῆς ἁγίας Σκηνῆς, ὅπου καὶ τὴν ἡμέραν τοῦ Σαββάτου βαδίζοντες ἀπήρχοντο εἰς προσκύνησιν τοῦ Θεοῦ.

### Ἀπολυτίκιον, Ἦχος δ'.

Ἀνελήφθης ἐν δόξῃ Χριστὲ ὁ Θεὸς ἡμῶν, χαροποιήσας τοὺς Μαθητὰς, τῇ ἐπαγγελίᾳ τοῦ ἁγίου Πνεύματος, βεβαιωθέντων αὐτῶν διὰ τῆς εὐλογίας, ὅτι σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ Λυτρωτὴς τοῦ κόσμου.

### Κοντάκιον, Ἦχος πλ. β'. Αὐτόμελον.

Τὴν ὑπὲρ ἡμῶν πληρώσας οἰκονομίαν, καὶ τὰ ἐπὶ γῆς ἑνώσας τοῖς οὐρανίοις, ἀνελήφθης ἐν δόξῃ Χριστὲ ὁ Θεὸς ἡμῶν, οὐδαμόθεν χωριζόμενος, ἀλλὰ μένων ἀδιάστατος, καὶ βοῶν τοῖς ἀγαπῶσί σε: Ἐγώ εἰμι μεθ' ὑμῶν, καὶ οὐδεὶς καθ' ὑμῶν.

### ✠ Τῇ Ζ'. Κυριακῇ ἀπὸ τοῦ Πάσχα ✠

Ψάλλεται ἡ Ἀκολουθία τῶν ἁγίων Τριακοσίων δέκα

ΔΗΜΟΣΙΕΥΣΙΣ ΒΙΒΛΙΟΘΗΚΗΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λήξουρίου - Μουσείο Τοπικής Ιστορίας

καὶ ὀκτὼ Θεοφόρων Πατέρων, τῆς ἐν Νικαίᾳ Α'. Οἰκουμενικῆς Συνόδου.

Ἄρειος, ὁ τοῖς πᾶσι γνωστὸς αἱρεσιάρχης, ὁ Λίβυς μὲν τὸ γένος, πρωτοπρεσβύτερος δὲ τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας, ἤρξατο, περὶ τὸ 315 ἔτος, βλασφημεῖν εἰς τὸν Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ, καὶ λέγειν, ὅτι οὐκ ἔστι Θεὸς ἀληθινὸς, ὁμοούσιος τῷ Πατρὶ, ἀλλὰ κτίσμα καὶ ποίημα, καὶ ξένος τῆς οὐσίας καὶ δόξης τοῦ Πατρός. Ἡ φρικτὴ αὕτη βλασφημία ἐτάραξε τῆς Ἀλεξανδρείας τοὺς πιστούς· καὶ ὁ τότε Ἀρχιεπίσκοπος αὐτῆς Ἀλέξανδρος, ἀφ' οὗ ματαίως ἐδοκίμασε τὴν διόρθωσιν αὐτοῦ διὰ νουθεσίας, ἀφώρισεν αὐτὸν, καὶ διὰ τοπικῆς Συνόδου ἐκάθηρε, κατὰ τὸ 321 ἔτος. Ἀλλ' ὁ βλάσφημος οὐδὲ οὕτως ἠβουλήθη σωφρονισθῆναι, οὐδὲ ἐπαύετο σπείρων τῶν αἱρετικῶν αὐτὸς ἠβουλήθη σωφρονισθῆναι, οὐδὲ ἐπαύετο σπείρων τῶν αἱρετικῶν αὐτοῦ δογμάτων τὰ θανατηφόρα ζιζάνια· καὶ τῆς αἱρέσεως ταύτης ἡ πλάνη, ἐφαπλουμένη πολλαχοῦ, καὶ καθ' ἑκάστην αὐξανομένη, ἐσπάραττε δεινῶς τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν.

Διὰ τοῦτο, θείῳ ζήλῳ κινούμενος ὁ πρῶτος τῶν Χριστιανῶν βασιλεὺς, Κωνσταντῖνος ὁ Μέγας καὶ Ἰσαπόστολος, συνεκάλεσε τὴν περίφημον Α'. Οἰκουμενικὴν Σύνοδον εἰς Νίκαιαν πόλιν τῆς Βιθυνίας· ἐκεῖ συναχθέντες πανταχόθεν τῷ 325 ἔτει οἱ τῆς Ἐκκλησίας τοῦ Χριστοῦ ποιμένες καὶ διδάσκαλοι, ἅπαντες, ἐν ἑνὶ σώματι καὶ μιᾷ φωνῇ, τὸν μὲν Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ ἀνεκήρυξαν ὁμοούσιον τῷ Πατρὶ, καὶ Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, συγγράψαντες καὶ τὸ ἅγιον τῆς πίστεως Σύμβολον μέχρι τοῦ, Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον· (ἐπειδὴ τὰ λοιπὰ ἕως τέλους ἀνεπλήρωσεν ἡ Β'. Οἰκουμενικὴ Σύνοδος·) τὸν δὲ δυσσεβῆ καὶ κακόδοξον Ἄρειον, καὶ τοὺς ὁμόφρονας αὐτοῦ, ἀνεθεμάτισαν, καὶ ὡς μέλη σεσηπότα ἀπέκοψαν τοῦ ὅλου σώματος τῶν πιστῶν.

Τούτους οὖν τοὺς θείους Πατέρας γνωρίζουσα ἡ τοῦ Χριστοῦ Ἐκκλησία κήρυκας τῆς πίστεως, μετὰ τοὺς θεηγόρους Ἀποστόλους, ὥρισε, κατὰ τὴν παροῦσαν Κυριακὴν, ἐτήσιον αὐτῶν μνήμην, εἰς δόξαν καὶ εὐχαριστίαν τοῦ Θεοῦ, εἰς ἔπαινον καὶ τιμὴν αὐτῶν, καὶ εἰς στερέωσιν τῆς ἀληθινῆς πίστεως.

Ἀπολυτίκιον Ἀναστάσιμον, Ἦχος πλ. β'.

Ἀγγελικαὶ Δυνάμεις ἐπὶ τὸ μνῆμά σου, καὶ οἱ φυλάσσοντες ἀπενεκρώθησαν· καὶ ἵστατο Μαρία ἐν τῷ τάφῳ, ζητοῦσα τὸ ἄχραντόν σου Σῶμα· ἐσκύλευσας τὸν Ἅδην, μὴ πειρασθεὶς ὑπ' αὐτοῦ· ὑπήντησας τῇ Παρθένῳ, δωρούμενος τὴν ζωήν. Ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν Κύριε, δόξα σοι.

Τῶν Πατέρων, Ἦχος πλ. δ'.

Ὑπερδεδοξασμένος εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ φωστῆρας ἐπὶ γῆς τοὺς Πατέρας ἡμῶν θεμελιώσας,

Δημόσια Κεντρική Βιβλιοθήκη Λιξουρίου - Κοραή Κ. Ιδρυμα Βιβλιοθηκών

καὶ δι' αὐτῶν πρὸς τὴν ἀληθινὴν πίστιν πάντας ἡμᾶ
ὁδηγήσας. Πολυεύσπλαγχνε δόξα σοι.

Καὶ τῆς Ἑορτῆς: Ἀνελήφθης ἐν δόξῃ, ὡς ὄπισθεν.

Κοντάκιον, Ἦχος πλ. δ'.

Τῶν Ἀποστόλων τὸ κήρυγμα, καὶ τῶν Πατέρων τ
δόγματα, τῇ Ἐκκλησίᾳ μίαν τὴν πίστιν ἐσφρ
γισαν· ἣ καὶ χιτῶνα φοροῦσα τῆς ἀληθείας, τὸν υ
φαντὸν ἐκ τῆς ἄνω Θεολογίας, ὀρθοτομεῖ καὶ δοξάζε
τῆς εὐσεβείας τὸ μέγα Μυστήριον.

Καὶ τῆς Ἑορτῆς: Τὴν ὑπὲρ ἡμῶν πληρώσας, ὡς ὄπισθεν.

✠ Τῇ Παρασκευῇ πρὸ τῆς Πεντηκοστῆς ✠

Ἀποδίδοται ἡ Ἑορτὴ τῆς Ἀναλήψεως, καὶ ψάλλονται πάντ
τὰ αὐτῆς, ἔντε τῷ Ἑσπερινῷ, καὶ τῷ Ὀρθρῳ, καὶ τῇ Λειτουργίᾳ.

✠ Τῷ Σαββάτῳ πρὸ τῆς Πεντηκοστῆς ✠

Μνήμην ἐπιτελοῦμεν τῶν ἀπ' αἰῶνος κεκοιμημένων πα
τέρων καὶ ἀδελφῶν ἡμῶν.

Ἀπολυτίκιον, Ἦχος πλ. δ'.

Ὁ βάθει σοφίας φιλανθρώπως πάντα οἰκονομῶν, κ
τὸ συμφέρον πᾶσιν ἀπονέμων, μόνε Δημιουργ
ἀνάπαυσον Κύριε, τὰς ψυχὰς τῶν δούλων σου· ἐν σο
γὰρ τὴν ἐλπίδα ἀνέθεντο, τῷ ποιητῇ καὶ πλάστῃ κ
Θεῷ ἡμῶν.

Θεοτοκίον.

Σὲ καὶ τεῖχος, καὶ λιμένα ἔχομεν, καὶ πρέσβιν εὐ
πρόσδεκτον, πρὸς ὃν ἔτεκες Θεὸν, Θεοτόκε ἀνύμ
φευτε, τῶν πιστῶν ἡ σωτηρία.

Κοντάκιον, Ἦχος πλ. δ'.

Μετὰ τῶν Ἁγίων ἀνάπαυσον, Χριστὲ τὰς ψυχὰς τῶ
δούλων σου, ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη, οὐ στε
ναγμὸς, ἀλλὰ ζωὴ ἀτελεύτητος.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

## Η ΑΓΙΑ ΠΕΝΤΗΚΟΣΤΗ.




### ✠ Τῇ Κυριακῇ τῆς ἁγίας Πεντηκοστῆς ✠

Μετὰ τὴν εἰς οὐρανοὺς τοῦ Σωτῆρος Ἀνάληψιν, οἱ ἕνδεκα Ἀπόστολοι καὶ λοιποὶ αὐτοῦ Μαθηταί, αἱ ἀπ' ἀρχῆς ἀκολουθήσασαι αὐτῷ θεοφιλεῖς γυναῖκες, ἡ ἁγιωτάτη Παρθένος Μαρία ἡ Μήτηρ αὐτοῦ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ, πάντες ὁμοῦ ψυχαὶ ὡς 120, ὑπέστρεψαν ἀπὸ τοῦ Ὄρους τοῦ Ἐλαιῶνος εἰς Ἱερουσαλήμ· καὶ εἰσελθόντες εἰς τὸν οἶκον, ἐν ᾧ ἔμενον, ἀνέβησαν εἰς τὸ ὑπερῷον, ὅ ἐστι τὸ ἀνώγαιον αὐτοῦ, καὶ ἐκεῖ, προσκαρτεροῦντες τῇ προσευχῇ καὶ τῇ δεήσει, περιέμενον τὴν τοῦ ἁγίου Πνεύματος ἐπέλευσιν, κατὰ τὴν τοῦ θείου Διδασκάλου ἐπαγγελίαν. Ἐκεῖ, ἐκλεχθεὶς καὶ ὁ Ματθίας, ἐν τούτῳ τῷ μεταξύ, συγκατεψηφίσθη μετὰ τῶν ἕνδεκα Ἀποστόλων (Αὐγούς. 9).

Κατὰ δὲ τὴν σήμερον, ἡμέραν τῆς Ἑβδομάδος Κυριακήν, καὶ δεκάτην μὲν ἀπὸ τῆς Ἀναλήψεως, πεντηκοστὴν δὲ ἀπὸ τοῦ Πάσχα, 13 δὲ τότε τοῦ Μαΐου, περὶ ὥραν γ'. τῆς ἡμέρας ἀπὸ τῆς τοῦ Ἡλίου ἀνατολῆς, ἐξαίφνης ἐγένετο τοιοῦτος ἦχος, ἐκ τοῦ οὐρανοῦ κατερχόμενος, ὡς ὅταν πνέῃ ἄνεμος σφοδρὸς, καὶ ἐγέμισεν ὅλον τὸν οἶκον, ἐν ᾧ ἐκάθηντο οἱ Ἀπόστολοι καὶ οἱ σὺν αὐτοῖς. Εὐθὺς μετὰ τὸν ἦχον ἐφάνησαν γλῶσσαι πυροειδεῖς, αἵ τινες διαμερισθεῖσαι, ἐκάθισαν ἐπὶ τῆς κεφαλῆς ἑνὸς ἑκάστου· καὶ πάντες οἱ ἐκεῖ, πνευματόφοροι γενόμενοι, ἤρξαντο λαλεῖν, οὐχὶ διὰ τῆς πατρικῆς αὐτῶν γλώσσης, ἀλλὰ δι' ἑτέρων γλωσσῶν καὶ διαλέκτων, ὅπως, καὶ ὅ, τι ὑπηγόρευεν εἰς αὐτοὺς τὸ Πνεῦμα τὸ ἅγιον.

Τὰ ἀπὸ διαφόρων τόπων συρρεύσαντα τότε πλήθη διὰ τὴν ἑορτὴν· Πάρθοι, καὶ Μῆδοι, καὶ Ἐλαμῖται, κτλ. Ἰουδαῖοι μὲν πάντες τὸ γένος καὶ τὴν θρησκείαν, οὕτω δὲ καλούμενοι ἐκ τοῦ τόπου, ἐν ᾧ, διεσκορπισμένοι ὄντες πρὸ πολλοῦ, ἐγεννήθη καὶ ἀνετράφη ἕκαστος. Οὗτοι, λέγω, οἱ 18 σχεδὸν διαλέκτων ἑτερόγλωσσοι Ἰουδαῖοι, εὑρεθέντες τότε κατὰ θείαν οἰκονομίαν ἐν Ἱερουσαλήμ, ἀκούσαντες τὸν ἦχον ἐκεῖνον, τὸν ἐκ τοῦ οὐρανοῦ κατερχόμενον ἔνθα ἦσαν οἱ Μαθηταὶ τοῦ Χριστοῦ, συνέδραμον πάντες ἐκεῖ, ἵνα μάθωσι, Τί ἄρα συνέβη. Ἀλλ'

ἔμειναν ἐκστατικοί, ὅτε ἦλθον, καὶ ἤκουσεν ἕκαστος τοὺς Ἀποστόλους λαλοῦντας τὴν πατρικὴν αὐτοῦ διάλεκτον· καὶ θαυμάζοντες ἔλεγον πρὸς ἀλλήλους: Οὐκ ἰδοὺ πάντες οὗτοι εἰσίν οἱ λαλοῦντες Γαλιλαῖοι; καὶ πῶς ἡμεῖς ἀκούομεν ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ ἡμῶν, ἐν ᾗ ἐγεννήθημεν; Ἕτεροι δὲ, διὰ μωρίας καὶ κακίας ὑπερβολὴν, (καὶ ἴσως πάλιν οἱ τυφλοὶ Γραμματεῖς καὶ Φαρισαῖοι) χλευάζοντες τὸ θαῦμα, ἔλεγον τοὺς Ἀποστόλους μεθύοντας.

Τότε, σταθεὶς ὁ Πέτρος μετὰ τῶν Ἕνδεκα, καὶ ὑψώσας τὴν φωνὴν αὐτοῦ, ἐδημηγόρησεν ἐνώπιον πάντων ἀποδεικτικῶς, ὅτι τὸ πρᾶγμα οὐκ ἦν μέθης ἀποτέλεσμα, ἀλλ' ἦν ἡ ἐκπλήρωσις τῆς ἐπαγγελίας τοῦ Θεοῦ, τῆς διὰ τοῦ προφήτου Ἰωὴλ εἰρημένης: Καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις, ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν, κτλ. (β', 28). Ἑπομένως κηρύττει τὸν Ναζωραῖον Ἰησοῦν, καὶ διὰ πολλῶν ἀποδεικνύει, ὅτι αὐτός ἐστιν ὁ Κύριος ὁ Χριστὸς, ὃν οἱ μὲν Ἰουδαῖοι ἐσταύρωσαν, ὁ δὲ Θεὸς ἤγειρεν ἐκ νεκρῶν. Ἐκ τούτου κατανυγέντες πολλοὶ, καὶ τὸν λόγον ἀποδεξάμενοι, ἐβαπτίσθησαν καὶ προσετέθησαν τὴν ἡμέραν ἐκείνην εἰς τὴν πίστιν τοῦ Χριστοῦ ψυχαὶ ὡς 3000 (Πράξ. ἀ. 12 — β'. 41).

Ἰδοὺ πᾶσα ἡ ὑπόθεσις τῆς παρούσης ἑορτῆς: Τὴν ἐν κόσμῳ δηλαδὴ ἐπιδημίαν τοῦ παναγίου Πνεύματος, τὴν τελείωσιν τῆς ὑποσχέσεως τοῦ Ἰησοῦ Χριστοῦ, καὶ τὴν συμπλήρωσιν τῆς ἐλπίδος τῶν ἱερῶν αὐτοῦ Μαθητῶν ἑορτάζομεν σήμερον. Αὕτη ἐστὶν ἡ μεθέορτος καὶ τελευταία ἑορτὴ τοῦ τῆς ἐνσάρκου οἰκονομίας τοῦ Θεοῦ μεγάλου μυστηρίου. Ἐν ταύτῃ τῇ ἐσχάτῃ, καὶ μεγάλῃ, καὶ σωτηρίῳ ἡμέρᾳ τῆς Πεντηκοστῆς, οἱ Ἀπόστολοι τοῦ Σωτῆρος, οἱ πρώην ἰδιῶται καὶ ἀγράμματοι ἁλιεῖς, σοφισθέντες διαμιᾶς ὑπὸ τοῦ ἁγίου Πνεύματος, ἐθεολόγησαν τρανῶς τὰ οὐράνια δόγματα, καὶ ἐγένοντο οἱ κήρυκες τῆς ἀληθείας, καὶ τοῦ κόσμου παντὸς οἱ διδάσκαλοι. Ἀπὸ ταύτης τῆς ἡμέρας ἤρξαντο τῆς ἀποστολῆς αὐτῶν τὸ ἔργον, οὗ ὁ ὡραῖος καὶ θαυμάσιος πρῶτος καρπὸς ὑπῆρξεν αὐθημερὸν τρισχιλίων ψυχῶν ἡ σωτηρία.

Σημειωτέον ἐνταῦθα, ὅτι τὸ εἰρημένον ὑπερῷον, ὅπερ οἱ Ἑβραῖοι συνήθως εἶχον διωρισμένον εἰς τόπον Εὐκτήριον, τινὲς μὲν νομίζουσιν, ὅτι ἦν ἐκεῖνο αὐτὸ τὸ ὑπερῷον, ἔνθα ὁ Σωτὴρ παρέδωκε τὸ μυστήριον τῆς Θείας Εὐχαριστίας· καὶ τοῦτο πάλιν, οἱ μὲν θέλουσιν ἐν τῷ οἴκῳ Ἰωάννου τοῦ Εὐαγγελιστοῦ, οἱ δὲ, ἐν τῷ τῆς Μαρίας τῆς μητρὸς Ἰωάννου τοῦ ἐπονομαζομένου Μάρκου (Πράξ. ιβ', 12)· ὅστις οἶκος, γενόμενος Ἐκκλησία μετέπειτα, ἐλέγετο Ἀνωτέρα τῶν Ἀποστόλων Ἐκκλησία (Κύριλλ. Ἱεροσολ. Κατηχ. ιε'.) Ἄλλοι τελευταῖον λέγουσι, ὅτι ἦν ἓν τῶν ὑπερῴων, τῶν ἐπὶ τῆς ἐξωτέρας αὐλῆς τοῦ Ναοῦ, ἔνθα ἦσαν ὑπερῷα διάφορα, ἀνεῳγμένα εἰς ὑποδοχὴν τῶν εἰς τὸ Ἱερὸν συντρεχόντων, καὶ ἕτοιμα παντὶ τῷ βουλομένῳ εἰσέρχεσθαι. Οἱ τῆς γνώμης ταύτης ἐπιφέρουσι καὶ λό-

γον τὸ τοῦ Εὐαγγελιστοῦ: Καὶ ἦσαν διαπαντὸς ἐν τῷ Ἱερῷ, αἰνοῦντες καὶ εὐλογοῦντες τὸν Θεόν. (Λουκ. κδ'. 53.) — Σημειωτέον προσέτι, ὅτι ἐνταῦθα τελευταῖον ἀναφέρεται, ἐν τῇ Καινῇ Διαθήκῃ, τῆς Θεοτόκου Μαρίας τὸ ὄνομα, καὶ πλέον οὔ.

## Ἀπολυτίκιον, Ἦχος πλ. δ'.

Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς Ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ δι' αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας. Φιλάνθρωπε, δόξα σοι.

## Κοντάκιον, Ἦχος πλ. δ'.

Ὅτε καταβὰς τὰς γλώσσας συνέχεε, διεμέριζεν ἔθνη ὁ Ὕψιστος· ὅτε τοῦ πυρὸς τὰς γλώσσας διένειμεν, εἰς ἑνότητα πάντας ἐκάλεσε· καὶ συμφώνως δοξάζομεν τὸ παναγιον Πνεῦμα.

## ΕΙΔΗΣΙΣ.

Ἰστέον, ὅτι καθ' ὅλην τὴν Ἑβδομάδα ταύτην τῆς Πεντηκοστῆς καταλύομεν εἰς πάντα.

## ✠ Τῷ Σαββάτῳ τῆς Πεντηκοστῆς ✠

Ἀποδίδοται ἡ Ἑορτὴ τῆς σεβασμίου ταύτης ἡμέρας, καὶ ψάλλονται πάντα τὰ αὐτῆς, ἔν τε τῷ Ἑσπερινῷ, καὶ τῷ Ὀρθρῳ, καὶ τῇ Λειτουργίᾳ.

## ΟΙ ΑΓΙΟΙ ΠΑΝΤΕΣ.



## ✠ Τῇ Κυριακῇ τῶν Ἁγίων Πάντων ✠

Ὁ μὲν προφητάναξ Δαυὶδ, μετὰ πολλῆς εὐλαβείας τιμῶν τοὺς φίλους τοῦ Θεοῦ, ἔλεγεν: Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου, ὁ Θεός (Ψαλμ. ρλή. 17). Ὁ δὲ θεῖος Ἀπόστολος, ἀ-

ΨΗΦΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Ἀψηφιακή Κεντρική Βιβλιοθήκη Λησμονίου - Μεσσηνιακών Τυπωθέντων

παριθμήσας τὰ κατορθώματα τῶν Ἁγίων ἀνδρῶν, καὶ τὴν μνήμην αὐτῶν προβάλλων ἡμῖν ὡς παράδειγμα, πρὸς ἀποστροφὴν μὲν τῶν γηΐνων πραγμάτων καὶ τῆς ἁμαρτίας, μίμησιν δὲ τῆς ὑπομονῆς αὐτῶν καὶ ἀνδρείας εἰς τοὺς ἀγῶνας τῆς ἀρετῆς οὕτω λέγει: Τοιγαροῦν καὶ ἡμεῖς, τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος Μαρτύρων, ὄγκον ἀποθέμενοι πάντα, καὶ τὴν εὐπερίστατον ἁμαρτίαν, δι' ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα (Ἑβρ. ιβ'. 1).

Ἐκ τῆς διδασκαλίας οὖν τῶν θείων Γραφῶν, καὶ τῆς ἀποστολικῆς παραδόσεως, ὁδηγηθέντες ἡμεῖς οἱ εὐσεβεῖς, τιμῶμεν ἅπαντας τοὺς φίλους τοῦ Θεοῦ, τοὺς Ἁγίους, ὡς φύλακας τῶν ἐντολῶν τοῦ Θεοῦ, ὡς ἀρετῆς λαμπρὰ παραδείγματα, ὡς τῆς ἀνθρωπίνης φύσεως ἐυεργέται. Καὶ ἕκαστον μὲν τῶν γνωρίμων Ἁγίων τιμῶμεν ἰδικῶς, εἰς μίαν τινὰ τοῦ ἐνιαυτοῦ ἡμέραν, ὡς φαίνεται εἰς τὸ Μηνολόγιον· ἐπειδὴ δὲ πολλοί εἰσιν ἡμῖν ἄγνωστοι, καὶ ὁ ἀριθμὸς αὐτῶν ἐπολλαπλασιάσθη κατὰ καιροὺς, καὶ ἔτι πολλαπλασιάζεται, καὶ οὐ παύσεται πληθυνόμενος ἕως τῆς συντελείας, διὰ τοῦτο ἡ Ἐκκλησία ἔταξεν, ἅπαξ τοῦ ἐνιαυτοῦ, πάντων τῶν Ἁγίων κοινὴν μνήμην, ἥτις ἐστὶν ἡ παροῦσα ἑορτή.

Ταύτην οὖν ἐπιτελοῦντες σήμερον, τιμῶμεν εὐλαβῶς, καὶ μακαρίζομεν πάντας, Δικαίους, Προφήτας, Ἀποστόλους Μάρτυρας, Ὁμολογητὰς, Ποιμένας, Διδασκάλους, Ὁσίους, ἄνδρας καὶ γυναῖκας ὁμοῦ, γνωστοὺς καὶ ἀγνώστους, τοὺς προστεθέντας καὶ τοὺς προστιθεμένους, ὅσοι ἀπὸ Ἀδὰμ ἕως τοῦ νῦν ἐτελειώθησαν ἐν εὐσεβείᾳ, καὶ διὰ τῶν καλῶν ἔργων ἐδόξασαν τὸν Θεόν. Τούτους πάντας, καὶ αὐτὰ προσέτι τῶν Ἀγγέλων τὰ τάγματα, πρὸ πάντων δὲ καὶ μετὰ πάντων, τὴν ὑπεραγίαν Δέσποιναν καὶ Κυρίαν ἡμῶν Θεοτόκον, Μαρίαν τὴν ἀειπάρθενον, τιμῶμεν σήμερον διὰ τῆς παρούσης ἑορτῆς, προτιθέμενοι τὸν βίον αὐτῶν ἀρετῆς παράδειγμα, καὶ παρακαλοῦντες αὐτοὺς, ἵνα πρεσβεύωσιν ὑπὲρ ἡμῶν πρὸς τὸν Θεόν. Οὗ ἡ χάρις καὶ τὸ ἄπειρον ἔλεος εἴη μετὰ πάντων ἡμῶν. Ἀμήν.

## Ἀπολυτίκιον Ἀναστάσιμον, Ἦχος πλ. δ'.

Ἐξ ὕψους, κατῆλθες ὁ εὔσπλαγχνος, ταφὴν κατεδέξω τριήμερον, ἵνα ἡμᾶς ἐλευθερώσῃς τῶν παθῶν, Ἡ ζωὴ καὶ ἡ Ἀνάστασις ἡμῶν Κύριε, δόξα σοι.

## Τῶν Ἁγίων, Ἦχος δ'.

Τῶν ἐν ὅλῳ τῷ κόσμῳ Μαρτύρων σου, ὡς πορφύραν καὶ βύσσον τὰ αἵματα, ἡ Ἐκκλησία σου στολισαμένη, δι' αὐτῶν βοᾷ σοι, Χριστὲ ὁ Θεός: Τῷ λαῷ σου τοὺς οἰκτιρμούς σου κατάπεμψον, εἰρήνην τῇ πολιτείᾳ σου δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Δημοσίου Μουσείου Υπαλλοδωναίων

## Θεοτοκίον.

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον Μυστήριον, διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται· Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος· δι' οὗ ἀναστήσας τὸν Πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

## Κοντάκιον Ἦχος πλ. δ'. Αὐτόμελον.

Ὡς ἀπαρχὰς τῆς φύσεως, τῷ φυτουργῷ τῆς κτίσεως, ἡ οἰκουμένη προσφέρει σοι, Κύριε, τοὺς Θεοφόρους Μάρτυρας. Ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ βαθείᾳ τὴν Ἐκκλησίαν σε, διὰ τῆς Θεοτόκε συντήρησον πολυέλεε.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΑΠΟΛΥΤΙΚΙΑ

## ΑΝΑΣΤΑΣΙΜΑ

## ΤΩΝ ΟΚΤΩ ΗΧΩΝ

Σὺν τοῖς Θεοτοκίοις, καὶ ταῖς Ὑπακοαῖς αὐτῶν.

### Ἀπολυτίκιον, Ἦχος ά.

Τοῦ λίθου σφραγισθέντος ὑπὸ τῶν Ἰουδαίων, καὶ στρατιωτῶν φυλασσόντων τὸ ἄχραντόν σου Σῶμα, ἀνέστης τριήμερος Σωτὴρ, δωρούμενος τῷ κόσμῳ τὴν ζωήν. Διὰ τοῦτο αἱ Δυνάμεις τῶν οὐρανῶν, ἐβόων σοι ζωοδότα· Δόξα τῇ Ἀναστάσει σου Χριστέ· δόξα τῇ βασιλείᾳ σου· δόξα τῇ οἰκονομίᾳ σου, μόνε φιλάνθρωπε.

### Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ. Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.

### Ἡ Ὑπακοή.

Ἡ τοῦ Ληστοῦ μετάνοια τὸν Παράδεισον ἐσύλησεν· ὁ δὲ θρῆνος τῶν Μυροφόρων τὴν χαρὰν ἐμήνυσεν, ὅτι ἀνέστης Χριστὲ ὁ Θεὸς, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

### Ἀπολυτίκιον, Ἦχος β'.

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον, ἡ ζωὴ ἡ ἀθάνατος, τότε τὸν Ἅδην ἐνέκρωσας, τῇ ἀστραπῇ τῆς Θεότητος· ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

θονίων ἀνέστησας, πᾶσαι αἱ Δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον: Ζωοδότα Χριστὲ ὁ Θεὸς ἡμῶν, δόξα σοι.

### Θεοτοκίον.

Πάντα ὑπὲρ ἔννοιαν, πάντα ὑπερένδοξα τὰ σὰ Θεοτόκε Μυστήρια· τῇ ἁγνείᾳ ἐσφραγισμένη, καὶ παρθενίᾳ φυλαττομένη, Μήτηρ ἐγνώσθης ἀψευδής, Θεὸν τεκοῦσα ἀληθινόν. Αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

### Ἡ Ὑπακοή.

Μετὰ τὸ πάθος πορευθεῖσαι ἐν τῷ μνήματι, πρὸς τὸ μυρίσαι τὸ Σῶμά σου αἱ Γυναῖκες, Χριστὲ ὁ Θεὸς, εἶδον Ἀγγέλους ἐν τῷ τάφῳ, καὶ ἐξέστησαν· φωνῆς γὰρ ἤκουον ἐξ αὐτῶν: Ὅτι ἀνέστη ὁ Κύριος, δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

### Ἀπολυτίκιον, Ἦχος γ.

Εὐφραινέσθω τὰ οὐράνια, ἀγαλλιάσθω τὰ ἐπίγεια, ὅτι ἐποίησε κράτος, ἐν βραχίονι αὐτοῦ ὁ Κύριος· ἐπάτησε τῷ θανάτῳ τὸν θάνατον, πρωτότοκος τῶν νεκρῶν ἐγένετο, ἐκ κοιλίας Ἅδου ἐρρύσατο ἡμᾶς, καὶ παρέσχε τῷ κόσμῳ τὸ μέγα ἔλεος.

### Θεοτοκίον.

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς ἐκ φθορᾶς, ὡς φιλάνθρωπος.

### Ἡ Ὑπακοή.

Ἐκπλήττων τῇ ὁράσει, δροσίζων τοῖς ῥήμασιν, ὁ ἀστράπτων Ἄγγελος, ταῖς Μυροφόροις ἔλεγε: Τὸν ζῶντα τί ζητεῖτε ἐν μνήματι; ἠγέρθη, κενώσας τὰ μνήματα· τῆς φθορᾶς ἀλλοιωτὴν γνῶτε τὸν ἀναλλοίωτον· εἴπατε τῷ Θεῷ: Ὡς φοβερὰ τὰ ἔργα σου, ὅτι τὸ γένος ἔσωσας τῶν ἀνθρώπων.

### Ἀπολυτίκιον, Ἦχος δ'.

Τὸ φαιδρὸν τῆς Ἀναστάσεως κήρυγμα ἐκ τοῦ Ἀγγέλου μαθοῦσαι αἱ τοῦ Κυρίου Μαθήτριαι, καὶ τὴν

ΔΗΜΟΣΙΕΥΣΙΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Δημητσάνας - Μουσείο Γραμμάτων Ιστορικών

προγονικὴν ἀπόφασιν ἀπορρίψασαι, τοῖς Ἀποστόλοις καυχώμεναι ἔλεγον: Ἐσκύλευται ὁ θάνατος, ἠγέρθη Χριστὸς ὁ Θεὸς, δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Θεοτοκίον.

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον Μυστήριον, διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται· Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος· δι' οὗ ἀναστήσας τὸν Πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Ἡ Ὑπακοή.

Τὰ τῆς σῆς παραδόξου ἐγέρσεως, προφραμῶσαι αἱ Μυροφόροι τοῖς Ἀποστόλοις ἐκήρυττον Χριστέ· ὅτι ἀνέστης ὡς Θεὸς, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Ἀπολυτίκιον, Ἦχος πλ. α'.

Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι, τὸν ἐκ Παρθένου τεχθέντα εἰς σωτηρίαν ἡμῶν, ἀνυμνήσωμεν πιστοὶ καὶ προσκυνήσωμεν· ὅτι ηὐδόκησε σαρκὶ, ἀνελθεῖν ἐν τῷ Σταυρῷ, καὶ θάνατον ὑπομεῖναι, καὶ ἐγεῖραι τοὺς τεθνεῶτας, ἐν τῇ ἐνδόξῳ Ἀναστάσει αὐτοῦ.

Θεοτοκίον.

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος. Χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ. Χαῖρε ἀχείμαστε λιμὴν, καὶ ἀπειρόγαμε. Ἡ τεκοῦσα ἐν σαρκὶ, τὸν ποιητήν σου καὶ Θεὸν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν τόκον σου.

Ἡ Ὑπακοή.

Ἀγγελικῇ ὁράσει τὸν νοῦν ἐκθαμβούμεναι, καὶ θείᾳ ἐγέρσει τὴν ψυχὴν φωτιζόμεναι, αἱ Μυροφόροι τοῖς Ἀποστόλοις εὐηγγελίζοντο: Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὴν Ἀνάστασιν τοῦ Κυρίου, συνεργοῦντος τοῖς θαύμασι, καὶ παρέχοντος ἡμῖν τὸ μέγα ἔλεος.

Ἀπολυτίκιον, Ἦχος πλ. β'.

Ἀγγελικαὶ Δυνάμεις ἐπὶ τὸ μνῆμά σου, καὶ οἱ φυλάσσοντες ἀπενεκρώθησαν· καὶ ἵστατο Μαρία ἐν

τῷ τάφῳ, ζητοῦσα τὸ ἄχραντόν σου Σῶμα· ἐσκύλευσας τὸν Ἅδην, μὴ πειρασθεὶς ὑπ' αὐτοῦ· ὑπήντησας τῇ Παρθένῳ, δωρούμενος τὴν ζωήν. Ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, Κύριε δόξα σοι.

Θεοτοκίον.

Ὁ τὴν εὐλογημένην καλέσας σου Μητέρα, ἦλθες ἐπὶ τὸ πάθος ἑκουσίᾳ βουλῇ, λάμψας ἐν τῷ Σταυρῷ, ἀναζητῆσαι θέλων τὸν Ἀδάμ, λέγων τοῖς Ἀγγέλοις: Συγχάρητέ μοι, ὅτι εὑρέθη ἡ ἀπολυμένη δραχμή. Ὁ πάντα σοφῶς οἰκονομήσας, δόξα σοι.

Ἡ Ὑπακοή.

Τῷ ἑκουσίῳ καὶ ζωοποιῷ σου θανάτῳ Χριστέ, πύλας τοῦ Ἅδου συντρίψας ὡς Θεός, ἤνοιξας ἡμῖν τὸν πάλαι Παράδεισον· καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, ἐρρύσω ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν.

Ἀπολυτίκιον, Ἦχος βαρύς.

Κατέλυσας τῷ Σταυρῷ σου τὸν θάνατον· ἠνέῳξας τῷ Ληστῇ τὸν Παράδεισον· τῶν Μυροφόρων τὸν θρῆνον μετέβαλες· καὶ τοῖς σοῖς Ἀποστόλοις κηρύττειν ἐπέταξας: Ὅτι ἀνέστης Χριστὲ ὁ Θεός, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Θεοτοκίον.

Ὡς τῆς ἡμῶν ἀναστάσεως θησαύρισμα, τοὺς ἐπὶ σοὶ πεποιθότας πανύμνητε, ἐκ λάκκου καὶ βυθοῦ πταισμάτων ἀνάγαγε. Σὺ γὰρ τοὺς ὑπευθύνους τῇ ἁμαρτίᾳ ἔσωσας, τεκοῦσα τὴν σωτηρίαν· ἡ πρὸ τόκου Παρθένος, καὶ ἐν τόκῳ Παρθένος, καὶ μετὰ τόκον πάλιν οὖσα Παρθένος.

Ἡ Ὑπακοή.

Ὁ ἡμετέραν μορφὴν ἀναλαβών, καὶ ὑπομείνας Σταυρὸν σωματικῶς, σῶσόν με τῇ Ἀναστάσει σου, Χριστὲ ὁ Θεός, ὡς φιλάνθρωπος.

Ἀπολυτίκιον, Ἦχος πλ. δ'.

Ἐξ ὕψους κατῆλθες ὁ εὔσπλαγχνος, ταφὴν κατεδέξω τριήμερον, ἵνα ἡμᾶς ἐλευθερώσῃς τῶν παθῶν. Ἡ ζωὴ καὶ ἡ Ἀνάστασις ἡμῶν, Κύριε δόξα σοι.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια κεντρική βιβλιοθήκη Δούκα - Μουσείο Ευαγγελικών Χαρακτήρων

## Θεοτοκίον.

Ὁ δι' ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου, καὶ σταύρωσιν ὑπομείνας ἀγαθὲ, ὁ θανάτῳ τὸν θάνατον σκυλεύσας, καὶ ἔγερσιν δείξας ὡς Θεὸς, μὴ παρίδῃς οὓς ἔπλασας τῇ χειρί σου· δεῖξον τὴν φιλανθρωπίαν σου ἐλεῆμον· δέξαι τὴν τεκοῦσάν σε Θεοτόκον, πρεσβεύουσαν ὑπὲρ ἡμῶν· καὶ σῶσον Σωτὴρ ἡμῶν, λαὸν ἀπεγνωσμένον.

## Ἡ Ὑπακοή.

Αἱ Μυροφόροι τοῦ ζωοδότου ἐπισταῖσαι τῷ μνήματι, τὸν Δεσπότην ἐζήτουν ἐν νεκροῖς τὸν ἀθάνατον· καὶ χαρᾶς εὐαγγέλια ἐκ τοῦ Ἀγγέλου δεξάμεναι, τοῖς Ἀποστόλοις ἐκήρυττον· Ὅτι ἀνέστη ὁ Κύριος, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου – Μουσείο Τυπάλδων Ιακωβάτων

# ΑΠΟΛΥΤΙΚΙΑ

## ΕΝ ΤΑΙΣ ΛΟΙΠΑΙΣ ΤΗΣ ΕΒΔΟΜΑΔΟΣ ΗΜΕΡΑΙΣ ΨΑΛΛΟΜΕΝΑ, ΟΤΕ ΟΥΚ ΕΣΤΙΝ ΕΟΡΤΗ.

### Τῇ Κυριακῇ ἑσπέρας, καὶ τῇ Δευτέρᾳ πρωΐ. Ἦχος δ'.

Τῶν οὐρανίων στρατιῶν Ἀρχιστράτηγοι, δυσωποῦμεν ὑμᾶς ἡμεῖς οἱ ἀνάξιοι, ἵνα ταῖς ὑμῶν δεήσεσι τειχίσητε ἡμᾶς, σκέπῃ τῶν πτερύγων τῆς ἀΰλου ὑμῶν δόξης, φρουροῦντες ἡμᾶς προσπίπτοντας, ἐκτενῶς καὶ βοῶντας: Ἐκ τῶν κινδύνων λυτρώσασθε ἡμᾶς, ὡς Ταξιάρχαι τῶν ἄνω Δυνάμεων.

Θεοτοκίον.

Τῇ ἀνατραφείσῃ ἐν τῷ ναῷ εἰς τὰ Ἅγια τῶν Ἁγίων, τῇ περιβεβλημένῃ τὴν πίστιν καὶ τὴν σοφίαν, καὶ τὴν ἄμετρον παρθενίαν, ὁ Ἀρχιστράτηγος Γαβριὴλ προσέφερεν οὐρανόθεν τὸν ἀσπασμὸν, καὶ τὸ Χαῖρε· Χαῖρε εὐλογημένη· χαῖρε δεδοξασμένη· ὁ Κύριος μετὰ σοῦ.

### Τῇ Δευτέρᾳ ἑσπέρας, καὶ τῇ Τρίτῃ πρωΐ. Ἦχος β'.

Μνήμη δικαίου μετ' ἐγκωμίων· σοὶ δὲ ἀρκέσει ἡ μαρτυρία τοῦ Κυρίου Πρόδρομε· ἀνεδείχθης γὰρ ὄντως καὶ Προφητῶν σεβασμιώτερος, ὅτι καὶ ἐν ῥείθροις βαπτίσαι κατηξιώθης τὸν κηρυττόμενον. Ὅθεν τῆς ἀληθείας ὑπεραθλήσας, χαίρων εὐηγγελίσω καὶ τοῖς ἐν Ἅιδῃ, Θεὸν φανερωθέντα ἐν σαρκὶ, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

Θεοτοκίον.

Θείας γεγόναμεν κοινωνοὶ φύσεως, διὰ σοῦ Θεοτόκε ἀειπάρθενε· Θεὸν γὰρ ἡμῖν σεσαρκωμένον τέτοκας· διὸ κατὰ χρέος σε πάντες, εὐσεβῶς μεγαλύνομεν.

ΑΠΟΣΠΑΣΜΑΤΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημοσία Κεντρική Βιβλιοθήκη Δημοτικού Μουσείου Ταμπάκων Χαλκιδέων

Τῇ Τρίτῃ ἑσπέρας, καὶ τῇ Τετάρτῃ πρωΐ.

Ἦχος ά.

Σῶσον Κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κλη-
ρονομίαν σου, νίκας τοῖς Βασιλεῦσι κατὰ βαρβάρων
δωρούμενος, καὶ τὸ σὸν φυλάττων διὰ τοῦ Σταυροῦ σου
πολίτευμα. Σταυροθεοτοκίον.

Οἱ τὴν σὴν προσασίαν κεκτημένοι Ἄχραντε, καὶ τα-
σαῖς ἱκεσίαις τῶν δεινῶν ἐκλυτρούμενοι, τῷ Στα-
ρῷ τοῦ Υἱοῦ σου ἐν παντὶ φρουρούμενοι, κατὰ χρέος σε
πάντες, εὐσεβῶς μεγαλύνομεν.

Τῇ Τετάρτῃ ἑσπέρας, καὶ τῇ Πέμπτῃ πρωΐ.

Ἦχος γ.

Ἀπόστολοι ἅγιοι, πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ, ἵνα
πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Ἕτερον, Ἦχος δ'.

Κανόνα πίστεως, καὶ εἰκόνα πραότητος, ἐγκρατείας
διδάσκαλον, ἀνέδειξέ σε τῇ ποίμνῃ σου, ἡ τῶν
πραγμάτων ἀλήθεια· διὰ τοῦτο ἐκτήσω τῇ ταπεινώ-
σει τὰ ὑψηλά, τῇ πτωχείᾳ τὰ πλούσια. Πάτερ Ἱεράρ-
χα Νικόλαε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς
ψυχὰς ἡμῶν. Θεοτοκίον.

Τὸν Λόγον τοῦ Πατρὸς, Χριστὸν τὸν Θεὸν ἡμῶν, ἐκ
σοῦ σαρκωθέντα ἔγνωμεν, Θεοτόκε Παρθένε, μό-
νη ἁγνή, μόνη εὐλογημένη· διὸ ἀπαύστως σὲ ἀνυμ-
νοῦντες μεγαλύνομεν.

Τῇ Πέμπτῃ ἑσπέρας, καὶ τῇ Παρασκευῇ πρωΐ.

Ἦχος ά.

Σῶσον Κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κλη-
ρονομίαν σου, νίκας τοῖς Βασιλεῦσι κατὰ βαρβάρων
δωρούμενος, καὶ τὸ σὸν φυλάττων διὰ τοῦ Σταυροῦ σου
πολίτευμα. Σταυροθεοτοκίον.

Οἱ τὴν σὴν προστασίαν κεκτημένοι Ἄχραντε, καὶ
ταῖς σαῖς ἱκεσίαις τῶν δεινῶν ἐκλυτρούμενοι, τῷ
Σταυρῷ τοῦ Υἱοῦ σου ἐν παντὶ φρουρούμενοι, κατὰ χρέος
σε πάντες, εὐσεβῶς μεγαλύνομεν.

ΔΗΜΟΣΙΟΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Τῇ Παρασκευῇ ἑσπέρας, καὶ τῷ Σαββάτῳ πρωΐ.

Ἦχος β΄.

Ἀπόστολοι, Μάρτυρες, καὶ Προφῆται, Ἱεράρχαι, Ὅσιοι, καὶ Δίκαιοι, οἱ καλῶς τὸν ἀγῶνα τελέσαντες, καὶ τὴν πίστιν τηρήσαντες, παῤῥησίαν ἔχοντες πρὸς τὸν Σωτῆρα, ὑπὲρ ἡμῶν αὐτὸν ὡς ἀγαθὸν ἱκετεύσατε, σωθῆναι δεόμεθα τὰς ψυχὰς ἡμῶν.

Δόξα, Νεκρώσιμον.

Μνήσθητι Κύριε, ὡς ἀγαθὸς τῶν δούλων σου, καὶ ὅσα ἐν βίῳ ἥμαρτον, συγχώρησον· οὐδεὶς γὰρ ἀναμάρτητος, εἰμὴ σὺ ὁ δυνάμενος, καὶ τοῖς μεταστᾶσι δοῦναι τὴν ἀνάπαυσιν.

Καὶ νῦν, Θεοτοκίον.

Μήτηρ ἁγία, ἡ τοῦ ἀφράστου φωτὸς, ἀγγελικοῖς σε ὕμνοις τιμῶντες, εὐσεβῶς μεγαλύνομεν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Λήξουριου - Μουσείο Τυπάδων Ιακωβάτων

# ΘΕΟΤΟΚΙΑ ΕΙΣ ΕΚΑΣΤΟΝ ΗΧΟΝ

## ΨΑΛΛΟΜΕΝΑ ΕΝ ΟΛΩ ΤΩ ΕΝΙΑΥΤΩ

ΜΕΤΑ ΤΑ ΑΠΟΛΥΤΙΚΙΑ ΤΩΝ ΜΗ ΕΟΡΤΑΖΟΜΕΝΩΝ ΑΓΙΩΝ.

### ΕΙΣ ΤΟΝ Α'. ΗΧΟΝ.

Τῇ Κυριακῇ ἑσπέρας, καὶ τῇ Δευτέρᾳ πρωΐ,
Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος ά.

Θαῦμα θαυμάτων Κεχαριτωμένη, ἐν σοὶ θεωροῦσα ἡ κτίσις ἀγάλλεται· συνέλαβες γὰρ ἀσπόρως, καὶ ἔτεκες ἀφράστως, ὃν ταξιαρχίαι Ἀγγέλων ὁρᾶν οὐ δύνανται. Αὐτὸν ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος ά.

Ἄχραντε Θεοτόκε, ἡ ἐν οὐρανοῖς εὐλογημένη, καὶ ἐπὶ γῆς δοξολογουμένη, χαῖρε Νύμφη ἀνύμφευτε.

Τῇ Δευτέρᾳ ἑσπέρας, καὶ τῇ Τρίτῃ πρωΐ,
Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος ά.

Συλλαβοῦσα ἀφλέκτως τὸ πῦρ τῆς Θεότητος, καὶ τεκοῦσα ἀσπόρως πηγὴν ζωῆς τὸν Κύριον, κεχαριτωμένη Θεοτόκε, περίσωζε τοὺς σὲ μεγαλύνοντας.

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος ά.

Τὸν ἀμήτορα ἐν οὐρανῷ, ὑπὲρ ἔννοιαν καὶ ἀκοήν, ἐπὶ γῆς ἀπάτορα ἔτεκες. Αὐτὸν Θεοτόκε ἱκέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Τῇ Τρίτῃ ἑσπέρας, καὶ τῇ Τετάρτῃ πρωΐ,
Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος ά.

Οἱ τὴν σὴν προστασίαν κεκτημένοι Ἄχραντε, καὶ ταῖς σαῖς ἱκεσίαις τῶν δεινῶν ἐκλυτρούμενοι, τῷ Σταυρῷ τοῦ Υἱοῦ σου ἐν παντὶ φρουρούμενοι, κατὰ χρέος σε πάντες, εὐσεβῶς μεγαλύνομεν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος ά.

Ἄχραντε Θεοτόκε, ἡ ἐν οὐρανοῖς εὐλογημένη, καὶ ἐπὶ γῆς δοξολογουμένη, χαῖρε Νύμφη ἀνύμφευτε.

Τῇ Τετάρτῃ ἑσπέρας, καὶ τῇ Πέμπτῃ πρωΐ,

Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος ά.

Συλλαβοῦσα ἀφλέκτως τὸ πῦρ τῆς Θεότητος, καὶ τεκοῦσα ἀσπόρως πηγὴν ζωῆς τὸν Κύριον, κεχαριτωμένη Θεοτόκε, περίσωζε τοὺς σὲ μεγαλύνοντας.

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος ά.

Τὸν ἀμήτορα ἐν οὐρανῷ, ὑπὲρ ἔννοιαν καὶ ἀκοήν, ἐπὶ γῆς ἀπάτορα ἔτεκες· αὐτὸν Θεοτόκε ἱκέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Τῇ Πέμπτῃ ἑσπέρας, καὶ τῇ Παρασκευῇ πρωΐ,

Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος ά.

Οἱ τὴν σὴν προστασίαν κεκτημένοι Ἄχραντε, καὶ ταῖς σαῖς ἱκεσίαις τῶν δεινῶν ἐκλυτρούμενοι, τῷ Σταυρῷ τοῦ Υἱοῦ σου ἐν παντὶ φρουρούμενοι, κατὰ χρέος σε πάντες εὐσεβῶς μεγαλύνομεν.

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος ά.

Ἄχραντε Θεοτόκε, ἡ ἐν οὐρανοῖς εὐλογημένη, καὶ ἐπὶ γῆς δοξολογουμένη, χαῖρε Νύμφη ἀνύμφευτε.

Τῇ Παρασκευῇ ἑσπέρας, καὶ τῷ Σαββάτῳ πρωΐ,

Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος ά.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ. Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίσην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος ά.

Τὸν ἀμήτορα ἐν οὐρανῷ, ὑπὲρ ἔννοιαν καὶ ἀκοήν, ἐπὶ γῆς ἀπάτορα ἔτεκες. Αὐτὸν Θεοτόκε ἱκέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
Περιφερειακή Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

## ΕΙΣ ΤΟΝ Β΄. ΗΧΟΝ.

Τῇ Κυριακῇ ἑσπέρας, καὶ τῇ Δευτέρᾳ πρωΐ,
Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος β΄.

Εὐσπλαγχνίας ὑπάρχουσα πηγή, συμπαθείας ἀξίωσον ἡμᾶς Θεοτόκε· βλέψον εἰς λαὸν τὸν ἁμαρτήσαντα, δεῖξον ὡς ἀεὶ τὴν δυναστείαν σου· εἰς σὲ γὰρ ἐλπίζοντες, τὸ Χαῖρε βοῶμέν σοι, ὡς ποτὲ ὁ Γαβριήλ, ὁ τῶν ἀσωμάτων Ἀρχιστράτηγος.

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος β΄.

Μήτηρ ἁγία, ἡ τοῦ ἀφράστου φωτὸς, ἀγγελικοῖς σε ὕμνοις τιμῶντες, εὐσεβῶς μεγαλύνομεν.

Τῇ Δευτέρᾳ ἑσπέρας, καὶ τῇ Τρίτῃ πρωΐ,
Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος β΄.

Θείας γεγόναμεν κοινωνοὶ φύσεως, διὰ σοῦ Θεοτόκε ἀειπάρθενε· Θεὸν γὰρ ἡμῖν σεσαρκωμένον τέτοκας· διὸ καπὰ χρέος σε πάντες, εὐσεβῶς μεγαλύνομεν.

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος β΄.

Σὲ μεγαλύνομεν Θεοτόκε βοῶντες: Χαῖρε ἀδύτου φωτὸς νεφέλη, αὐτὸν βαστάσασα ἐν κόλποις τῆς δόξης τὸν Κύριον.

Τῇ Τρίτῃ ἑσπέρας, καὶ τῇ Τετάρτῃ πρωΐ,
Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος β΄.

Ὑπερδεδοξασμένη ὑπάρχεις, Θεοτόκε Παρθένε, ὑμνοῦμέν σε· διὰ γὰρ τοῦ Σταυροῦ τοῦ Υἱοῦ σου κατεβλήθη ὁ Ἅδης, καὶ ὁ θάνατος τέθνηκε· νεκρωθέντες ἀνέστημεν, καὶ ζωῆς ἠξιώθημεν· τὸν Παράδεισον ἐλάβομεν, τὴν ἀρχαίαν ἀπόλαυσιν. Διὸ εὐχαριστοῦντες δοξολογοῦμεν, ὡς κραταιὸν Χριστὸν τὸν Θεὸν ἡμῶν, καὶ μόνον πολυέλεον.

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος β΄.

Σὲ μεγαλύνομεν Θεοτόκε βοῶντες: Χαῖρε ἡ ῥάβδος ἐξ ἧς ἀσπόρως Θεὸς βλαστήσας, ἀνεῖλεν ἐν Ξύλῳ τὸν θάνατον.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημοτική Κεντρική Βιβλιοθήκη Δράμας
Μουσείο Τυπάλδων Ιακωβάτων

Τῇ Τετάρτῃ ἑσπέρας, καὶ τῇ Πέμπτῃ πρωΐ,
Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος β΄.

Θείας γεγόναμεν κοινωνοὶ φύσεως, διὰ σοῦ Θεοτόκε ἀειπάρθενε· Θεὸν γὰρ ἡμῖν σεσαρκωμένον τέτοκας· διὸ κατὰ χρέος σε πάντες εὐσεβῶς μεγαλύνομεν.

Εἰς τὸ τέλος τοῦ Ὀρθρου, Ἦχος β΄.

Σὲ μεγαλύνομεν Θεοτόκε βοῶντες: Χαῖρε ἀδύτου φωτὸς νεφέλη, αὐτὸν βαστάσασα ἐν κόλποις τῆς δόξης τὸν Κύριον.

Τῇ Πέμπτῃ ἑσπέρας, καὶ τῇ Παρασκευῇ πρωΐ,
Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος β΄.

Ὑπερδεδοξασμένη ὑπάρχεις, Θεοτόκε Παρθένε, ὑμνεμένη σε· διὰ γὰρ τοῦ Σταυροῦ τοῦ Υἱοῦ σου, κατεβλήθη ὁ Ἅδης, καὶ ὁ θάνατος τέθνηκε· νεκρωθέντες ἀνέστημεν, καὶ ζωῆς ἠξιώθημεν· τὸν Παράδεισον ἐλάβομεν, τὴν ἀρχαίαν ἀπόλαυσιν. Διὸ εὐχαριστοῦντες δοξολογοῦμεν, ὡς κραταιὸν Χριστὸν τὸν Θεὸν ἡμῶν, καὶ μόνον πολυέλεον.

Εἰς τὸ τέλος τοῦ Ὀρθρου, Ἦχος β΄.

Σὲ μεγαλύνομεν Θεοτόκε βοῶντες: Χαῖρε ἡ ῥάβδος, ἐξ ἧς ἀσπόρως Θεὸς βλαστήσας, ἀνεῖλεν ἐν Ξύλῳ τὸν θάνατον.

Τῇ Παρασκευῇ ἑσπέρας, καὶ τῷ Σαββάτῳ πρωΐ,
Εἰς τό, Θεὸς Κύριος, Ἦχος β΄.

Πάντα ὑπὲρ ἔννοιαν, πάντα ὑπερένδοξα τὰ σὰ Θεοτόκε Μυστήρια· τῇ ἁγνείᾳ ἐσφραγισμένη, καὶ παρθενίᾳ φυλαττομένη, Μήτηρ ἐγνώσθης ἀψευδής, Θεὸν τεκοῦσα ἀληθινόν. Αὐτὸν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸ τέλος τοῦ Ὀρθρου, Ἦχος β΄.

Μήτηρ ἁγία, ἡ τοῦ ἀφράστου φωτὸς, ἀγγελικοῖς σε ὕμνοις τιμῶντες, εὐσεβῶς μεγαλύνομεν.

Ἐὰν δὲ τύχῃ, Ἀλληλούϊα ἐνοίφδήποτε Ἦχῳ, λέγονται ταῦτα.

Ἦχος β΄.

Ἀπόστολοι, Μάρτυρες, καὶ Προφῆται, Ἱεράρχαι, Ὅσιοι, καὶ Δίκαιοι, οἱ καλῶς τὸν ἀγῶνα τελέσαντες, καὶ τὴν πίστιν τηρήσαντες, παῤῥησίαν ἔχοντες πρὸς



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Δημητσάνας Μουσείο Δημόκου Ιστορίας

τὸν Σωτῆρα, ὑπὲρ ἡμῶν αὐτὸν ὡς ἀγαθὸν ἱκετεύσατε, σωθῆναι δεόμεθα τὰς ψυχὰς ἡμῶν.

Δόξα, Νεκρώσιμον.

Μνήσθητι Κύριε, ὡς ἀγαθὸς τῶν δούλων σε, καὶ ὅσα ἐν βίῳ ἥμαρτον, συγχώρησον· οὐδεὶς γὰρ ἀναμάρτητος, εἰ μὴ σὺ ὁ δυνάμενος, καὶ τοῖς μεταστᾶσι δοῦναι τὴν ἀνάπαυσιν.

Καὶ νῦν, Θεοτοκίον.

Μήτηρ ἁγία, ἡ τοῦ ἀφράστου φωτὸς, ἀγγελικοῖς σε ὕμνοις τιμῶντες, εὐσεβῶς μεγαλύνομεν.

ΕΙΣ ΤΟΝ Γ. ΗΧΟΝ.

Τῇ Κυριακῇ ἑσπέρας καὶ τῇ Δευτέρᾳ πρωΐ,

Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος γ.

Τὴν ὡραιότητα τῆς παρθενίας σου, καὶ τὸ ὑπέρλαμπρον, τὸ τῆς ἁγνείας σου, ὁ Γαβριὴλ καταπλαγείς, ἐβόασοι Θεοτόκε: Ποῖόν σοι ἐγκώμιον προσαγάγω ἐπάξιον; τί δὲ ὀνομάσωσε; ἀπορῶ, καὶ ἐξίσταμαι· διὸ ὡς προσετάγην βοῶ σοι: Χαῖρε ἡ κεχαριτωμένη.

Εἰς τὸ τέλος τοῦ Ὀρθρου, Ἦχος γ.

Ἕκαστος ὅπου σώζεται, ἐκεῖ δικαίως καὶ προσρέχει· καὶ ποία ἄλλη τοιαύτη καταφυγὴ, ὡς σὺ Θεοτόκε, σκέπουσα τὰς ψυχὰς ἡμῶν;

Τῇ Δευτέρᾳ, ἑσπέρας. καὶ τῇ Τρίτῃ πρωΐ,

Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος γ.

Καταφυγὴ καὶ δύναμις ἡμῶν Θεοτόκε, ἡ κραταιὰ βοήθεια τοῦ κόσμου, ταῖς πρεσβείαις σου σκέπε τοὺς δούλους σου, ἀπὸ πάσης ἀνάγκης, μόνη εὐλογημένη.

Εἰς τὸ τέλος τοῦ Ὀρθρου, Ἦχος γ.

Ἕκαστος ὅπου σώζεται, ἐκεῖ δικαίως καὶ προστρέχει· καὶ ποία ἄλλη τοιαύτη καταφυγὴ, ὡς σὺ Θεοτόκε, σκέπουσα τὰς ψυχὰς ἡμῶν;

Τῇ Τρίτῃ ἑσπέρας. καὶ τῇ Τετάρτῃ πρωΐ,

Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος γ.

Ῥάβδον δυνάμεως κεκτημένοι, τὸν Σταυρὸν τοῦ Υἱοῦ σου Θεοτόκε, ἐν αὐτῷ καταβάλλομεν τῶν ἐχθρῶν τὰ φρυάγματα, οἱ πόθῳ σε ἀπαύστως μεγαλύνοντες.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος γ΄.

Καταφυγὴ καὶ δύναμις ἡμῶν Θεοτόκε, ἡ κραταιὰ βοήθεια τοῦ κόσμου, ταῖς πρεσβείαις σου σκέπε τοὺς δούλους σου, ἀπὸ πάσης ἀνάγκης, μόνη εὐλογημένη.

Τῇ Τετάρτῃ ἑσπέρας, καὶ τῇ Πέμπτῃ πρωΐ,

Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος γ΄.

Προφῆται προεκήρυξαν, Ἀπόστολοι ἐδίδαξαν, Μάρτυρες ὡμολόγησαν, καὶ ἡμεῖς ἐπιστεύσαμεν, Θεοτόκον σε κυρίως ὑπάρχουσαν· διὸ καὶ μεγαλύνομεν, τὸν τόκον σου τὸν ἄφραστον.

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος γ΄.

Ἕκαστος ὅπου σώζεται, ἐκεῖ δικαίως καὶ προσρέχει· καὶ ποία ἄλλη τοιαύτη καταφυγή, ὡς σὺ Θεοτόκε, σκέπουσα τὰς ψυχὰς ἡμῶν;

Τῇ Πέμπτῃ ἑσπέρας, καὶ τῇ Παρασκευῇ πρωΐ,

Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος γ΄.

Ῥάβδον δυνάμεως κεκτημένοι, τὸν Σταυρὸν τοῦ Υἱοῦ σου Θεοτόκε, ἐν αὐτῷ καταβάλλομεν τῶν ἐχθρῶν τὰ φρυάγματα, οἱ πάθῳ σε ἀπαύστως μεγαλύνοντες.

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος γ΄.

Καταφυγὴ καὶ δύναμις ἡμῶν Θεοτόκε, ἡ κραταιὰ βοήθεια τοῦ κόσμου, ταῖς πρεσβείαις σου σκέπε τοὺς δούλους σου, ἀπὸ πάσης ἀνάγκης, μόνη εὐλογημένη.

Τῇ Παρασκευῇ ἑσπέρας, καὶ τῷ Σαββάτῳ πρωΐ,

Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος γ΄.

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος γ΄.

Προφῆται προεκήρυξαν, Ἀπόστολοι ἐδίδαξαν, Μάρτυρες ὡμολόγησαν, καὶ ἡμεῖς ἐπιστεύσαμεν, Θεοτόκον σε κυρίως ὑπάρχουσαν· διὸ καὶ μεγαλύνομεν τὸν τόκον σου τὸν ἄφραστον.

ΑΠΟΘΕΣΙΒΛΙΟΘΗΚΕΣ

## ΕΙΣ ΤΟΝ Δ'. ΗΧΟΝ.

### Τῇ Κυριακῇ ἑσπέρας, καὶ τῇ Δευτέρᾳ πρωΐ, Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος δ'.

Τῇ ἀνατραφείσῃ ἐν τῷ ναῷ, εἰς τὰ Ἅγια τῶν Ἁγίων, τῇ περιβεβλημένῃ τὴν πίστιν καὶ τὴν σοφίαν, καὶ τὴν ἄμετρον παρθενίαν, ὁ Ἀρχισράτηγος Γαβριὴλ, προσέφερεν οὐρανόθεν, τὸν ἀσπασμὸν καὶ τὸ Χαῖρε· Χαῖρε εὐλογημένη· χαῖρε δεδοξασμένη· ὁ Κύριος μετὰ σοῦ.

### Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος δ'.

Ὅτι πάντων ὑπάρχεις τῶν ποιημάτων ὑπερτέρα, ἀνυμνεῖν σε ἀξίως μὴ εὐπορούντες Θεοτόκε, δωρεὰν αἰτούμεθά σε· Ἐλέησον ἡμᾶς.

### Τῇ Δευτέρᾳ ἑσπέρας, καὶ τῇ Τρίτῃ πρωΐ, Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος δ'.

Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν, ἁμαρτωλοὶ καὶ ταπεινοὶ, καὶ προσπέσωμεν ἐν μετανοίᾳ, κράζοντες ἐκ βάθους ψυχῆς· Δέσποινα βοήθησον, ἐφ' ἡμῖν σπλαγχνισθεῖσα· σπεῦσον ἀπολλύμεθα, ὑπὸ πλήθους πταισμάτων· μὴ ἀποσρέψῃς σοὺς δούλους κενούς· σὲ γὰρ καὶ μόνην ἐλπίδα κεκτήμεθα.

### Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος δ'.

Σὲ μεγαλύνομεν Θεοτόκε, βοῶντες· Σὺ εἶ ἡ βάτος, ἐν ᾗ ἀφλέκτως Μωσῆς κατεῖδεν ὡς φλόγα, τὸ πῦρ τῆς Θεότητος.

### Τῇ Τρίτῃ ἑσπέρας, καὶ τῇ Τετάρτῃ πρωΐ, Εἰς τὸ, Θεὸς Κύριος Ἦχος δ'.

Παρθένε παναμωμε, Μήτηρ Χριστοῦ τοῦ Θεοῦ, ῥομφαία διῆλθέσου τὴν παναγίαν ψυχὴν, ἡνίκα σαυρούμενον, ἔβλεψας ἑκουσίως τὸν Υἱὸν καὶ Θεόν σου· ὃν περ εὐλογημένη, δυσωποῦσα μὴ παύσῃ, συγχώρησιν πταισμάτων ἡμῖν δωρήσασθαι.

### Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος δ'.

Σὲ μεγαλύνομεν Θεοτόκε, βοῶντες· Σὺ εἶ τὸ ὄρος, ἐξ οὗ ἀρρήτως ἐτμήθη λίθος, καὶ πύλας τοῦ Ἅδου συνέτριψεν.

ΔΗΜΟΣΙΕΥΣΕΙΣ ΒΙΒΛΙΟΘΗΚΗΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Κατερίνης
Μουσείο Υπαίθριων Λαογραφιών

Τῇ Τετάρτῃ ἑσπέρας, καὶ τῇ Πέμπτῃ πρωΐ,
Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος δ΄.

Τὸν Λόγον τὸν Πατρὸς Χριστὸν τὸν Θεὸν ἡμῶν, ἐκ σοῦ σαρκωθέντα ἐγνωμεν, Θεοτόκε Παρθένε, μόνη ἁγνὴ, μόνη εὐλογημένη· διὸ ἀπαύστως σὲ ἀνυμνοῦντες μεγαλύνομεν.

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος δ΄.

Ὅτι πάντων ὑπάρχεις τῶν ποιημάτων ὑπερτέρα, ἀνυμνεῖν σε ἀξίως μὴ εὐπορούντες Θεοτόκε, δωρεὰν αἰτοῦμέν σε· Ἐλέησον ἡμᾶς.

Τῇ Πέμπτῃ ἑσπέρας, καὶ τῇ Παρασκευῇ πρωΐ,
Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος δ΄.

Παρθένε πανάμωμε, Μήτηρ Χριστοῦ τοῦ Θεοῦ, ῥομφαία διῆλθέ σου τὴν παναγίαν ψυχὴν, ἡνίκα σαυρούμενον, ἔβλεψας ἑκουσίως τὸν Υἱὸν καὶ Θεόν σου· ὃν περ εὐλογημένη, δυσωποῦσα μὴ παύσῃ, συγχώρησιν πταισμάτων ἡμῖν δωρήσασθαι.

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος δ΄.

Σὲ μεγαλύνομεν Θεοτόκε, βοῶντες: Σὺ εἶ τὸ ὄρος, ἐξ οὗ ἀῤῥήτως ἐτμήθη λίθος, καὶ πύλας τοῦ Ἅδου συνέτριψεν.

Τῇ Παρασκευῇ ἑσπέρας, καὶ τῷ Σαββάτῳ πρωΐ,
Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος δ΄.

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωσον Μυστήριον, διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος· δι' οὗ ἀναστήσας τὸν Πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος δ΄.

Σὲ μεγαλύνομεν Θεοτόκε, βοῶντες: Σὺ εἶ ἡ βάτος, ἣν ἡ ἀφλέκτως Μωσῆς κατεῖδεν ὡς φλόγα, τὸ πῦρ τῆς Θεότητος.

ΕΙΣ ΤΟΝ ΠΛ. Α΄. ΗΧΟΝ.

Τῇ Κυριακῇ ἑσπέρας, καὶ τῇ Δευτέρᾳ πρωΐ,
Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος πλ. α΄.

Μετὰ Ἀγγέλων τὰ οὐράνια, μετὰ ἀνθρώπων τὰ ἐπίγεια, ἐν φωνῇ ἀγαλλιάσεως, Θεοτόκε βοῶμέν σοι: Χαῖρε πύλη τῶν οὐρανῶν πλατυτέρα· χαῖρε μόνη

τῶν γηγενῶν σωτηρία· χαῖρε σεμνὴ κεχαριτωμένη, ἡ τεκοῦσα Θεὸν σεσαρκωμένον.

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος πλ. ά.

Ὁ ἐκ Παρθένου ἀνατείλας τῷ κόσμῳ, Χριστὲ ὁ Θεός, υἱοὺς φωτὸς δι' αὐτῆς ἀναδείξας, ἐλέησον ἡμᾶς.

Τῇ Δευτέρᾳ ἑσπέρας, καὶ τῇ Τρίτῃ πρωΐ,
Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος πλ. ά.

Τὴν ταχεῖάν σου σκέπην καὶ τὴν βοήθειαν, καὶ τὸ ἔλεος δεῖξον ἐπὶ τοὺς δούλους σου· καὶ τὰ κύματα ἀγνὴ καταπραΰνον, τῶν ματαίων λογισμῶν· καὶ τὴν πεσοῦσάν μου ψυχὴν, ἀνάστησον Θεοτόκε· οἶδα γὰρ οἶδα, Παρθένε, ὅτι ἰσχύεις ὅσα καὶ βούλοιο.

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος πλ. ά.

Μήτηρ Θεοῦ παναγία, τὸ τεῖχος τῶν Χριστιανῶν, ῥῦσαι λαόν σου συνήθως, κραυγάζοντά σοι ἐκτενῶς· Ἀντιτάχθητι αἰσχροῖς, καὶ ἀλαζόσι λογισμοῖς, ἵνα βοῶμέν σοι· Χαῖρε ἀειπάρθενε.

Τῇ Τρίτῃ ἑσπέρας, καὶ τῇ Τετάρτῃ πρωΐ,
Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος πλ. ά.

Τῷ Σταυρῷ τοῦ Υἱοῦ σου Θεοχαρίτωτε, τῶν εἰδώλων ἡ πλάνη πᾶσα κατήργηται, καὶ τῶν δαιμόνων ἡ ἰσχὺς καταπεπάτηται· διὰ τοῦτο οἱ πιστοὶ, κατὰ χρέος σε ἀεὶ, ὑμνοῦμεν καὶ εὐλογοῦμεν, καὶ Θεοτόκον κυρίως ὁμολογοῦντες, σὲ μεγαλύνομεν.

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος πλ. ά.

Ὁ ἐκ Παρθένου ἀνατείλας τῷ κόσμῳ, Χριστὲ ὁ Θεός, υἱοὺς φωτὸς δι' αὐτῆς ἀναδείξας, ἐλέησον ἡμᾶς.

Τῇ Τετάρτῃ ἑσπέρας, καὶ τῇ Πέμπτῃ πρωΐ,
Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος πλ. ά.

Τὸ ξένον τῆς Παρθένου Μυστήριον, τῷ κόσμῳ ἀνεδείχθη σωτήριον· ἐξ αὐτῆς γὰρ ἐτέχθης ἄνευ σπορᾶς, ἡ σαρκὶ ἀνεδείχθης δίχα φθορᾶς, ἡ πάντων χαρά. Κύριε δόξα σοι.

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος πλ. ά.

Μήτηρ Θεοῦ παναγία, τὸ τεῖχος τῶν Χριστιανῶν, ῥῦσαι λαόν σου συνήθως, κραυγάζοντά σοι ἐκτενῶς·

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Λιβαδειάς - Μουσείο Ιστορίας Ελληνικού Βιβλίου

Ἀντιτάχθητι αἰσχροῖς, καὶ ἀλαζόσι λογισμοῖς, ἵνα βοῶμέν σοι: Χαῖρε ἀειπάρθενε.

Τῇ Πέμπτῃ ἑσπέρας, καὶ τῇ Παρασκευῇ πρωΐ,
Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος πλ. α.

Τῷ Σταυρῷ τὸ Υἱόσε Θεοχαρίπωτε, τῶν εἰδώλων ἡ πλανὴ πᾶσα κατήργηται, ᾗ τῶν δαιμόνων ἡ ἰσχὺς καταπεπάτηται, διὰ τοῦτο οἱ πιστοί, κατὰ χρέος σε ἀεί, ὑμνοῦμεν ᾗ εὐλογοῦμεν, ᾗ Θεοτόκον κυρίως ὁμολογοῦντες, σὲ μεγαλύνομεν.

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος πλ. α.

Ὁ ἐκ Παρθένου ἀνατείλας τῷ κόσμῳ, Χριστὲ ὁ Θεός, υἱοὺς φωτὸς δι' αὐτῆς ἀνέδειξας, ἐλέησον ἡμᾶς.

Τῇ Παρασκευῇ ἑσπέρας, καὶ τῷ Σαββάτῳ πρωΐ,
Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος πλ. α.

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος· χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ· χαῖρε ἀχείμαστε λιμήν, καὶ ἀπειρόγαμε· ἡ τεκοῦσα ἐν σαρκὶ, τὸν ποιητήν σου καὶ Θεὸν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν τόκον σου.

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος πλ. α.

Ὁ ἐκ Παρθένου ἀνατείλας τῷ κόσμῳ, Χριστὲ ὁ Θεός, υἱοὺς φωτὸς δι' αὐτῆς ἀνέδειξας, ἐλέησον ἡμᾶς.

ΕΙΣ ΤΟΝ ΠΛ. Β'. ΗΧΟΝ.

Τῇ Κυριακῇ ἑσπέρας, καὶ τῇ Δευτέρᾳ πρωΐ,
Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος πλ. β'.

Ἀρχὴ σωτηρίας, ἡ τὸ Γαβριὴλ, προσηγορία πρὸς τὴν Παρθένον γέγονεν· ἤκουσε γὰρ τὸ Χαῖρε, ᾗ οὐκ ἀπέφυγε τὸν ἀσπασμόν· οὐκ ἐδίσασεν, ὡς ἡ Σάρρα ἐν τῇ σκηνῇ, ἀλλ' ὅπως ἔλεγεν: Ἰδοὺ ἡ δούλη Κυρίου, γένοιτό μοι κατὰ τὸ ῥῆμά σου.

Εἰς το τελος τοῦ Ὄρθρου, Ἦχος πλ. β'.

Ἀρχαγγελικὸν λόγον ὑπεδέξω, καὶ χερουβικὸς θρόνος ἀνεδείχθης, καὶ ἐν ἀγκάλαις σου ἐβάσασας, Θεοτόκε, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Τῇ Δευτέρᾳ ἑσπέρας, καὶ τῇ Τρίτῃ πρωΐ,
Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος πλ. β'.

Ἐλπὶς τοῦ κόσμου ἀγαθὴ, Θεοτόκε Παρθένε, τὴν σὴν καὶ μόνην κραταιὰν προστασίαν αἰτοῦμεν:

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Ἀπόσπασμα ἀπὸ τὴν Βιβλιοθήκη Δημοσίου Μουσείο Τυπάλδου Κεφαλληνίας

Σπλαγχνίσθητι εἰς ἀπροστάτευτον λαόν, δυσώπησον τὸν ἐλεήμονα Θεὸν, ῥυσθῆναι τὰς ψυχὰς ἡμῶν, ἐκ πάσης ἀπειλῆς, μόνη εὐλογημένη.

Εἰς το τέλος τοῦ Ὄρθρου, Ἦχος πλ. β΄.

Οὐδεὶς προσρέχων ἐπὶ σοὶ, κατησχυμμένος ἀπὸ σοῦ ἐκπορεύεται, ἀγνὴ Παρθένε Θεοτόκε· ἀλλ' αἰτεῖται τὴν χάριν, καὶ λαμβάνει τὸ δώρημα, πρὸς τὰ συμφέρον τῆς αἰτήσεως.

Τῇ Τρίτῃ ἑσπέρας, καὶ τῇ Τετάρτῃ πρωΐ,
Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος πλ. β΄.

Θεοτόκε Παρθένε, ἱκέτευε τὸν Υἱόν σου, τὸν ἑκουσίως προσπαγέντα ἐν Σταυρῷ, καὶ τὸν κόσμον ἐκ πλάνης ἐλευθερώσαντα, Χριστὸν τὸν Θεὸν ἡμῶν, τοῦ ἐλεῆσαι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος πλ. β΄.

Τὸν πρὸ αἰώνων ἐκ Πατρὸς, ἄνευ Μητρὸς γεννηθέντα, Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ, ἐπ' ἐσχάτων τῶν χρόνων, ἐκύησας σεσαρκωμένον, ἐξ ἁγνῶν αἱμάτων σου, Θεοκυῆτορ ἄνευ ἀνδρός· ὃν αἴτησαι δωρήσασθαι ἡμῖν, ἁμαρτιῶν ἄφεσιν πρὸ τοῦ τέλους.

Τῇ Τετάρτῃ ἑσπέρας, καὶ τῇ Πέμπτῃ πρωΐ,
Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος πλ. β΄.

Ἁγία Δέσποινα ἁγνὴ, τοῦ Θεοῦ ἡμῶν Μήτηρ, ἡ τὸν ἀπάγχωτον ποιητὴν, ἀπορρήτως τεκοῦσα, ἱκέτευε σὺν Ἀποστόλοις ἱεροῖς, ἑκάστοτε τὴν ἀγαθότητα αὐτοῦ, παθῶν ἡμᾶς λυτρώσασθαι, καὶ ἄφεσιν ἡμῖν δοῦναι ἁμαρτημάτων.

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος πλ. β΄.

Μεγάλων χαρισμάτων ἁγνὴ, Παρθένε Θεομῆτορ σὺ ἠξιώθης, ὅτι ἔτεκες σαρκὶ τὸν ἕνα τῆς Τριάδος, Χριστὸν τὸν ζωοδότην, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Τῇ Πέμπτῃ ἑσπέρας, καὶ τῇ Παρασκευῇ πρωΐ,
Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος πλ. β΄.

Θεοτόκε Παρθένε, ἱκέτευε τὸν Υἱόν σου, τὸν ἑκουσίως προσπαγέντα ἐν Σταυρῷ, καὶ τὸν κόσμον ἐκ πλάνης ἐλευθερώσαντα, Χριστὸν τὸν Θεὸν ἡμῶν, τοῦ ἐλεῆσαι τὰς ψυχὰς ἡμῶν.

ΔΗΜΟΣΙΕΥΣΙΣ ΒΙΒΛΙΟΘΗΚΗΣ
Δημόσιες Κεντρικές Ακαδημαϊκές Βιβλιοθήκες Πανεπιστημίου Αθηνών

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος πλ. β΄.

Τὸν πρὸ αἰώνων ἐκ Πατρὸς, ἄνευ Μητρὸς γεννηθέντα, Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ, ἐπ' ἐσχάτων τῶν χρόνων, ἐκύησας σεσαρκωμένον, ἐξ ἀγνῶν αἱμάτων σου, Θεοκυῆτορ ἄνευ ἀνδρός· ὃν αἴτησαι δωρήσασθαι ἡμῖν, ἁμαρτιῶν ἄφεσιν πρὸ τοῦ τέλους.

Τῇ Παρασκευῇ ἑσπέρας, καὶ τῷ Σαββάτῳ πρωΐ,

Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος πλ. β΄.

Προϊστορεῖ ὁ Γεδεὼν τὴν σύλληψιν, καὶ ἑρμηνεύει ὁ Δαυῒδ τὸν τόκον σου Θεοτόκε· κατέβη γὰρ ὡς ὑετὸς ἐπὶ πόκον, ὁ Λόγος ἐν τῇ γαστρί σου, καὶ ἐβλάστησας ἄνευ σποράς, γῇ ἁγία, τοῦ κόσμου τὴν σωτηρίαν, Χριστὸν τὸν Θεὸν, ἡ Κεχαριτωμένη.

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος πλ. β΄.

Τὸν πρὸ αἰώνων ἐκ Πατρὸς, ἄνευ Μητρὸς γεννηθέντα, Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ, ἐπ' ἐσχάτων τῶν χρόνων, ἐκύησας σεσαρκωμένον, ἐξ ἀγνῶν αἱμάτων σου, Θεοκυῆτορ ἄνευ ἀνδρός· ὃν αἴτησαι δωρήσασθαι ἡμῖν, ἁμαρτιῶν ἄφεσιν πρὸ τοῦ τέλους.

ΕΙΣ ΤΟΝ ΒΑΡΥΝ ΗΧΟΝ.

Τῇ Κυριακῇ ἑσπέρας, καὶ τῇ Δευτέρᾳ πρωΐ,

Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος βαρύς.

Θεοτόκε Παρθένε ἁμίαντε, τὸν Υἱόν σε δυσώπει, σὺν ταῖς ἄνω Δυνάμεσι, συγχώρησιν πταισμάτων ἡμῖν πρὸ τοῦ τέλους δωρήσασθαι, τοῖς πιστῶς σε δοξάζουσι.

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος βαρύς.

Ὑπερέβης πὰς Δυνάμεις τῶν οὐρανῶν, ὅτι ναὸς ἐδείχθης θεϊκὸς, εὐλογημένη Θεοτόκε, ὡς τεκοῦσα Χριστὸν, τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Τῇ Δευτέρᾳ ἑσπέρας, καὶ τῇ Τρίτῃ πρωΐ,

Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος βαρύς.

Τὸ Χαῖρε σοι προσάγομεν Θεοτόκε· τῶν Ἀγγέλων γὰρ ἀνωτέρα ἐδείχθης, Θεὸν κυήσασα.

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος βαρύς.

Εἰρήνευσον πρεσβείαις τῆς Θεοτόκου, τὴν ζωὴν ἡμῶν τῶν βοώντων σοι: Ἐλεῆμον Κύριε, δόξα σοι.

ΑΝΩΝΥΜΟΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημοσία Κεντρική Βιβλιοθήκη Λαμπρίου - Μουσείου Τσαλδάρη

Τῇ Τρίτῃ ἑσπέρας, καὶ τῇ Τετάρτῃ πρωΐ,
Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος βαρύς.

Τὸν σταυρωθέντα ὑπὲρ ἡμῶν Χριστὸν τὸν Θεὸν, καὶ καθελόντα τοῦ θανάτου τὸ κράτος, ἀπαύστως κέτευε, Θεοτόκε Παρθένε, ἵνα σώσῃ τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος βαρύς.

Λύτρωσαι Θεοτόκε τῶν συνεχουσῶν ἡμᾶς ἁμαρτιῶν ὅτι ἄλλην ἐλπίδα οἱ πιστοὶ οὐκ ἔχομεν, εἰμὴ σὲ, καὶ τὸν ἐκ σοῦ τεχθέντα Θεόν.

Τῇ Τετάρτῃ ἑσπέρας, καὶ τῇ Πέμπτῃ πρωΐ,
Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος βαρύς.

Ὁ καρπὸς τῆς κοιλίας σου ἄχραντε, τῶν Προφητῶν ὑπάρχει, καὶ τοῦ νόμου τὸ πλήρωμα· διό σε Θεοτόκον ἐν ἐπιγνώσει δοξάζοντες, εὐσεβῶς μεγαλύνομεν.

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος βαρύς.

Ὁ καρπὸς τῆς γαστρός σου Θεόνυμφε, τοῖς ἀνθρώποις ἐδείχθη σωτηρίας πρόξενος· διό σε Θεοτόκον, γνώμῃ καὶ γλώσσῃ δοξάζοντες, οἱ πιστοὶ μεγαλύνομεν.

Τῇ Πέμπτῃ ἑσπέρας, καὶ τῇ Παρασκευῇ πρωΐ,
Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος βαρύς.

Τὸν σταυρωθέντα ὑπὲρ ἡμῶν Χριστὸν τὸν Θεὸν, καὶ καθελόντα τοῦ θανάτου τὸ κράτος, ἀπαύστως κέτευε, Θεοτόκε Παρθένε, ἵνα σώσῃ τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸ τελος τοῦ Ὄρθρου, Ἦχος βαρυς.

Λύτρωσαι Θεοτόκε, τῶν συνεχουσῶν ἡμᾶς ἁμαρτιῶν ὅτι ἄλλην ἐλπίδα οἱ πιστοὶ οὐκ ἔχομεν, εἰμὴ σὲ, καὶ τὸν ἐκ σοῦ τεχθέντα Θεόν.

Τῇ Παρασκευῇ ἑσπέρας καὶ τῷ Σαββάτῳ πρωΐ,
Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος βαρύς.

Ὡς τῆς ἡμῶν ἀναστάσεως θησαύρισμα, τοὺς ἐκ σοὶ πεποιθότας πανύμνητε, ἐκ λάκκου καὶ βυθοῦ πταισμάτων ἀνάγαγε· σὺ γὰρ τοὺς ὑπευθύνους τῆς ἁμαρτίας ἔσωσας, τεκοῦσα τὴν σωτηρίαν· ἡ πρὸ τόκου Παρθένος, καὶ ἐν τόκῳ Παρθένος, καὶ μετὰ τόκον πάλιν οὖσα Παρθένος.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσιο Κεντρική Βιβλιοθήκη Λέσβου
Μουσείο Τυπωμένων Βιβλίων

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος βαρύς.

Χαῖρε, ἡ τὸν ἀχώρητον ἐν ὑρανοῖς, χωρήσασα ἐν μήτρᾳ σῇ· χαῖρε Παρθένε, τῶν Προφητῶν τὸ κήρυγμα, δι' ἧς ἔλαμψεν ὁ Ἐμμανουήλ· χαῖρε Μήτηρ Χριστοῦ τοῦ Θεοῦ.

ΕΙΣ ΤΟΝ ΠΛ. Δ'. ΗΧΟΝ.

Τῇ Κυριακῇ ἑσπέρας, καὶ τῇ Δευτέρᾳ πρωΐ,

Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος πλ. δ'.

Χαῖρε, ἡ δι' Ἀγγέλου τὴν χαρὰν τοῦ κόσμου δεξαμένη· χαῖρε, ἡ τεκοῦσα τὸν ποιητήν σου καὶ Κύριον· χαῖρε, ἡ ἀξιωθεῖσα γενέσθαι Μήτηρ Θεοῦ.

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος πλ. δ'.

Χαῖρε ἡ πύλη τοῦ Βασιλέως τῆς δόξης, ἣν ὁ Ὕψιστος μόνος διώδευσε, καὶ μόνην ἐσφραγισμένην ἐφύλαξεν, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Τῇ Δευτέρᾳ ἑσπέρας, καὶ τῇ Τρίτῃ πρωΐ,

Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος πλ. δ'.

Τὸ ἀσάλευτον στήριγμα τὸ τῆς πίστεως, καὶ σεβάσμιον δώρημα τῶν ψυχῶν ἡμῶν, τὴν Θεοτόκον ἐν ὕμνοις μεγαλύνωμεν πιστοί. Χαῖρε, ἡ τὴν πέτραν τῆς ζωῆς ἐν γαστρί σου χωρήσασα· χαῖρε τῶν περάτων ἡ ἐλπὶς, θλιβομένων ἀντίληψις· χαῖρε Νύμφη ἀνύμφευτε.

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος πλ. δ'.

Παρθένε ἄχραντε, σῶσον ἡμᾶς ταῖς πρεσβείαις σε, κινοῦσα σπλάγχνα μητρικὰ, τῷ Υἱῷ σε καὶ Θεῷ ἡμῶν.

Τῇ Τρίτῃ ἑσπέρας, καὶ τῇ Τετάρτῃ πρωΐ,

Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος πλ. δ'.

Τὸν ἀμνὸν καὶ ποιμένα, καὶ Σωτῆρα τοῦ κόσμου, ἐν τῷ Σταυρῷ θεωροῦσα ἡ τεκοῦσα, ἔλεγε δακρύουσα: Ὁ μὲν κόσμος ἀγάλλεται, δεχόμενος τὴν λύτρωσιν· τὰ δὲ σπλάγχνα μου φλέγονται, ὁρώσης σου τὴν σαύρωσιν, ἣν ὑπὲρ πάντων ὑπομένεις, ὁ Υἱὸς καὶ Θεός μου.

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος πλ. δ'.

Ὁ καρπὸς τῆς κοιλίας σου ἄχραντε, τῶν Προφητῶν ὑπάρχει καὶ τοῦ νόμου τὸ πλήρωμα· διὸ σε Θεοτόκον ἐν ἐπιγνώσει δοξάζοντες, εὐσεβῶς μεγαλύνομεν.

ΔΗΜΟΣΙΕΥΣΙΣ ΒΙΒΛΙΟΘΗΚΗΣ

Τῇ Τετάρτῃ ἑσπέρας, καὶ τῇ Πέμπτῃ πρωΐ,
Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος πλ. δ΄.

Ἡ νοητὴ πύλη τῆς ζωῆς, ἄχραντε Θεοτόκε, τοὺς προστρέχοντάς σοι πιστῶς, λύτρωσαι τῶν κινδύνων, ἵνα δοξάζωμεν τὸν παναγιον τόκον σου, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος πλ. δ΄.

Παρθένε ἄχραντε, σῶσον ἡμᾶς ταῖς πρεσβείαις σου, κινῶσα σπλάγχνα μητρικὰ, τῷ Υἱῷ σου καὶ Θεῷ ἡμῶν.

Τῇ Πέμπτῃ ἑσπέρας, καὶ τῇ Παρασκευῇ πρωΐ,
Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος πλ. δ΄.

Τὸν ἀμνὸν καὶ ποιμένα, καὶ Σωτῆρα τοῦ κόσμου, ἐν τῷ Σταυρῷ θεωροῦσα ἡ τεκοῦσα, ἔλεγε δακρύουσα: Ὁ μὲν κόσμος ἀγάλλεται, δεχόμενος τὴν λύτρωσιν, τὰ δὲ σπλάγχνα μου φλέγονται, ὁρῶσης σου τὴν σταύρωσιν, ἣν ὑπὲρ πάντων ὑπομένεις, ὁ Υἱὸς καὶ Θεός μου.

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος πλ. δ΄.

Ὁ καρπὸς τῆς κοιλίας σου ἄχραντε, τῶν Προφητῶν ὑπάρχει καὶ τοῦ νόμου τὸ πλήρωμα· διό σε Θεοτόκον ἐν ἐπιγνώσει δοξάζοντες, εὐσεβῶς μεγαλύνομεν.

Τῇ Παρασκευῇ ἑσπέρας, καὶ τῷ Σαββάτῳ πρωΐ,
Εἰς τὸ, Θεὸς Κύριος, Ἦχος πλ. δ΄.

Ὁ δι' ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου, καὶ σταύρωσιν ὑπομείνας ἀγαθὲ, ὁ θανάτῳ τὸν θάνατον σκυλεύσας, καὶ ἔγερσιν δείξας ὡς Θεὸς, μὴ παρίδῃς οὓς ἔπλασας τῇ χειρί σου· δεῖξον τὴν φιλανθρωπίαν σου ἐλεήμον, δέξαι τὴν τεκοῦσάν σε Θεοτόκον, πρεσβεύουσαν ὑπὲρ ἡμῶν, καὶ σῶσον Σωτὴρ ἡμῶν, λαὸν ἀπεγνωσμένον.

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος πλ. δ΄.

Παρθένε ἄχραντε, σῶσον ἡμᾶς ταῖς πρεσβείαις σου, κινῶσα σπλάγχνα μητρικὰ, τῷ Υἱῷ σου καὶ Θεῷ ἡμῶν.

Τέλος τῶν ἐν τῷ Δευτέρῳ μέρει τοῦ Ὡρολογίου περιεχομένων.

Δημόσια Κεντρική Βιβλιοθήκη Λιξουρίου - Μουσείο Τυπάλδων Ιωαννάτων

# ΩΡΟΛΟΓΙΟΥ

## ΤΟΥ ΜΕΓΑΛΟΥ

### ΜΕΡΟΣ Γ'.

ΠΕΡΙΕΧΟΝ


Τὴν Ἀκολουθίαν τοῦ Ἀκαθίστου Ὕμνου εἰς τὴν ὑπεραγίαν Θεοτόκον.

Τὴν Ἀκολουθίαν τῶν δύο Παρακλητικῶν Κανόνων εἰς τὴν ὑπεραγίαν Θεοτόκον.

Τὴν Ἀκολουθίαν τῆς θείας Μεταλήψεως.

Κανόνα ἱκετήριον εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

Κανόνα ἱκετήριον εἰς τὸν Ἄγγελον, τὸν φύλακα τῆς τοῦ ἀνθρώπου ζωῆς.

Κανόνα ἱκετήριον εἰς τὰς ἐπουρανίους Δυνάμεις, καὶ πάντας τοὺς Ἁγίους.

Καὶ τοὺς εἰκοσιτέσσαρας Οἴκους εἰς τὴν νοητὴν Κλίμακα, τὸν τίμιον Σταυρόν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων




Χαῖρε Κεχαριτωμένη· ὁ Κύριος μετὰ σοῦ· εὐλογημένη σὺ ἐν γυναιξί. Λουκ. α. 28.

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Δήμου Ιωαννίτων - Μουσείο Τυπωμένων Ιακωβάτων

# ΑΚΟΛΟΥΘΙΑ

## ΕΙΣ ΤΟΝ ΑΚΑΘΙΣΤΟΝ ΥΜΝΟΝ

### ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΘΕΟΤΟΚΟΥ

**Ἐν τῷ Ἑσπερινῷ, εἰς τὸ, Κύριε ἐκέκραξα, Στιχηρὰ προσόμοια, Ἦχος πλ. β.**

Ὅλην ἀποθέμενοι.

Βουλὴν προαιώνιον, ἀποκαλύπτων σοι Κόρη, Γαβριὴλ ἐφέσηκε, σὲ κατασπαζόμενος καὶ φθεγγόμενος: Χαῖρε γῆ ἄσπορε· χαῖρε βάτε ἄφλεκτε· χαῖρε βάθος δυσθεώρητον· χαῖρε ἡ γέφυρα, πρὸς τοὺς οὐρανοὺς ἡ μετάγουσα· καὶ κλίμαξ ἡ μεπάρσιος, ἣν ὁ Ἰακὼβ ἐθεάσατο· χαῖρε θεία στάμνε τοῦ Μάννα· χαῖρε λύσις τῆς ἀρᾶς· χαῖρε Ἀδὰμ ἡ ἀνάκλησις, μετὰ σοῦ ὁ Κύριος.

Φαίνῃ μοι ὡς ἄνθρωπος, φησὶν ἡ ἄφθορος Κόρη, πρὸς τὸν Ἀρχισράτηγον, καὶ πῶς φθέγγῃ ῥήματα ὑπὲρ ἄνθρωπον; μετ' ἐμοῦ ἔφης γὰρ, τὸν Θεὸν ἔσεσθαι, καὶ σκηνώσειν ἐν τῇ μήτρᾳ μου· καὶ πῶς γενήσομαι, λέγε μοι, χωρίον εὐρύχωρον, καὶ τόπος ἁγιάσματος, τοῦ τοῖς Χερουβὶμ ἐπιβαίνοντος; Μήμε δελεάσῃς ἀπάτῃ· οὐ γὰρ ἔγνων ἡδονήν· γάμου ὑπάρχω ἀμύητος, πῶς οὖν παῖδα τέξομαι.

Θεὸς ὅπου βούλεται, νικᾶται φύσεως τάξις, φησὶν ὁ Ἀσώματος, καὶ τὰ ὑπὲρ ἄνθρωπον διαπράττεται. Τοῖς ἐμοῖς πίστευε, ἀληθέσι ῥήμασι, Παναγία ὑπεράμωμε. Ἡ δὲ ἐβόησε: Γένοιτό μοι νῦν ὡς τὸ ῥῆμά σου, καὶ τέξομαι τὸν ἄσαρκον, σάρκα ἐξ ἐμοῦ δανεισάμενον, ὅπως ἀναγάγῃ, τὸν ἄνθρωπον, ὡς μόνος δυνατὸς, εἰς τὸ ἀρχαῖον ἀξίωμα, διὰ τῆς συγκράσεως.

ΑΠΟΣΤΟΛΙΚΕΣ ΔΙΑΚΟΝΙΑΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

## Δόξα, καὶ νῦν, Ἦχος β΄.

Τὸ ἀπ' αἰῶνος Μυστήριον, ἀνακαλύπτεται σήμερον, καὶ ὁ Υἱὸς τοῦ Θεοῦ, Υἱὸς ἀνθρώπου γίνεται, ἵνα τοῦ χείρονος μεταλαβὼν, μεταδῷ μοι τοῦ βελτίονος· ἐψεύσθη πάλαι Ἀδάμ, καὶ Θεὸς ἐπιθυμήσας ὃ γέγονεν· ἄνθρωπος γίνεται Θεὸς, ἵνα Θεὸν τὸν Ἀδὰμ ἀπεργάσηται. Εὐφραινέσθω ἡ κτίσις, χορευέτω ἡ φύσις, ὅτι Ἀρχάγγελος Παρθένῳ, μετὰ δέους παρίσταται, καὶ τὸ Χαῖρε κομίζει, τῆς λύπης ἀντίθετον. Ὁ διὰ σπλάγχνα ἐλέους ἐνανθρωπήσας, Θεὸς ἡμῶν, δόξα σοι.

## Ἀπόστιχα προσόμοια, Ἦχος ά.

### Τῶν οὐρανίων ταγμάτων.

Τῶν οὐρανίων ἀψίδων ὁ Γαβριὴλ καταπτὰς εἰς Ναζαρὲτ ἐπέστη, πρὸς Παρθένον Μαρίαν, βοῶν αὐτῇ τὸ Χαῖρε· συλλήψῃ Υἱὸν, τοῦ Ἀδὰμ ἀρχαιότερον, τὸν ποιητὴν τῶν αἰώνων καὶ λυτρωτὴν, τῶν βοώντων σοι τὸ Χαῖρε ἁγνή.

**Στίχ.** Ἄκουσον Θύγατερ, καὶ ἴδε.

Ὁ Γαβριὴλ τῇ Παρθένῳ τὸ εὐαγγέλιον, ἐξ οὐρανοῦ κομίσας, ἀνεβόα τὸ Χαῖρε· συλλήψῃ ἐν γαστρί σου τὸν σοὶ χωρητὸν, καὶ τοῖς πᾶσιν ἀχώρητον· καὶ κυοφορήσῃ τοῦ ἐκ Πατρὸς, πρὸ ἑωσφόρου ἀνατείλαντος.

**Στίχ.** Τὸ πρόσωπόν σου λιτανεύσουσιν.

Ὁ συναΐδιος Λόγος, τοῦ προαναρχου, Πατρὸς, μὴ χωρισθεὶς τῶν ἄνω, νῦν ἐπέστη τοῖς κάτω, δι' ἄκραν εὐσπλαγχνίαν, οἶκτον λαβὼν, τοῦ καθ' ἡμᾶς ὀλισθήματος· καὶ τοῦ Ἀδὰμ τὴν πτωχείαν ἀναλαβὼν, ἐμορφώθη τὸ ἀλλότριον.

**Στίχ.** Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι.

Ὁ ἐκ Πατρὸς ἀϊδίως, καὶ ἐκ Μητρὸς χρονικῶς, φανερωθεὶς τῷ κόσμῳ, ὑπερούσιος Λόγος, μορφὴν δούλου λαμβάνει, καὶ γίνεται σάρξ, μὴ ἐκστὰς τῆς Θεότητος· καὶ τὸν Ἀδὰμ ἀναπλάττει ἐν τῇ γαστρὶ, τῆς ἀσπόρως συλλαβούσης αὐτόν.

ΔΗΜΟΣΙΕΥΣΙΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Διαδικτυακή Βιβλιοθήκη Λιμένος Μυτιλήνης
Μουσείο Ιερών Εικόνων Ιακωβάτων

Δόξα, καὶ νῦν, Ἦχος β΄.

Εὐαγγελίζεται ὁ Γαβριὴλ, τῇ Κεχαριτωμένῃ σήμερον· Χαῖρε ἀνύμφευτε Κόρη καὶ ἀπειρόγαμε· μὴ καταπλαγῇς τῇ ξένῃ μου μορφῇ, μηδὲ δειλιάσῃς· Ἀρχάγγελός εἰμι· ὅφις ἐξηπάτησεν Εὔαν ποτὲ, νῦν εὐαγγελίζομαί σοι τὴν χαράν, καὶ μενεῖς ἄφθορος, καὶ τέξεις τὸν Κύριον ἄχραντε.

---

Ἐν τῷ Ὄρθρῳ, εἰς τὸ, Θεὸς Κύριος,
Ἀπολυτίκιον αὐτόμελον, Ἦχος πλ. δ΄.

Τὸ προσταχθὲν μυστικῶς λαβὼν ἐν γνώσει, ἐν τῇ σκηνῇ τοῦ Ἰωσὴφ σπουδῇ ἐπέστη, ὁ Ἀσώματος λέγων τῇ ἀπειρογάμῳ: Ὁ κλίνας τῇ καταβάσει τοὺς οὐρανοὺς, χωρεῖται ἀναλλοιώτως ὅλος ἐν σοί· ὃν καὶ βλέπων ἐν μήτρᾳ σου, λαβόντα δούλου μορφὴν, ἐξίσαμαι κραυγάζειν σοι· Χαῖρε Νύμφη ἀνύμφευτε.

Τοῦτο λέγεται ἐκ τρίτου, ἀργῶς καὶ μετὰ μέλους. Μετὰ δὲ τὴν Στιχολογίαν τοῦ ά. Καθίσματος τοῦ Ψαλτηρίου, λέγομεν εὐθὺς, ἀργῶς πάλιν καὶ μετὰ μέλους,

Κοντάκιον δίχορον αὐτόμελον, Ἦχος πλ. δ΄.

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια,
Ὡς λυτρωθεῖσα τῶν δεινῶν εὐχαριστήρια,
Ἀναγράφω σοι ἡ Πόλις σου Θεοτόκε.
Ἀλλ' ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον,
Ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον.
Ἵνα κράζω σοι: Χαῖρε Νύμφη ἀνύμφευτε.

Εἶθ' οὕτω τοὺς ἑπομένους ἓξ Οἴκους.

Ἄγγελος πρωτοστάτης οὐρανόθεν ἐπέμφθη, εἰπεῖν τῇ Θεοτόκῳ τὸ, Χαῖρε· καὶ σὺν τῇ ἀσωμάτῳ φωνῇ, σωματούμενόν σε θεωρῶν Κύριε, ἐξίστατο, καὶ ἵστατο κραυγάζων πρὸς αὐτὴν τοιαῦτα:
Χαῖρε, δι' ἧς ἡ χαρὰ ἐκλάμψει· χαῖρε, δι' ἧς ἡ ἀρὰ ἐκλείψει.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Λιξουρίου - Μουσείο Γυμνασιονταρχών

Χαῖρε, τοῦ πεσόντος Ἀδὰμ ἡ ἀνάκλησις· χαῖρε, τῶν δακρύων τῆς Εὔας ἡ λύτρωσις.

Χαῖρε, ὕψος δυσανάβατον ἀνθρωπίνοις λογισμοῖς· χαῖρε, βάθος δυσθεώρητον καὶ Ἀγγέλων ὀφθαλμοῖς.

Χαῖρε, ὅτι ὑπάρχεις Βασιλέως καθέδρα· χαῖρε, ὅτι βαστάζεις τὸν βαστάζοντα πάντα.

Χαῖρε, ἀστὴρ ἐμφαίνων τὸν Ἥλιον· χαῖρε, γαστὴρ ἐνθέου σαρκώσεως.

Χαῖρε, δι' ἧς νεουργεῖται ἡ κτίσις· χαῖρε, δι' ἧς βρεφουργεῖται ὁ Κτίστης.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Βλέπουσα ἡ Ἁγία ἑαυτὴν ἐν ἁγνείᾳ, φησὶ τῷ Γαβριὴλ θαρσαλέως: Τὸ παράδοξόν σου τῆς φωνῆς, δυσπαράδεκτόν μου τῇ ψυχῇ φαίνεται· ἀσπόρου γὰρ συλλήψεως τὴν κύησιν πῶς λέγεις, κράζων:

Ἀλληλούϊα.

Γνῶσιν ἄγνωστον γνῶναι ἡ Παρθένος ζητοῦσα, ἐβόησε πρὸς τὸν λειτουργοῦντα: Ἐκ λαγόνων ἀγνῶν Υἱὸν πῶς ἐστι τεχθῆναι δυνατόν; λέξον μοι. Πρὸς ἣν ἐκεῖνος ἔφησεν ἐν φόβῳ, πλὴν κραυγάζων οὕτω:

Χαῖρε, βουλῆς ἀπορρήτου μύστις· χαῖρε, σιγῆς δεομένων πίστις.

Χαῖρε, τῶν θαυμάτων Χριστοῦ τὸ προοίμιον· Χαῖρε, τῶν δογμάτων αὐτοῦ τὸ κεφάλαιον.

Χαῖρε, κλίμαξ ἐπουράνιε, δι' ἧς κατέβη ὁ Θεός· χαῖρε, γέφυρα μετάγουσα τοὺς ἐκ γῆς πρὸς οὐρανόν.

Χαῖρε, τὸ τῶν Ἀγγέλων πολυθρύλλητον θαῦμα· χαῖρε, τὸ τῶν δαιμόνων πολυθρήνητον τραῦμα

Χαῖρε, τὸ φῶς ἀῤῥήτως γεννήσασα· χαῖρε, τὸ Πῶς μηδένα διδάξασα.

Χαῖρε, σοφῶν ὑπερβαίνουσα γνῶσιν· χαῖρε, πιστῶν καταυγάζουσα φρένας.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Δυνάμις τοῦ Ὑψίστου ἐπεσκίασε τότε πρὸς συλλῆψιν τῇ Ἀπειρογάμῳ, καὶ τὴν εὐκαρπίαν ταύτης

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Δημοσίου Μουσείου Παπαδόπουλου Ιακωβάτων

νηδὺν, ὡς ἀγρὸν ὑπέδειξεν ἡδὺν ἅπασι τοῖς θέλουσι θερίζειν σωτηρίαν, ἐν τῷ ψάλλειν οὕτως:

Ἀλληλούϊα.

Ἔχουσα Θεοδόχον ἡ Παρθένος τὴν μήτραν, ἀνέδραμε πρὸς τὴν Ἐλισάβετ· τὸ δὲ βρέφος ἐκείνης εὐθὺς, ἐπιγνοὺν τὸν ταύτης ἀσπασμὸν, ἔχαιρε· καὶ ἅλμασιν ὡς ᾄσμασιν ἐβόα πρὸς τὴν Θεοτόκον:

Χαῖρε, βλαστοῦ ἀμαράντου κλῆμα· χαῖρε, καρποῦ ἀκηράτου κτῆμα.

Χαῖρε, γεωργὸν γεωργοῦσα φιλάνθρωπον· χαῖρε, φυτουργὸν τῆς ζωῆς ἡμῶν φύουσα.

Χαῖρε, ἄρουρα βλαστάνουσα εὐφορίαν οἰκτιρμῶν· χαῖρε, τράπεζα βαστάζουσα εὐθηνίαν ἱλασμῶν.

Χαῖρε, ὅτι λειμῶνα τῆς τρυφῆς ἀναθάλλεις· χαῖρε, ὅτι λιμένα τῶν ψυχῶν ἑτοιμάζεις.

Χαῖρε, δεκτὸν πρεσβείας θυμίαμα· χαῖρε, παντὸς τοῦ κόσμου ἐξίλασμα.

Χαῖρε, Θεοῦ πρὸς θνητοὺς εὐδοκία· χαῖρε, θνητῶν πρὸς Θεὸν παῤῥησία.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Ζάλην ἔνδοθεν ἔχων λογισμῶν ἀμφιβόλων, ὁ σώφρων Ἰωσὴφ ἐταράχθη, πρὸς τὴν ἄγαμόν σε θεωρῶν, καὶ κλεψίγαμον ὑπονοῶν Ἄμεμπτε· μαθὼν δέ σε τὴν σύλληψιν ἐκ Πνεύματος ἁγίου, ἔφη:

Ἀλληλούϊα.

Εἶθ' οὕτω τὸ εἰρημένον Κοντάκιον,

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια.

Μετὰ ταῦτα στιχολογοῦμεν τὸν Ἄμωμον· μεθ' ὃν λέγομεν πάλιν, Τῇ ὑπερμάχῳ, καὶ ἑτέρους ἓξ Οἴκους.

Ἤκουσαν οἱ Ποιμένες τῶν Ἀγγέλων ὑμνούντων τὴν ἔνσαρκον Χριστοῦ παρουσίαν· καὶ δραμόντες ὡς πρὸς ποιμένα, θεωροῦσι τοῦτον ὡς ἀμνὸν ἄμωμον ἐν τῇ γαστρὶ Μαρίας βοσκηθέντα, ἣν ὑμνοῦντες εἶπον:

Χαῖρε, ἀμνοῦ καὶ ποιμένος Μήτηρ· χαῖρε, αὐλὴ λογικῶν προβάτων.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λιμουρίου - Μουσείο Τυπαλδών Ιπποκράτων

Χαῖρε, ἀοράτων ἐχθρῶν ἀμυντήριον· χαῖρε, Παραδείσου θυρῶν ἀνοικτήριον.

Χαῖρε, ὅτι τὰ οὐράνια συναγάλλεται τῇ γῇ· χαῖρε, ὅτι τὰ ἐπίγεια συγχορεύει οὐρανοῖς.

Χαῖρε, τῶν Ἀποστόλων τὸ ἀσίγητον στόμα· χαῖρε, τῶν ἀθλοφόρων τὸ ἀνίκητον θάρσος.

Χαῖρε, στερρὸν τῆς πίστεως ἔρεισμα· χαῖρε, λαμπρὸν τῆς χάριτος γνώρισμα.

Χαῖρε, δι' ἧς ἐγυμνώθη ὁ Ἅδης· χαῖρε, δι' ἧς ἐνεδύθημεν δόξαν.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Θεοδρόμον Ἀστέρα θεωρήσαντες Μάγοι, τῇ τούτου ἠκολούθησαν αἴγλῃ· καὶ ὡς λύχνον κρατοῦντες αὐτὸν, δι' αὐτοῦ ἠρεύνων κραταιὸν ἄνακτα· καὶ φθάσαντες τὸν ἄφθαστον, ἐχάρησαν, αὐτῷ βοῶντες:

Ἀλληλούϊα.

Ἰδὸν παῖδες Χαλδαίων ἐν χερσὶ τῆς Παρθένου τὸν πλάσαντα χειρὶ τοὺς ἀνθρώπους· καὶ Δεσπότην νοοῦντες αὐτὸν, εἰ καὶ δούλου ἔλαβε μορφὴν, ἔσπευσαν τοῖς δώροις θεραπεῦσαι, καὶ βοῆσαι τῇ Εὐλογημένῃ:

Χαῖρε, ἀστέρος ἀδύτου Μήτηρ· χαῖρε, αὐγὴ μυστικῆς ἡμέρας.

Χαῖρε, τῆς ἀπάτης τὴν κάμινον σβέσασα· χαῖρε, τῆς Τριάδος τοὺς μύστας φωτίζουσα.

Χαῖρε, τύραννον ἀπάνθρωπον ἐκβαλοῦσα τῆς ἀρχῆς· χαῖρε, Κύριον φιλάνθρωπον ἐπιδείξασα Χριστόν.

Χαῖρε, ἡ τῆς βαρβάρου λυτρουμένη θρησκείας· χαῖρε, ἡ τοῦ βορβόρου ῥυομένη τῶν ἔργων.

Χαῖρε, πυρὸς προσκύνησιν παύσασα· χαῖρε, φλογὸς παθῶν ἀπαλλάττουσα.

Χαῖρε, πιςῶν ὁδηγὲ σωφροσύνης· χαῖρε, πασῶν γενεῶν εὐφροσύνη.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Κήρυκες θεοφόροι γεγονότες οἱ Μάγοι, ὑπέστρεψαν εἰς τὴν Βαβυλῶνα· ἐκτελέσαντές σου τὸν χρησ-

ΔΗΜΟΣΙΕΥΣΕΙΣ ΑΠΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Πληξομρίου - Μουσείο Παλαιοτήτων Κεφαλληνίας

μὸν, καὶ κηρύξαντές σε τὸν Χριστὸν ἅπασιν, ἀφέντες τὸν Ἡρῴδην ὡς ληρῴδη, μὴ εἰδότα ψάλλειν:

Ἀλληλουϊα.

Λάμψας ἐν τῇ Αἰγύπτῳ φωτισμὸν ἀληθείας, ἐδίωξας τοῦ ψεύδους τὸ σκότος· τὰ γὰρ εἴδωλα ταύτης Σωτὴρ, μὴ ἐνέγκαντά σου τὴν ἰσχὺν, πέπτωκεν· οἱ τούτων δὲ ῥυσθέντες ἐβόων πρὸς τὴν Θεοτόκον:

Χαῖρε, ἀνόρθωσις τῶν ἀνθρώπων· χαῖρε, κατάπτωσις τῶν δαιμόνων.

Χαῖρε, τῆς ἀπάτης τὴν πλάνην πατήσασα· χαῖρε, τῶν εἰδώλων τὸν δόλον ἐλέγξασα.

Χαῖρε, θάλασσα ποντίσασα Φαραὼ τὸν νοητόν· χαῖρε, πέτρα ἡ ποτίσασα τοὺς διψῶντας τὴν ζωήν.

Χαῖρε, πύρινε στύλε, ὁδηγῶν τοὺς ἐν σκότει· χαῖρε, σκέπη τοῦ κόσμου, πλατυτέρα νεφέλης.

Χαῖρε, τροφὴ τοῦ Μάννα διάδοχε· χαῖρε, τρυφῆς ἁγίας διάκονε.

Χαῖρε, ἡ γῆ τῆς ἐπαγγελίας· χαῖρε, ἐξ ἧς ῥέει μέλι καὶ γάλα.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Μέλλοντος Συμεῶνος, τοῦ παρόντος αἰῶνος, μεθίστασθαι τοῦ ἀπατεῶνος, ἐπεδόθης ὡς βρέφος αὐτῷ, ἀλλ' ἐγνώσθης τούτῳ καὶ Θεὸς τέλειος· διό περ ἐξεπλάγη σου τὴν ἄῤῥητον σοφίαν, κράζων:

Ἀλληλουϊα.

Καὶ πάλιν τὸ Κοντάκιον,

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια.

Εἶτα τὸν Ν'. καὶ εὐθὺς τὸν Κανόνα, οὗ ἡ ἀκροστιχίς:

Χαρᾶς δοχεῖον, σοὶ πρέπει χαίρειν μόνῃ. Ἰωσήφ.

Ποίημα Ἰωσὴφ τοῦ Ὑμνογράφου.

Ὠδὴ ά. Ἦχος δ'. Ὁ Εἱρμός.

„ Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται πνεύμα-
„ τος, καὶ λόγον ἐρεύξομαι, τῇ βασιλίδι Μητρὶ
„ καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γη-
„ θόμενος, ταύτης τὰ θαύματα.

Τροπάριον.

Χριστοῦ βίβλον ἔμψυχον, ἐσφραγισμένην σε Πνεύματι, ὁ μέγας Ἀρχάγγελος, Ἀγνὴ θεώμενος, ἐπεφώνει σοι: Χαῖρε χαρᾶς ὄχεῖον, δι' ἧς τῆς Προμήτορος ἀρὰ λυθήσεται.

Ἀδὰμ ἐπανόρθωσις, χαῖρε Παρθένε Θεόνυμφε, τοῦ Ἅ"δου ἡ νέκρωσις· χαῖρε πανάμωμε, τὸ παλάτιον, τοῦ μόνου Βασιλέως· χαῖρε θρόνε πύρινε τοῦ παντοκράτορος.

Ῥόδον τὸ ἀμάραντον, χαῖρε ἡ μόνη βλαστήσασα τὸ μῆλον τὸ εὔοσμον, χαῖρε ἡ τέξασα· τὸ ὀσφράδιον, τοῦ πάντων Βασιλέως· χαῖρε ἀπειρόγαμε, κόσμου διάσωσμα.

Ἁγνείας θησαύρισμα, χαῖρε, δι' ἧς ἐκ τοῦ πτώματος, ἡμῶν ἐξανέστημεν· χαῖρε ἡδύπνοον, κρίνον Δέσποινα, πιστοὺς εὐωδιάζον· θυμίαμα εὔοσμον, μύρον πολύτιμον.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

„ Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθο-
„ νος πηγή, θίασον συγκροτήσαντας, πνευματικὸν
„ στερέωσον· καὶ ἐν τῇ θείᾳ δόξῃ σου, στεφάνων δόξης
„ ἀξίωσον.

Τροπάριον.

Στάχυν ἡ βλαστήσασα τὸν θεῖον, ὡς χώρα ἀνήροτος σαφῶς, χαῖρε ἔμψυχε τράπεζα, ἄρτον ζωῆς χωρήσασα· χαῖρε τοῦ ζῶντος ὕδατος, πηγὴ ἀκένωτος Δέσποινα.

Ἀμάλις τὸν μόσχον ἡ τεκοῦσα, τὸν ἄμωμον, χαῖρε τοῖς πιστοῖς· χαῖρε ἀμνὰς κυήσασα, Θεοῦ ἀμνὸν τὸν αἴροντα, κόσμου παντὸς τὰ πταίσματα· χαῖρε θερμὸν ἱλαστήριον.

Ὀρθρος φαεινὸς χαῖρε ἡ μόνη, τὸν Ἥλιον φέρουσα Χριστόν, φωτὸς κατοικητήριον· χαῖρε τὸ σκότος λύσασα, καὶ τοὺς ζοφώδεις δαίμονας, ὁλοτελῶς ἐκμειώσασα.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Δ. Σουρίου
Ναυφέρ Τυπάλδου Εκκλησιάτου

Χαῖρε πύλη μόνη, ἣν ὁ Λόγος, διώδευσε μόνος, ἡ μοχλοὺς, καὶ πύλας Ἅιδε Δέσποινα, τῷ τόκῳ σου συντρίψασα· χαῖρε ἡ θεία εἴσοδος, τῶν σωζομένων πανύμνητε.

**Καταβασία.** Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

**Εἶτα τὸ Κοντάκιον,**

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια.

**Καὶ παλιν ἄλλους ἐξ Οἴκους.**

Νέαν ἔδειξε κτίσιν, ἐμφανίσας ὁ Κτίστης, ἡμῖν τοῖς ὑπ' αὐτοῦ γενομένοις, ἐξ ἀσπόρου βλαστήσας γαστρὸς, καὶ φυλάξας ταύτην, ὥσπερ ἦν, ἄφθορον· ἵνα τὸ θαῦμα βλέποντες, ὑμνήσωμεν αὐτὴν, βοῶντες:

Χαῖρε, τὸ ἄνθος τῆς ἀφθαρσίας· χαῖρε, τὸ στέφος τῆς ἐγκρατείας.

Χαῖρε, ἀναστάσεως τύπον ἐκλάμπουσα· χαῖρε, τῶν Ἀγγέλων τὸν βίον ἐμφαίνουσα.

Χαῖρε, δένδρον ἀγλαόκαρπον, ἐξ οὗ τρέφονται πιστοί· χαῖρε, ξύλον εὐσκιόφυλλον, ὑφ' ὃ σκέπονται πολλοί.

Χαῖρε, κυοφοροῦσα ὁδηγὸν πλανωμένοις· χαῖρε, ἀποτεκοῦσα λυτρωτὴν αἰχμαλώτοις.

Χαῖρε, Κριτὸ δικαίου δυσώπησις· χαῖρε, πολλῶν πταισάντων συγχώρησις.

Χαῖρε, στολὴ τῶν γυμνῶν παῤῥησίας· χαῖρε, στοργὴ πάντα πόθον νικῶσα.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Ξένον τόκον ἰδόντες, ξενωθῶμεν τοῦ κόσμου, τὸν νοῦν εἰς οὐρανὸν μεταθέντες· διὰ τοῦτο γὰρ ὁ ὕψηλος Θεὸς ἐπὶ γῆς ἐφάνη ταπεινὸς ἄνθρωπος, βουλόμενος ἑλκύσαι πρὸς τὸ ὕψος, τοὺς αὐτῷ βοῶντας:

**Ἀλληλουΐα.**

Ὅλος ἦν ἐν τοῖς κάτω, καὶ τῶν ἄνω οὐδόλως ἀπῆν, ὁ ἀπερίγραπτος Λόγος· συγκατάβασις γὰρ θεϊκὴ, οὐ μετάβασις δὲ τοπικὴ γέγονε· καὶ τόκος ἐκ Παρθένου θεολήπτου, ἀκουούσης ταῦτα:

Χαῖρε, Θεὸ ἀχωρήτου χώρα· χαῖρε, σεπτοῦ μυστηρίου θύρα.

Χαῖρε, τῶν ἀπίστων ἀμφίβολον ἄκουσμα· χαῖρε, τῶν πιστῶν ἀναμφίβολον καύχημα.

Χαῖρε, ὄχημα πανάγιον τοῦ ἐπὶ τῶν Χερουβίμ· χαῖρε, οἴκημα πανάριστον τοῦ ἐπὶ τῶν Σεραφίμ.

Χαῖρε, ἡ τἀναντία εἰς ταὐτὸ ἀγαγοῦσα· χαῖρε, ἡ παρθενίαν καὶ λοχείαν ζευγνῦσα.

Χαῖρε, δι' ἧς ἐλύθη παράβασις· χαῖρε, δι' ἧς ἠνοίχθη Παράδεισος.

Χαῖρε, ἡ κλεὶς τῆς Χριστοῦ βασιλείας· χαῖρε, ἐλπὶς ἀγαθῶν αἰωνίων.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Πᾶσα φύσις Ἀγγέλων κατεπλάγη τὸ μέγα τῆς σῆς ἐνανθρωπήσεως ἔργον· τὸν ἀπρόσιτον γὰρ ὡς Θεὸν, ἐθεώρει πᾶσι προσιτὸν ἄνθρωπον, ἡμῖν μὲν συνδιάγοντα, ἀκούοντα δὲ παρὰ πάντων οὕτως:

Ἀλληλούϊα.

Ῥήτορας πολυφθόγγους, ὡς ἰχθύας ἀφώνους, ὁρῶμεν ἐπὶ σοὶ Θεοτόκε· ἀπορεῖσι γὰρ λέγειν τὸ, Πῶς καὶ Παρθένος μένεις, καὶ τεκεῖν ἴσχυσας· ἡμεῖς δὲ τὸ Μυστήριον θαυμάζοντες, πιστῶς βοῶμεν:

Χαῖρε, σοφίας Θεοῦ δοχεῖον· χαῖρε προνοίας αὐτοῦ ταμεῖον.

Χαῖρε, φιλοσόφους ἀσόφους δεικνύουσα· χαῖρε, τεχνολόγους ἀλόγους ἐλέγχουσα.

Χαῖρε, ὅτι ἐμωράνθησαν οἱ δεινοὶ συζητηταί· χαῖρε, ὅτι ἐμαράνθησαν οἱ τῶν μύθων ποιηταί.

Χαῖρε, τῶν Ἀθηναίων τὰς πλοκὰς διασπῶσα· χαῖρε τῶν Ἁλιέων τὰς σαγήνας πληροῦσα.

Χαῖρε, βυθοῦ ἀγνοίας ἐξέλκουσα· χαῖρε, πολλοὺς ἐν γνώσει φωτίζουσα.

Χαῖρε, ὁλκὰς τῶν θελόντων σωθῆναι· χαῖρε, λιμὴν τῶν τοῦ βίου πλωτήρων.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Σῶσαι θέλων τὸν κόσμον ὁ τῶν ὅλων κοσμήτωρ, πρὸς τοῦτον αὐτεπάγγελτος ἦλθε· καὶ ποιμὴν ὑπάρχων

ὡς Θεὸς, δι' ἡμᾶς ἐφάνη καθ' ἡμᾶς ἄνθρωπος· ὁμοίῳ γὰρ τὸ ὅμοιον καλέσας, ὡς Θεὸς ἀκούει:

Ἀλληλουϊα.

Καὶ πάλιν τὸ Κοντάκιον,

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια.

Εἶτα ἐξακολουθοῦμεν ψάλλοντες τὸν Κανόνα.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

„ Ὁ καθήμενος ἐν δόξῃ, ἐπὶ θρόνου Θεότητος, ἐν νε-
„ φέλῃ κούφῃ, ἦλθεν Ἰησοῦς ὁ ὑπέρθεος, τῇ ἀκη-
„ράτῳ παλάμῃ, καὶ διέσωσε, τοὺς κραυγάζοντας: Δόξα
„ Χριστὲ τῇ δυνάμει σου.

Τροπάριον.

Ἐν φωναῖς ἀσμάτων πίστει, σοὶ βοῶμεν Πανύμνητε· Χαῖρε πῖον ὄρος, καὶ τετυρωμένον ἐν Πνεύματι· χαῖρε λυχνία καὶ στάμνε, Μάννα φέρουσα, τὸ γλυκαῖνον, τὰ τῶν εὐσεβῶν αἰσθητήρια.

Ἱλαστήριον τοῦ κόσμου, χαῖρε ἄχραντε Δέσποινα· χαῖρε κλίμαξ γῆθεν, πάντας ἀνυψώσασα χάριτι· χαῖρε ἡ γέφυρα ὄντως ἡ μετάγουσα, ἐκ θανάτου πάντας, πρὸς ζωὴν τοὺς ὑμνοῦντάς σε.

Οὐρανῶν ὑψηλοτέρα, χαῖρε γῆς τὸ θεμέλιον, ἐν τῇ σῇ νηδύϊ, Ἄχραντε ἀκόπως βαστάσασα· χαῖρε κογχύλη, πορφύραν θείαν βάψασα, ἐξ αἱμάτων σου, τῷ βασιλεῖ τῶν Δυνάμεων.

Νομοθέτην ἡ τεκοῦσα ἀληθῶς, χαῖρε Δέσποινα, τὸν τὰς ἀνομίας, πάντων δωρεὰν ἐξαλείφοντα· ἀκατανόητον βάθος, ὕψος ἄῤῥητον, ἀπειρόγαμε, δι' ἧς ἡμεῖς ἐθεώθημεν.

Σὲ τὴν πλέξασαν τῷ κόσμῳ, ἀχειροπλοκον στέφανον, ἀνυμνολογοῦμεν, Χαῖρέ σοι Παρθένε κραυγάζοντες, τὸ φυλακτήριον πάντων καὶ χαράκωμα, καὶ κραταίωμα, καὶ ἱερὸν καταφύγιον.

Καταβασία. Ὁ καθήμενος ἐν δόξῃ.

Ὠδὴ ε'. Ὁ Εἱρμός.

„ Ἔξεστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου· σὺ
„ γὰρ ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Δημοσίου - Μουσείο Μπενάκη Βιβλιοθήκη Δημοσίου

„ ἐπὶ πάντων Θεὸν, καὶ τέτοκας ἄχρονον Υἱὸν, πᾶσι
„ τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύουσα.

Τροπάριον.

Ὁδὸν ἡ κυήσασα ζωῆς, χαῖρε παναμωμε, ἡ κατα-
κλυσμοῦ τῆς ἁμαρτίας, σώσασα κόσμον· χαῖρε
Θεόνυμφε, ἄκουσμα καὶ λάλημα φρικτόν· χαῖρε εὐ-
διαίτημα, τοῦ Δεσπότου τῆς κτίσεως.

Ἰσχὺς καὶ ὀχύρωμα ἀνθρώπων, χαῖρε Ἄχραντε, τό-
πε ἁγιάσματος τῆς δόξης· νέκρωσις Ἅδου, νυμφὼν ὁ-
λόφωτε· χαῖρε τῶν Ἀγγέλων χαρμονή· χαῖρε ἡ βοή-
θεια, τῶν πιστῶς δεομένων σου.

Πυρίμορφον ὄχημα τοῦ Λόγου, χαῖρε Δέσποινα, ἔμ-
ψυχε Παράδεισε, τὸ ξύλον, ἐν μέσῳ ἔχων ζωῆς τὸν
Κύριον· οὗ ὁ γλυκασμὸς ζωοποιεῖ, πίστει τοὺς μετέ-
χοντας, καὶ φθορᾷ ὑποκύψαντας.

Ῥωννύμενοι σθένεισου, πιστῶς ἀναβοῶμέν σοι: Χαῖ-
ρε πόλις τοῦ παμβασιλέως, δεδοξασμένα καὶ ἀξιάκου-
στα, περὶ ἧς λελάληνται σαφῶς· ὄρος ἀλατόμητον,
χαῖρε βάθος ἀμέτρητον.

Εὐρύχωρον σκήνωμα τοῦ Λόγου, χαῖρε Ἄχραντε·
κόχλος ἡ τὸν θεῖον μαργαρίτην, προκυαγοῦσα, χαῖρε
πανθαύμαστε· πάντων πρὸς Θεὸν καταλλαγὴ, τῶν μα-
καριζόντων σε, Θεοτόκε ἑκάστοτε.

Καταβασία. Ἐξέστη τὰ συμπαντα.

Ὠδὴ ς'. Ὁ Εἱρμός.

„ Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν
„ οἱ Θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας
„ κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάζοντες.

Τροπάριον.

Παστὰς τοῦ Λόγου ἁμόλυντε, αἰτία τῆς τῶν πάντων
θεώσεως, χαῖρε Πανάχραντε, τῶν Προφητῶν περιή-
χημα· χαῖρε τῶν Ἀποστόλων τὸ ἐγκαλλώπισμα.

Ἐκ σοῦ ἡ δρόσος ἀπέσταξε, φλογμὸν πολυθείας ἡ
λύτρασα· ὅθεν βοῶμέν σοι: Χαῖρε ὁ πόκος ὁ ἔνδροσος,
ὃν Γεδεὼν Παρθένε προεθεάσατο.

Ἰδού σοι, Χαῖρε, κραυγάζομεν, λιμὴν ἡμῖν γενοῦ θαλαττεύουσι, καὶ ὁρμητήριον, ἐν τῷ πελάγει τῶν θλίψεων, καὶ τῶν σκανδάλων πάντων τοῦ πολεμήτορος.

Χαρᾶς αἰτία χαρίτωσον, ἡμῶν τὸν λογισμὸν τοῦ κραυγάζειν σοι: Χαῖρε ἡ ἄφλεκτος βάτος, νεφέλη ὁλόφωτε, ἡ τοὺς πιστοὺς ἀπαύστως ἐπισκιάζουσα.

**Καταβασία.** Τὴν θείαν ταύτην καὶ πάντιμον.

**Εἶτα τὸ Κοντάκιον,**

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια.

**Καὶ τοὺς λοιποὺς ἐξ Οἴκους.**

Τεῖχος εἶ τῶν παρθένων, Θεοτόκε Παρθένε, καὶ πάντων τῶν εἰς σὲ προστρεχόντων· ὁ γὰρ τοῦ οὐρανοῦ καὶ τῆς γῆς, κατεσκεύασέσε ποιητὴς ἄχραντε, οἰκήσας ἐν τῇ μήτρᾳ σου, καὶ πάντας σοι προσφωνεῖν διδάξας: Χαῖρε, ἡ στήλη τῆς παρθενίας· χαῖρε, ἡ πύλη τῆς σωτηρίας.

Χαῖρε, ἀρχηγὲ νοητῆς ἀναπλάσεως· χαῖρε, χορηγὲ θεϊκῆς ἀγαθότητος.

Χαῖρε, σὺ γὰρ ἀνεγέννησας τοὺς συλληφθέντας αἰσχρῶς· χαῖρε, σὺ γὰρ ἐνουθέτησας τοὺς συληθέντας τὸν νοῦν.

Χαῖρε, ἡ τὸν φθορέα τῶν φρενῶν καταργοῦσα· χαῖρε, ἡ τὸν σπορέα τῆς ἁγνείας τεκοῦσα.

Χαῖρε, παστὰς ἀσπόρου νυμφεύσεως· χαῖρε, πιστοὺς Κυρίῳ ἁρμόζουσα.

Χαῖρε, καλὴ κυροτρόφε παρθένων· χαῖρε, ψυχῶν νυμφοστόλε Ἁγίων.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Ὕμνος ἅπας ἡττᾶται, συνεκτείνεσθαι σπεύδων, τῷ πλήθει τῶν πολλῶν οἰκτιρμῶν σου· ἰσαρίθμους γὰρ τῇ ψάμμῳ ᾠδὰς ἄν προσφέρωμέν σοι, Βασιλεῦ ἅγιε, οὐδὲν τελοῦμεν ἄξιον, ὧν δέδωκας ἡμῖν τοῖς σοὶ βοῶσιν:

Ἀλληλούϊα.

Φωτοδόχον λαμπάδα, τοῖς ἐν σκότει φανεῖσαν, ὁρῶμεν τὴν ἁγίαν Παρθένον· τὸ γὰρ ἄϋλον ἅπ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λήξουριου - Κεφαλληνιακών Σπουδών

τουσα φῶς, ὁδηγεῖ πρὸς γνῶσιν θεϊκὴν ἅπαντας αὐγῇ τὸν νοῦν φωτίζουσα, κραυγῇ δὲ τιμωμένη ταῦτα:

Χαῖρε, ἀκτὶς νοητοῦ Ἡλίου· χαῖρε, βολὶς τοῦ ἀδύτου φέγγους.

Χαῖρε, ἀστραπὴ τὰς ψυχὰς καταλάμπουσα· χαῖρε, ὡς βροντὴ τοὺς ἐχθροὺς καταπλήττουσα.

Χαῖρε, ὅτι τὸν πολύφωτον ἀνατέλλεις φωτισμόν· χαῖρε, ὅτι τὸν πολύῤῥητον ἀναβλύζεις ποταμόν.

Χαῖρε, τῆς κολυμβήθρας ζωγραφοῦσα τὸν τύπον· χαῖρε, τῆς ἁμαρτίας ἀναιροῦσα τὸν ῥύπον.

Χαῖρε, λουτὴρ ἐκπλύνων συνείδησιν· χαῖρε, κρατὴρ κιρνῶν ἀγαλλίασιν.

Χαῖρε, ὀσμὴ τῆς Χριστοῦ εὐωδίας· χαῖρε, ζωὴ μυστικῆς εὐωχίας.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Χάριν δοῦναι θελήσας ὀφλημάτων ἀρχαίων, ὁ πάντων χρεωλύτης ἀνθρώπων ἐπεδήμησε δι' ἑαυτοῦ πρὸς τοὺς ἀποδήμους τῆς αὐτοῦ χάριτος· καὶ σχίσας τὸ χειρόγραφον, ἀκούει παρὰ πάντων οὕτως:

Ἀλληλούϊα.

Ψάλλοντές σου τὸν τόκον, ἀνυμνοῦμέν σε πάντες ὡς ἔμψυχον ναὸν Θεοτόκε· ἐν τῇ σῇ γὰρ οἰκήσας γαστρὶ ὁ συνέχων πάντα τῇ χειρὶ Κύριος, ἡγίασεν, ἐδόξασεν, ἐδίδαξε βοᾶν σοι πάντας:

Χαῖρε, σκηνὴ τοῦ Θεοῦ καὶ Λόγου· χαῖρε, Ἁγία Ἁγίων μείζων.

Χαῖρε, κιβωτὲ χρυσωθεῖσα τῷ Πνεύματι· χαῖρε, θησαυρὲ τῆς ζωῆς ἀδαπάνητε.

Χαῖρε, τίμιον διάθημα βασιλέων εὐσεβῶν· χαῖρε, καύχημα σεβάσμιον ἱερέων εὐλαβῶν.

Χαῖρε, τῆς Ἐκκλησίας ὁ ἀσάλευτος πύργος· χαῖρε, τῆς βασιλείας τὸ ἀπόρθητον τεῖχος.

Χαῖρε, δι' ἧς ἐγείρονται τρόπαια· χαῖρε, δι' ἧς ἐχθροὶ καταπίπτουσιν.

Χαῖρε χρωτὸς τοῦ ἐμοῦ θεραπεία· χαῖρε ψυχῆς τῆς ἐμῆς σωτηρία.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Ὦ πανύμνητε Μῆτερ, ἡ τεκοῦσα τὸν πάντων Ἁγίων ἁγιώτατον Λόγον, δεξαμένη τὴν νῦν προσφοράν, ἀπὸ πάσης ῥῦσαι συμφορᾶς ἅπαντας· καὶ τῆς μελλούσης λύτρωσαι κολάσεως τοὺς συμβοῶντας·

Ἀλληλούϊα.

Καὶ πάλιν τὸν πρῶτον Οἶκον:

Ἄγγελος πρωτοστάτης οὐρανόθεν ἐπέμφθη, εἰπεῖν τῇ Θεοτόκῳ τὸ, Χαῖρε· καὶ σὺν τῇ ἀσωμάτῳ φωνῇ, σωματούμενόν σε θεωρῶν Κύριε, ἐξίστατο, καὶ ἵστατο κραυγάζων πρὸς αὐτὴν τοιαῦτα:

Χαῖρε, δι' ἧς ἡ χαρὰ ἐκλάμψει· χαῖρε, δι' ἧς ἡ ἀρὰ ἐκλείψει.

Χαῖρε, τοῦ πεσόντος Ἀδὰμ ἡ ἀνάκλησις· χαῖρε, τῶν δακρύων τῆς Εὔας ἡ λύτρωσις.

Χαῖρε, ὕψος δυσανάβατον ἀνθρωπίνοις λογισμοῖς· χαῖρε, βάθος δυσθεώρητον καὶ Ἀγγέλων ὀφθαλμοῖς.

Χαῖρε, ὅτι ὑπάρχεις Βασιλέως καθέδρα· χαῖρε, ὅτι βαστάζεις τὸν βαστάζοντα πάντα.

Χαῖρε, ἀστὴρ ἐμφαίνων τὸν Ἥλιον· χαῖρε, γαστὴρ ἐνθέου σαρκώσεως.

Χαῖρε, δι' ἧς νεουργεῖται ἡ κτίσις· χαῖρε, δι' ἧς βρεφουργεῖται ὁ Κτίστης.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Καὶ πάλιν τὸ εἰρμένον Κοντάκιον,

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια,
Ὡς λυτρωθεῖσα τῶν δεινῶν εὐχαριστήρια,
Ἀναγράφω σοι ἡ Πόλις σου Θεοτόκε.
Ἀλλ' ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον,
Ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον,
Ἵνα κράζω σοι: Χαῖρε, Νύμφη ἀνύμφευτε.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημοτική Κεντρική Βιβλιοθήκη Ληξουρίου - Κοσμητεία Υπαλλήλων Ταμείων

## Εἶτα ἀποπληροῦμεν τὰ λοιπὰ τῆς Ἀκολουθίας.

### Ὠδὴ ζ'. Ὁ Εἱρμός.

„Οὐκ ἐλάτρευσαν, τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν „κτίσαντα· ἀλλὰ πυρὸς ἀπειλὴν, ἀνδρείως πα„τήσαντες, ἔχαιρον ψάλλοντες: Ὑπερύμνητε, ὁ τῶν „Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

### Τροπάριον.

Ἀνυμνούμέν σε, βοῶντες: Χαῖρε ὄχημα, Ἡλίου τοῦ νοητοῦ· ἄμπελος ἀληθινὴ, τὸν βότρυν τὸν πέπειρον, ἡ γεωργήσασα, οἶνον στάζοντα, τὸν τὰς ψυχὰς εὐφραίνοντα, τῶν πιστῶς σε δοξαζόντων.

Ἰατῆρα τῶν ἀνθρώπων ἡ κυήσασα, χαῖρε Θεόνυμφε· ἡ ῥάβδος ἡ μυστικὴ, ἄνθος τὸ ἀμάραντον ἡ ἐξανθήσασα· χαῖρε Δέσποινα, δι' ἧς χαρᾶς πληρώμεθα, καὶ ζωὴν κληρονομοῦμεν.

Ῥητορεύουσα, οὐ σθένει γλῶσσα Δέσποινα, ὑμνολογῆσαί σε· ὑπὲρ γὰρ τὰ Σεραφὶμ, ὑψώθης κυήσασα, τὸν Βασιλέα Χριστόν· ὃν ἱκέτευε, πάσης νῦν βλάβης ῥύσασθαι τοὺς πιστῶς σε προσκυνοῦντας.

Εὐφημεῖ σε, μακαρίζοντα τὰ πέρατα, καὶ ἀνακράζει σοι: Χαῖρε ὁ τόμος ἐν ᾧ, δακτύλῳ ἐγγέγραπται, Πατρὸς ὁ Λόγος ἀγνή· ὃν ἱκέτευε, βίβλῳ ζωῆς τοὺς δούλους σου, καταγράψαι Θεοτόκε.

Ἱκετεύομεν, οἱ δοῦλοί σου καὶ κλίνομεν, γόνυ καρδίας ἡμῶν. Κλῖνον τὸ οὖς σου ἀγνὴ, καὶ σῶσον τοὺς θλίψεσι, βυθιζομένους ἡμᾶς, καὶ συντήρησον, πάσης ἐχθρῶν ἀλώσεως, τὴν σὴν Πόλιν Θεοτόκε.

Καταβασία. Οὐκ ἐλάτρευσαν τῇ κτίσει.

### Ὠδὴ ἡ. Ὁ Εἱρμός.

„Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτό„κου διεσώσατο, τότε μὲν τυπούμενος· νῦν δὲ „ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἐγείρει ψάλ„λουσαν: Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦ„τε εἰς πάντας τοὺς αἰῶνας.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Τροπάριον.

Νηδύϊ τὸν Λόγον ὑπεδέξω, τὸν πάντα βαστάζοντα ἐβάστασας· γάλακτι ἐξέθρεψας, νεύματι τὸν τρέφοντα, τὴν οἰκουμένην ἅπασαν, Ἁγνὴ, ᾧ ψάλλομεν· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Μωσῆς κατενόησεν ἐν βάτῳ, τὸ μέγα Μυστήριον τοῦ τόκου σου· Παῖδες προεικόνισαν, τοῦτο ἐμφανέστατα, μέσον πυρὸς ἱστάμενοι, καὶ μὴ φλεγόμενοι, ἀκήρατε ἁγία Παρθένε· ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Οἱ πρώην ἀπάτῃ γυμνωθέντες, στολὴν ἀφθαρσίας ἐνεδύθημεν, τῇ κυοφορίᾳ σε· καὶ οἱ κεθεζόμενοι ἐν σκότει παραπτώσεων, φῶς κατωπτεύσαμεν, φωτὸς κατοικητήριον Κόρη· ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Νεκροὶ διὰ σοῦ ζωοποιοῦνται· ζωὴν γὰρ τὴν ἐνυπόστατον ἐκύησας· εὔλαλοι οἱ ἄλαλοι, πρώην χρηματίζοντες· λεπροὶ ἀποκαθαίρονται· νόσοι διώκονται· πνευμάτων ἀερίων τὰ πλήθη, ἥττηνται Παρθένε, βροτῶν ἡ σωτηρία.

Ἡ κόσμῳ τεκοῦσα σωτῆρα, δι' ἧς ἀπὸ γῆς εἰς ὕψος ἤρθημεν, χαίροις παντευλόγητε, σκέπη καὶ κραταίωμα, τεῖχος καὶ ὀχύρωμα τῶν μελῳδούντων Ἁγνή· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Καταβασία. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

„Ἅπας γηγενὴς, σκιρτάτω τῷ πνεύματι, λαμπαδουχούμενος· πανηγυριζέτω δὲ, αὐΰλων Νόων φύσις „χεραίρουσα, τὴν ἱερὰν πανήγυριν, τῆς Θεομήτορος, καὶ „βοάτω: Χαίροις παμμακάριστε, Θεοτόκε ἁγνὴ ἀειπάρθενε.

Τροπάριον.

Ἵνα σοι πιστοὶ, τὸ Χαῖρε κραυγάζωμεν, οἱ διὰ σοῦ τῆς χαρᾶς, μέτοχοι γενόμενοι τῆς ἀϊδίου, ῥῦσαι ἡμᾶς πειρασμῶ, βαρβαρικῆς ἀλώσεως, καὶ πάσης ἄλλης πληγῆς, διὰ πλῆθος, Κόρη παραπτώσεων, ἐπιούσης βροτοὶς ἁμαρτάνουσιν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λιβαδειάς - Μουσείο Τυπαλδών Ιακωβατών

Ὤφθης φωτισμὸς, ἡμῶν καὶ βεβαίωσις· ὅθεν βοῶμέν σοι: Χαῖρε ἄστρον ἄδυτον, εἰσάγον κόσμῳ τὸν μέγαν Ἥλιον· χαῖρε Ἐδὲμ ἀνοίξασα, τὴν κεκλεισμένην Ἁγνή· χαῖρε στύλε, πύρινε εἰσάγουσα, εἰς τὴν ἄνω ζωὴν τὸ ἀνθρώπινον.

Στῶμεν εὐλαβῶς, ἐν οἴκῳ Θεοῦ ἡμῶν, καὶ ἐκβοήσωμεν: Χαῖρε κόσμου Δέσποινα· χαῖρε Μαρία Κυρία πάντων ἡμῶν· χαῖρε ἡ μόνη ἄμωμος, ἐν γυναιξὶ καὶ καλὴ χαῖρε σκεῦος, μύρον τὸ ἀκένωτον, ἐπὶ σὲ κενωθὲν εἰσδεξάμενον.

Ἡ περιστερὰ, ἡ τὸν ἐλεήμονα ἀποκυήσασα, χαῖρε ἀειπάρθενε· Ὁσίων πάντων χαῖρε τὸ καύχημα, τῶν Ἀθλητῶν σεφάνωμα· χαῖρε ἁπάντων τε τῶν Δικαίων, θεῖον ἐγκαλλώπισμα, καὶ ἡμῶν τῶν πιστῶν τὸ διάσωσμα.

Φεῖσαι ὁ Θεὸς, τῆς κληρονομίας σου, τὰς ἁμαρτίας ἡμῶν, πάσας παραβλέπων νῦν, εἰς τοῦτο ἔχων ἐκδυσωπῆσάνσε, τὴν ἐπὶ γῆς ἀπόρως σε κυοφορήσασαν, διὰ μέγα ἔλεος θελήσαντα, μορφωθῆναι Χριστὲ τὸ ἀλλότριον.

Καταβασία. Ἅπας γηγενής.

Ἐξαποστειλάριον, Ἦχος β'. Γυναῖκες ἀκουτίσθητε.

Σκιρτήσατε, χορεύσατε, μετ' εὐφροσύνης ᾄσατε· ὁ Γαβριὴλ τῇ Παρθένῳ, χαρὰν κομίζων ἐπέστη, εἰς Ναζαρὲτ νῦν τὴν πόλιν, χαρᾶς τὰ εὐαγγέλια. Χαῖρε Ἁγνὴ παναμωμε, τοῦ κόσμου ἡ προστασία· χαῖρε οὐράνιε θρόνε.

Εἰς τοὺς Αἴνους, Στιχηρὰ προσόμοια, Ἦχος δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Κεκρυμμένον Μυστήριον, καὶ Ἀγγέλοις ἀγνώριστον, Γαβριὴλ πιστεύεται ὁ Ἀρχάγγελος· καὶ ἐπὶ σὲ νῦν ἐλεύσεται, τὴν μόνην ἀκήρατον, καὶ καλὴν περιστερὰν, καὶ τοῦ γένους ἀνάπλασιν, καὶ βοήσει σοι, Παναγία τὸ: Χαῖρε· ἑτοιμάζου, διὰ λόγου Θεὸν Λόγον, σοῦ ταῖς λαγόσιν εἰσδέξασθαι. Δίς.

Φωτοφόρον παλάτιον, ἑτοιμάσθησοι Δέσποτα, ἣν νηδὺς ἡ ἀχράντος τῆς Θεοπαιδος. Δεῦρο πρὸς τοῦτο

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λιβουρίου
Κουμπή Τυπάκου Ιακώβου

καταβηθι, οἰκτείρας τὸ πλάσμα σου, φθονερῶς πολεμηθὲν, καὶ δουλείᾳ κρατούμενον, τοῦ ἀλάστορος, καὶ τὸ κάλλος τὸ πρώην ἀπολέσαν, καὶ τὴν σὴν σωτηριώδη, προσαναμένον κατάβασιν.

Γαβριὴλ ὁ ἀρχάγγελος, ἐπὶ σὲ παναμώμητε, ἐμφανῶς ἐλεύσεται, καὶ βοήσει σοι: Χαῖρε κατάρας λυτήριον, πεσόντων ἀνόρθωσις· χαῖρε μόνη ἐκλεκτὴ, τῷ Θεῷ χρηματίσασα· χαῖρε ἔμψυχε, τοῦ Ἡλίου νεφέλη· ὑποδέχου, τὸν ἀχώρητον ἐν μήτρᾳ, τῇ σῇ οἰκῆσαι θελήσαντα.

Δόξα, καὶ νῦν, Ἦχος δ'.

Γλῶσσαν ἣν οὐκ ἔγνω, ἤκουσεν ἡ Θεοτόκος· ἐλάλει γὰρ πρὸς αὐτὴν ὁ Ἀρχάγγελος, τοῦ εὐαγγελισμοῦ τὰ ῥήματα· ὅθεν πιστῶς δεξαμένη τὸν ἀσπασμὸν, συνέλαβέ σε τὸν προαιώνιον Θεόν. Διὸ καὶ ἡμεῖς ἀγαλλόμενοι, βοῶμέν σοι: Ὁ ἐξ αὐτῆς σαρκωθεὶς ἀτρέπτως Θεὸς, εἰρήνην τῷ κόσμῳ δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Λιξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων




Πολλὰ ἰσχύει δέησις Μητρὸς, πρὸς εὐμένειαν
Δεσπότου. Ἡ Ἐκκλησ. σελ. 102.

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΜΙΚΡΟΥ ΠΑΡΑΚΛΗΤΙΚΟΥ ΚΑΝΟΝΟΣ

## ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ,

Ψαλλομένου ἐν πάσῃ περιστάσει, καὶ θλίψει ψυχῆς.
Ποίημα Θεοστηρίκτου μοναχοῦ· οἱ δὲ, Θεοφάνους.

Εὐλογήσαντος τὸ Ἱερέως, λέγομεν τὸν παρόντα Ψαλμόν.

### ΨΑΛΜΟΣ ρμβ'. 142.

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου.

Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχήμου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Δράμας - Μουσείο Τυπογράφων Ιακώβατων

Γνώρισόν μοι, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρός σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρός σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου.

Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμί.

Καὶ εὐθὺς τὸ, Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, μετὰ τῶν Στίχων αὐτοῦ, ἐξ ἑκατέρων τῶν Χορῶν.

Εἶτα τὰ παρόντα Τροπάρια, Ἦχος δ'.

Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν, ἁμαρτωλοὶ καὶ ταπεινοὶ, καὶ προσπέσωμεν ἐν μετανοίᾳ, κράζοντες ἐκ βάθους ψυχῆς· Δέσποινα βοήθησον, ἐφ' ἡμῖν σπλαγχνισθεῖσα· σπεῦσον ἀπολλύμεθα, ὑπὸ πλήθους πταισμάτων· μὴ ἀποστρέψῃς σοὺς δούλους κενούς· σὲ γὰρ καὶ μόνην ἐλπίδα κεκτήμεθα.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, τὸ ἐξῆς.

Οὐ σιωπήσομεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι. Εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σώζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

Τὸν Ν'. Ψαλμὸν, σελ. 159. καὶ ἀρχόμεθα τῶ Κανόνος.

Ὠδὴ ά. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

„ Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν, καὶ τὴν αἰγυπτίαν,
„ μοχθηρίαν διαφυγὼν, ὁ Ἰσραηλίτης ἀνεβόα· Τῷ
„ λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν.

Τροπάριον.

Πολλοῖς συνεχόμενος πειρασμοῖς, πρὸς σὲ καταφεύγω, σωτηρίαν ἐπιζητῶν. Ὦ Μῆτερ τοῦ Λόγου, καὶ Παρθένε, τῶν δυσχερῶν καὶ δεινῶν με διάσωσον.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

Παθῶν με ταράττουσι προσβολαὶ, πολλῆς ἀθυμίας, ἐμπιπλῶσαί μου τὴν ψυχήν. Εἰρήνευσον Κόρη τῇ γαλήνῃ, τῇ τοῦ Υἱοῦ καὶ Θεοῦ σου πανάμωμε.

Σωτῆρα τεκοῦσάν σε καὶ Θεὸν, δυσωπῶ Παρθένε, λυτρωθῆναί με τῶν δεινῶν· σοὶ γὰρ νῦν προσφεύγων ἀνατείνω, καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν.

Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχὴν, ἐπισκοπῆς θείας, καὶ προνοίας τῆς παρὰ σοῦ, ἀξίωσον μόνη Θεομῆτορ, ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια.

## Ὠδὴ γ'. Ὁ Εἱρμός.

„Οὐρανίας ἀψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκ-
„κλησίας δομῆτορ, σύμε γερέωσον, ἐν τῇ ἀγάπῃ
„τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στη-
„ριγμα, μόνε φιλάνθρωπε.

## Τροπάριον.

Προστασίαν καὶ σκέπην, ζωῆς ἐμῆς τίθημι, σὲ Θεογεννῆτορ Παρθένε· σύμε κυβέρνησον, πρὸς τὸν λιμένα σου, τῶν ἀγαθῶν ἡ αἰτία, τῶν πιστῶν τὸ στήριγμα, μόνη πανύμνητε.

Ἱκετεύω Παρθένε, τὸν ψυχικὸν τάραχον, καὶ τῆς ἀθυμίας τὴν ζάλην διασκεδάσαι μου· σὺ γὰρ Θεόνυμφε, τὸν ἀρχηγὸν τῆς γαλήνης, τὸν Χριστὸν ἐκύησας, μόνη πανάχραντε.

Εὐεργέτην τεκοῦσά, τὸν τῶν καλῶν αἴτιον, τῆς εὐεργεσίας τὸν πλοῦτον, πᾶσιν ἀνάβλυσον· πάντα γὰρ δύνασαι, ὡς δυνατὸν ἐν ἰσχύϊ, τὸν Χριστὸν κυήσασα, Θεομακάριστε.

Χαλεπαῖς ἀῤῥωστίαις, καὶ νοσεροῖς πάθεσιν, ἐξεταζομένῳ Παρθένε, σύμοι βοήθησον· τῶν ἰαμάτων γὰρ, ἀνελιπῆ σε γινώσκω, θησαυρὸν πανάμωμε τὸν ἀδαπάνητον.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου Θεοτόκε, ὅτι πάντες μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν, ὡς ἄῤῥηκτον τεῖχος καὶ προστασίαν.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Βιβλιοθήκη Λέσβου
Μουσείο Τυπογράφων Ιακωβατων

ἐμήν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Εἶτα μνημονεύει ὁ Ἱερεὺς, δι' οὓς ἡ Παράκλησις γίνεται· καὶ ἡμεῖς ψάλλομεν τὸ, Κύριε ἐλέησον, ιέ. Μετὰ δὲ τὴν Ἐκφώνησιν, τὸ ἑπόμενον

Κάθισμα, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Πρεσβεία θερμὴ, καὶ τεῖχος ἀπροσμάχητον, ἐλέους πηγὴ, τοῦ κόσμου καταφύγιον, ἐκτενῶς βοῶμέν σοι: Θεοτόκε Δέσποινα πρόφθασον, καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, ἡ μόνη ταχέως προστατεύουσα.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

„ Εἰσακήκοα Κύριε, τῆς οἰκονομίας σου τὸ Μυστή-
„ ριον· κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου
„ τὴν Θεότητα.

Τροπάριον.

Τῶν παθῶν μου τὸν τάραχον, ἡ τὰν κυβερνήτην τεκοῦσα Κύριον, καὶ τὸν κλύδωνα κατεύνασον, τῶν ἐμῶν πταισμάτων Θεονύμφευτε.

Εὐσπλαγχνίας τὴν ἄβυσσον, ἐπικαλουμένῳ τῆς σῆς παράσχου μοι, ἡ τὸν εὔσπλαγχνον κυήσασα, καὶ Σωτῆρα πάντων τῶν ὑμνούντων σε.

Ἀπολαύοντες πάναγνε, τῶν σῶν δωρημάτων, εὐχαριστήριον, ἀναμέλπομεν ἐφύμνιον, οἱ γινώσκοντές σε Θεομήτορα.

Οἱ ἐλπίδα καὶ στήριγμα, καὶ τῆς σωτηρίας τεῖχος ἀκράδαντον, κεκτημένοι σε πανύμνητε, δυσχερείας πάσης ἐκλυτρούμεθα.

Ὠδὴ ε'. Ὁ Εἱρμός.

„ Φώτισον ἡμᾶς, τοῖς προστάγμασί σου Κύριε, καὶ
„ τῷ βραχίονί σου τῷ ὑψηλῷ τὴν σὴν εἰρήνην πα-
„ ράσχου ἡμῖν φιλάνθρωπε.

Τροπάριον.

Ἔμπλησον Ἁγνὴ, εὐφροσύνης τὴν καρδίαν μου, τὴν σὴν ἀκήρατον δι δοῦσα χαρὰν, τῆς εὐφροσύνης ἡ γεννήσασα τὸν αἴτιον.

Λύτρωσαι ἡμᾶς, ἐκ κινδύνων Θεοτόκε ἁγνὴ, ἡ αἰωνίαν τεκοῦσα λύτρωσιν, καὶ τὴν εἰρήνην τὴν πάντα νοῦν ὑπερέχουσαν.

Λῦσον τὴν ἀχλὺν, τῶν πταισμάτων μου Θεόνυμφε, τῷ φωτισμῷ τῆς σῆς λαμπρότητος, ἡ φῶς τεκοῦσα τὸ θεῖον καὶ προαιώνιον.

Ἴασαι Ἁγνὴ, τῶν παθῶν μου τὴν ἀσθένειαν, ἐπισκοπῆς σου ἀξιώσασα, καὶ τὴν ὑγείαν τῇ πρεσβείᾳ σου παράσχου μοι.

## Ὠδὴ ς'. Ὁ Εἱρμός.

„ Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον, καὶ αὐτῷ ἀπαγγελῶ „ μου τὰς θλίψεις, ὅτι κακῶν, ἡ ψυχή μου ἐπλή- „ σθη, καὶ ἡ ζωή μου τῷ Ἅδῃ προσήγγισε· καὶ δέομαι „ ὡς Ἰωνᾶς: Ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.

## Τροπάριον.

Θανάτου καὶ τῆς φθορᾶς ὃς ἔσωσεν, ἑαυτὸν ἐκδεδωκὼς τῷ θανάτῳ, τὴν τῇ φθορᾷ, καὶ θανάτῳ μου φύσιν, καπασχεθεῖσαν Παρθένε, δυσώπησον, τὸν Κύριόν σου καὶ Υἱὸν, τῆς ἐχθρῶν κακουργίας με ῥύσασθαι.

Προστάτιν σε τῆς ζωῆς ἐπίσαμαι, καὶ φρουρὰν ἀσφαλεστάτην Παρθένε, τῶν πειρασμῶν, διαλύουσαν ὄχλον, καὶ ἐπηρείας δαιμόνων ἐλαύνουσαν· καὶ δέομαι διαπαντὸς, ἐκ φθορᾶς τῶν παθῶν μου ῥυσθῆναί με.

Ὡς τεῖχος καταφυγῆς κεκτήμεθα, καὶ ψυχῶν σε παντελῆ σωτηρίαν, καὶ πλατυσμὸν, ἐν ταῖς θλίψεσι Κόρη, καὶ τῷ φωτί σε ἀεὶ ἀγαλλόμεθα. Ὦ Δέσποινα καὶ νῦν ἡμᾶς, τῶν παθῶν καὶ κινδύνων διάσωσον.

Ἐν κλίνῃ νῦν ἀσθενῶν κατάκειμαι, καὶ οὐκ ἔστιν ἴασις τῇ σαρκί μου· ἀλλ' ἡ Θεὸν, καὶ Σωτῆρα τοῦ κόσμου, καὶ τὸν λυτῆρα τῶν νόσων κυήσασα, σοῦ δέομαι τῆς ἀγαθῆς: Ἐκ φθορᾶς νοσημάτων ἀνάστησον.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου Θεοτόκε, ὅτι πάντες μετὰ Θεὸν, εἰς σὲ καταφεύγομεν, ὡς ἄῤῥηκτον τεῖχος καὶ προστασίαν.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ'

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Ὁ Ἱερεὺς μνημονεύει, ὡς δεδήλωται.

Μετὰ δὲ τὴν Ἐκφώνησιν, Κοντάκιον, Ἦχος β'.

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς· ἀλλὰ πρόφθασον ὡς ἀγαθὴ, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι. Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεὶ, Θεοτόκε τῶν τιμώντων σε.

Εἶτα, τὸ ά. Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ'. Ἦχου.

Ἐκ νεότητός μου, πολλὰ πολεμεῖ με πάθη· ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτὴρ μου. Δίς.

Οἱ μισοῦντες Σιὼν, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γὰρ, πυρὶ ἔσεσθε ἀπεξηραμμένοι. Δίς.

Δόξα.

Ἁγίῳ Πνεύματι, πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει, ὑψοῦται λαμπρύνεται, τῇ Τριαδικῇ μονάδι, ἱεροκρυφίως. Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν, πρὸς ζωογονίαν.

Καὶ εὐθὺς τὸ Προκείμενον.

Μνησθήσομαι τὸ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

Στίχ. Ἄκουσον Θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου.

## ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν. Κεφ. ά. 39.

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἀναστᾶσα Μαριὰμ, ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ σπουδῆς, εἰς πόλιν Ἰούδα· καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου, καὶ ἠσπάσατο τὴν Ἐλισάβετ. Καὶ ἐγένετο, ὡς ἤκουσεν ἡ Ἐλισάβετ τὸν ἀσπασμὸν τῆς Μαρίας, ἐσκίρτησε τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς· καὶ ἐπλήσθη Πνεύματος ἁγίου ἡ Ἐλι-

σάβετ, καὶ ἀνεφώνησε φωνῇ μεγάλῃ, καὶ εἶπεν: Εὐλογημένη σὺ ἐν γυναιξὶ, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. Καὶ πόθεν μοι τοῦτο, ἵνα ἔλθῃ ἡ Μήτηρ τοῦ Κυρίου μου πρός με; Ἰδοὺ γὰρ, ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτησε τὸ βρέφος ἐν ἀγαλλιάσει ἐν τῇ κοιλίᾳ μου. Καὶ μακαρία ἡ πιστεύσασα, ὅτι ἔσαι τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυρίου. Καὶ εἶπε Μαριάμ. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου· ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ. Ἰδοὺ γὰρ, ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί· ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ. Ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς, καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς.

Δόξα, Ἦχος β΄.

Πάτερ, Λόγε, Πνεῦμα, Τριὰς ἡ ἐν Μονάδι, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν,

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Εἶτα, Ἐλέησόν με, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Μὴ καταπιστεύσῃς με ἀνθρωπίνῃ προστασίᾳ, Παναγία Δέσποινα, ἀλλὰ δέξαι δέησιν τοῦ οἰκέτου σου· θλῖψις γὰρ ἔχει με, φέρειν οὐ δύναμαι, τῶν δαιμόνων τὰ τοξεύματα· σκέπην οὐ κέκτημαι, οὐδὲ ποῦ προσφύγω ὁ ἄθλιος, πάντοθεν πολεμούμενος, καὶ παραμυθίαν οὐκ ἔχω πλήν σου. Δέσποινα τοῦ κόσμου, ἐλπὶς καὶ προστασία τῶν πιστῶν, μή μου παρίδῃς τὴν δέησιν, τὸ συμφέρον ποίησον.

Οὐδεὶς προσρέχων ἐπὶ σοὶ, κατησχυμμένος ἀπὸ σοῦ ἐκπορεύεται, ἁγνὴ Παρθένε Θεοτόκε· ἀλλ' αἰτεῖ-

ΔΙΔΟΣΚΑΛΙΚΕΣ ΑΠΟΣΤΟΛΗΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λήξουριου - Κοραή

ται τὴν χάριν, καὶ λαμβάνει τὸ δώρημα,, πρὸς τὸ συμφέρον τῆς αἰτήσεως.

Μεταβολὴ τῶν θλιβομένων, ἀπαλλαγὴ τῶν ἀσθενούντων ὑπάρχουσα, Θεοτόκε Παρθένε, σῶζε πόλιν καὶ λαὸν, τῶν πολεμουμένων ἡ εἰρήνη, τῶν χειμαζομένων ἡ γαλήνη, ἡ μόνη προστασία τῶν πιστῶν.

## Ο ΙΕΡΕΥΣ.

Σῶσον, ὁ Θεὸς, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας Χριστιανῶν ὀρθοδόξων, καὶ κατάπεμψον ἐφ' ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια· πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προσασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων· τοῦ τιμίου ἐνδόξου Προφήτου, Προδρόμου, καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων, καὶ πανευφήμων Ἀποστόλων· τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν, μεγάλων Ἱεραρχῶν, καὶ οἰκουμενικῶν Διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου, καὶ Ἰωάννου τοῦ Χρυσοστόμου· τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Νικολάου, ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας, τοῦ θαυματουργοῦ· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν· τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ ἁγίου (τῆς ἡμέρας) καὶ πάντων σου τῶν Ἁγίων. Ἱκετεύομέν σε πολυέλεε Κύριε. Ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου, καὶ ἐλέησον ἡμᾶς.

Κύριε ἐλέησον ιβ'. Μετὰ δὲ τὸ, Ἐλέει καὶ οἰκτιρμοῖς, ἀποπληροῦμεν τὰς λοιπὰς Ὠδὰς τοῦ Κανόνος.

### Ὠδὴ ζ'. Ὁ Εἱρμός.

„ Οἱ ἐκ τῆς Ἰουδαίας, καταντήσαντες Παῖδες ἐν Βα-
„ βυλῶνι ποτὲ, τῇ πίστει τῆς Τριάδος, τὴν φλόγα
„ τῆς καμίνου, κατεπάτησαν ψάλλοντες: Ὁ τῶν Πα-
„ τέρων ἡμῶν Θεὸς, εὐλογητὸς εἶ.

Τροπάριον.

Τὴν ἡμῶν σωτηρίαν, ὡς ἠθέλησας Σῶτερ οἰκονομήσασθαι, ἐν μήτρᾳ τῆς Παρθένου, κατῴκησας τῷ κόσμῳ, ἣν προστάτιν ἀνέδειξας. Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς, εὐλογητὸς εἶ.

Θελητὴν τοῦ ἐλέους, ὃν ἐγέννησας Μῆτερ ἁγνὴ δυσώπησον, ῥυσθῆναι τῶν πταισμάτων, ψυχῆς τε μολυσμάτων, τοὺς ἐν πίστει κραυγάζοντας: Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς, εὐλογητὸς εἶ.

Θησαυρὸν σωτηρίας, καὶ πηγὴν ἀφθαρσίας τὴν σὲ κυήσασαν, καὶ πύργον ἀσφαλείας, καὶ θύραν μετανοίας τοῖς κραυγάζουσιν ἔδειξας: Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς, εὐλογητὸς εἶ.

Σωμάτων μαλακίας, καὶ ψυχῶν ἀῤῥωστίας Θεογεννήτρια, τῶν πόθῳ προσιόντων, τῇ σκέπῃ σου τῇ θείᾳ, θεραπεύειν ἀξίωσον, ἣ τὸν Σωτῆρα Χριστὸν ἡμῖν ἀποτεκοῦσα.

Ὠδὴ ἡ. Ὁ Εἱρμός.

» Τὸν Βασιλέα τῶν οὐρανῶν, ὃν ὑμνοῦσι, στρατιαὶ τῶν » Ἀγγέλων ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας » τοὺς αἰῶνας.

Τροπάριον.

Τοὺς βοηθείας τῆς παρὰ σοῦ δεομένους, μὴ παρίδῃς Παρθένε ὑμνοῦντας, καὶ ὑπερυψοῦντάς σε Κόρη εἰς αἰῶνας.

Τῶν ἰαμάτων τὸ ταμιεῖον ἐπιχέεις, τοῖς πιστῶς ὑμνοῦσί σε Παρθένε, καὶ ὑπερυψοῦσι τὸν ἄφραστόν σου τόκον.

Τὰς ἀσθενείας μου τῆς ψυχῆς ἰατρεύεις, καὶ σαρκὸς τὰς ὀδύνας Παρθένε, ἵνα σε δοξάζω τὴν κεχαριτωμένην.

Τῶν πειρασμῶν σὺ τὰς προσβολὰς ἐκδιώκεις, καὶ παθῶν τὰς ἐφόδους Παρθένε· ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Επιστημονική Βιβλιοθήκη Αριστοτελείου Πανεπιστημίου Θεσσαλονίκης - Μουσείο Γεωλογίας - Παλαιοντολογίας

## Ὠδὴ Θ΄. Ὁ Εἱρμός.

„ Κυρίως Θεοτόκον, σὲ ὁμολογοῦμεν, οἱ διὰ σοῦ σε-
„ σωσμένοι Παρθένε ἁγνή, σὺν ἀσωμάτοις χο-
„ ρείαις σὲ μεγαλύνοντες.

### Τροπάριον.

Ῥοήν μου τῶν δακρύων, μὴ ἀποποιήσῃς, ἡ τὸν παντὸς ἐκ προσώπου πᾶν δάκρυον, ἀφῃρηκότα Παρθένε Χριστὸν κυήσασα.

Χαράς μου τὴν καρδίαν, πλήρωσον Παρθένε, ἡ τῆς χαρᾶς δεξαμένη τὸ πλήρωμα, τῆς ἁμαρτίας τὴν λύπην ἐξαφανίσασα.

Λιμὴν καὶ προστασία, τῶν σοὶ προσφευγόντων γενοῦ Παρθένε καὶ τεῖχος ἀκράδαντον, καταφυγή τε καὶ σκέπη καὶ ἀγαλλίαμα.

Φωτός σου ταῖς ἀκτῖσι, λάμπρυνον Παρθένε, τὸ ζοφερὸν τῆς ἀγνοίας διώκουσα, τοὺς εὐσεβῶς Θεοτόκον σὲ καταγγέλλοντας.

Κακώσεως ἐν τόπῳ, τῷ τῆς ἀσθενείας, ταπεινωθέντα Παρθένε, θεράπευσον, ἐξ ἀῤῥωστίας εἰς ῥῶσιν μετασκευάζουσα.

**Καὶ εὐθὺς τὸ, Ἄξιον ἐστὶν ὡς ἀληθῶς.**

**Καὶ θυμιᾷ ὁ Ἱερεὺς τὸ Θυσιαστήριον, καὶ τὸν λαὸν, ἢ τὸν οἶκον, ὅπου ψάλλεται ἡ Παράκλησις· καὶ ἡμεῖς ψάλλομεν τὰ παρόντα Μεγαλυνάρια.**

Τὴν ὑψηλοτέραν τῶν οὐρανῶν, καὶ καθαρωτέραν, λαμπηδόνων ἡλιακῶν, τὴν λυτρωσαμένην ἡμᾶς ἐκ τῆς κατάρας, τὴν Δέσποιναν τοῦ κόσμου, ὕμνοις τιμήσωμεν.

Ἀπὸ τῶν πολλῶν μου ἁμαρτιῶν, ἀσθενεῖ τὸ σῶμα, ἀσθενεῖ μου καὶ ἡ ψυχή· πρὸς σὲ καταφεύγω τὴν Κεχαριτωμένην· ἐλπὶς ἀπηλπισμένων, σύ μοι βοήθησον.

Δέσποινα καὶ Μήτηρ τοῦ λυτρωτοῦ, δέξαι παρακλήσεις, ἀναξίων σῶν οἰκετῶν, ἵνα μεσιτεύσῃς πρὸς τὸν ἐκ σοῦ τεχθέντα· Ὦ Δέσποινα τοῦ κόσμου, γενοῦ μεσίτρια.

Ψάλλομεν προθύμως σοὶ τὴν ᾠδήν, νῦν τῇ πανυμνή-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ἀπόστολος Κωνσταμονίτης Βιβλιοθήκη Ἀπόστολος
Μουσείο Τυπάλδων Ιακωβάτων

τῳ, Θεοτόκῳ χαρμονικῶς. Μετὰ τοῦ Προδρόμου, καὶ πάντων τῶν Ἁγίων, δυσώπει Θεοτόκε τὸ οἰκτειρῆσαι ἡμᾶς.

Ἀλαλα τὰ χείλη τῶν ἀσεβῶν, τῶν μὴ προσκυνούντων, τὴν Εἰκόνα σου τὴν σεπτὴν, τὴν ἱστορηθεῖσαν ὑπὸ τοῦ Ἀποστόλου, Λουκᾶ ἱερωτάτου, τὴν Ὁδηγήτριαν.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαὶ, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκὰς, οἱ Ἅγιοι πάντες μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τὸ σωθῆναι ἡμᾶς.

Εἶτα Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστι. Καὶ τὰ Τροπάρια ταῦτα.

Ἦχος πλ. β΄.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς· πάσης γὰρ ἀπολογίας ἀπορούντες, ταύτην σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν. Ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν. Μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν· ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος, καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαός σου· πάντες ἔργα χειρῶν σου, καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

Καὶ νῦν, Θεοτοκίον.

Τῆς εὐσπλαγχνίας τὴν πύλην, ἄνοιξον ἡμῖν εὐλογημένη Θεοτόκε· ἐλπίζοντες εἰς σὲ, μὴ ἀστοχήσωμεν· ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων· σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Ὁ Ἱερεύς: Ἐλέησον ἡμᾶς ὁ Θεὸς, κ. τ. λ.

Καὶ μνημονεύσας πάλιν, ὑπὲρ ὧν ἡ Παράκλησις γίνεται, ποιεῖ τὴν Ἀπόλυσιν.

Μετ' αὐτὴν δὲ, ἐν ὅσῳ οἱ ἀδελφοὶ ἀσπάζονται τὴν Εἰκόνα τῆς Θεοτόκου, ψάλλονται τὰ παρόντα Τροπάρια.

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Πάντων προσατεύεις ἀγχθῆ, τῶν καταφευγόντων ἐν πίστει τῇ κραταιᾷ σου χειρί· ἄλλην γὰρ οὐκ ἐχομεν ἁμαρτωλοὶ πρὸς Θεὸν, ἐν κινδύνοις καὶ θλίψεσιν,

ΑΡΜΟΣΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗΣ

ἀεὶ μεσιτείαν, οἱ καταπαμπτόμενοι ὑπὸ πταισμάτων πολλῶν. Μῆτερ τοῦ Θεοῦ τοῦ ὑψίστου, ὅθεν σοι προσπίπτομεν. Ῥῦσαι πάσης περιστάσεως τοὺς δούλους σου.

Ὅμοιον.

Πάντων θλιβομένων ἡ χαρὰ, καὶ ἀδικουμένων προστάτις, καὶ πενομένων τροφὴ, ξένων τε παράκλησις, καὶ βακτηρία τυφλῶν, ἀσθενούντων ἐπίσκεψις, καταπονουμένων, σκέπη καὶ ἀντίληψις, καὶ ὀρφανῶν βοηθὸς, Μῆτερ τοῦ Θεοῦ τὸ ὑψίστου, σὺ ὑπάρχεις. Ἀχραντε σπεῦσον, δυσωποῦμεν, ῥύσασθαι τοὺς δούλους σου.

Ἦχος πλ. δ΄.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Ἦχος β΄.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου
Μουσείο Τυπάλδων Ιακωβάτων

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΜΕΓΑΛΟΥ ΠΑΡΑΚΛΗΤΙΚΟΥ ΚΑΝΟΝΟΣ

## ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ.

Μετὰ τὸν Εὐλογητὸν, καὶ τὰ λοιπὰ, ὅσα προγράφησαν σελ. 451-452. ἀρχόμεθα τοῦ Κανόνος.

Ποίημα τοῦ βασιλέως Θεοδώρου Δούκα τῦ Λασκάρεως.

### Ὠδὴ ά. Ἦχος πλ. δ΄. Ὁ Εἱρμός.

„Ἁρματηλάτην Φαραὼ ἐβύθισε, τερατουργοῦσα πο-„τὲ, Μωσαϊκὴ ῥάβδος, σαυροτύπως πλήξασα, καὶ διε-„λοῦσα θάλασσαν· Ἰσραὴλ δὲ φυγάδα, πεζὸν ὁδίτην „διέσωσεν, ᾆσμα τῷ Θεῷ ἀναμέλποντα.

Τροπάριον.

Τῶν λυπηρῶν ἐπαγωγαὶ χειμάζουσι, τὴν ταπεινήν μου ψυχὴν, καὶ συμφορῶν νέφη, τὴν ἐμὴν καλύπτουσι, καρδίαν Θεονύμφευτε· ἀλλ' ἡ φῶς τετοκυῖα, τὸ θεῖον καὶ προαιώνιον, λάμψον μοι τὸ φῶς τὸ χαρμόσυνον.

Ἐξ ἀμετρήτων ἀναγκῶν καὶ θλίψεων, καὶ ἐξ ἐχθρῶν δυσμενῶν, καὶ συμφορῶν βίου, λυτρωθεὶς Πανάχραντε, τῇ κραταιᾷ δυνάμει σου, ἀνυμνῶ μεγαλύνω, τὴν ἄμετρόν σου συμπάθειαν, καὶ τὴν εἰς ἐμέ σου παράκλησιν.

Νῦν πεποιθὼς ἐπὶ τὴν σὴν κατέφυγον, ἀντίληψιν κραταιὰν, καὶ πρὸς τὴν σὴν σκέπην, ὁλοψύχως ἔδραμον, καὶ γόνυ κλίνω Δέσποινα, καὶ θρηνῶ καὶ στενάζω, μὴ με παρίδῃς τὸν ἄθλιον, τῶν Χριστιανῶν καταφύγιον.

Οὐ σιωπήσω τοῦ βοᾶν τρανότατα, τὰ μεγαλεῖα τὰ σά· εἰμὴ γὰρ σὺ Κόρη, πάντοτε προΐστασο, ὑπὲρ ἐμοῦ

πρεσβεύουσα, τῷ Υἱῷ καὶ Θεῷ σου, τίς ἐκ τοσούτου μέ κλύδωνος, καὶ δεινῶν κινδύνων ἐρρύσατο;

Διάσωσον, ἀπὸ κινδύνων τοὺς δούλους σου Θεοτόκε, ὅτι πάντες μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν, ὡς ἄῤῥηκτον τεῖχος καὶ προστασίαν.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

## Ὠδὴ γ'. Ὁ Εἱρμός.

„ Οὐρανίας ἀψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλη-
„ σίας δομῆτορ, σύ με στερέωσον, ἐν τῇ ἀγάπῃ
„ τῇ σῇ τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στή-
„ ριγμα, μόνε φιλάνθρωπε.

## Τροπάριον.

Ἀπορήσας ἐκ πάντων, ἐδυνηρῶς κράζω σοι: Πρόφθα-σον θερμὴ προστασία, καὶ σὴν βοήθειαν, δός μοι τῷ δούλῳ σου, τῷ ταπεινῷ καὶ ἀθλίῳ, τῷ τὴν σὴν ἀντίληψιν ἐπιζητοῦντι θερμῶς.

Ἐθαυμάσωσας ὄντως, νῦν ἐπ' ἐμοὶ Δέσποινα, τὰς εὐερ-γεσίας σου Κόρη, καὶ τὰ ἐλέη σε· ὅθεν δοξάζω σε, καὶ ἀ-νυμνῶ καὶ γεραίρω, τὴν πολλὴν καὶ ἄμετρον κηδεμονίαν σε.

Καταιγίς με χειμάζει, τῶν συμφορῶν Δέσποινα, καὶ τῶν λυπηρῶν τρικυμίαι καταποντίζουσιν· ἀλλὰ προ-φθάσασα, χεῖρά μοι δὸς βοηθείας, ἡ θερμὴ ἀντίλη-ψις καὶ προστασία μου.

Ἀληθῆ Θεοτόκον, ὁμολογῶ Δέσποινα, σὲ τὴν τοῦ θανάτου τὸ κράτος ἐξαφανίσασαν· ὡς γὰρ φυσίζωος, ἐκ τῶν δεσμῶν τῶν τοῦ Ἅδου, πρὸς ζωὴν ἀνήγαγες, εἰς γῆν με ῥεύσαντα.

Διάσωσον, ἀπὸ κινδύνων τοὺς δούλους σου Θεοτόκε, ὅτι πάντες μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν, ὡς ἄῤῥηκτον τεῖχος καὶ προστασίαν.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

ΔΗΜΟΣΙΕΥΣΙΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

## Κάθισμα, Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Πρεσβεία θερμὴ, καὶ τεῖχος ἀπροσμάχητον, ἐλέους πηγὴ, τοῦ κόσμου καταφύγιον, ἐκτενῶς βοῶμέν σοι: Θεοτόκε Δέσποινα πρόφθασον, καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, ἡ μόνη ταχέως προστατεύουσα.

## Ὠδὴ δ΄. Ὁ Εἱρμός.

„ Σύ μου ἰσχὺς, Κύριε, σύ μου καὶ δύναμις, σὺ Θεός „ μου, σύ μου ἀγαλλίαμα, ὁ πατρικοὺς κόλπους „ μὴ λιπὼν, καὶ τὴν ἡμετέραν, πτωχείαν ἐπισκεψάμε- „ νος· διὸ σὺν τῷ Προφήτῃ, Ἀββακοὺμ σοὶ κραυγάζω: „ Τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

## Τροπάριον.

Καὶ ποῦ λοιπὸν, ἄλλην εὑρήσω ἀντίληψιν; ποῦ προσφύγω; ποῦ δὲ καὶ σωθήσομαι; τίνα θερμὴν ἔξω βοηθὸν, θλίψεσι τοῦ βίου, καὶ ζάλαις οἴμοι κλονούμενος; Εἰς σὲ μόνην ἐλπίζω, καὶ θαῤῥῶ, καὶ καυχῶμαι, καὶ προστρέχω τῇ σκέπῃ σου, σῶσόν με.

Τὸν ποταμὸν, τὸν γλυκερὸν τοῦ ἐλέους σου, τὸν πλεσίαις, δωρεαῖς δροσίσαντα, τὴν παναθλίαν καὶ ταπεινὴν, Πάναγνε ψυχήν μου, τῶν συμφορῶν καὶ τῶν θλίψεων, καμίνῳ φλογισθεῖσαν, μεγαλύνω, κηρύττω, καὶ προστρέχω τῇ σκέπῃ σου, σῶσόν με.

Σὲ τὴν ἁγνὴν, σὲ τὴν Παρθένον καὶ ἄσπιλον, μόνην φέρω, τεῖχος ἀπροσμάχητον, καταφυγὴν, σκέπην κραταιὰν, ὅπλον σωτηρίας. Μή με παρίδῃς τὸν ἄσωτον, ἐλπὶς ἀπηλπισμένων, ἀσθενῶν συμμαχία, θλιβομένων χαρὰ καὶ ἀντίληψις.

Πῶς ἐξειπεῖν, σοῦ κατ' ἀξίαν δυνήσομαι, τοὺς ἀμέτρους οἰκτιρμοὺς, ὦ Δέσποινα, τοὺς τὴν ἐμὴν πάντοτε ψυχὴν, δεινῶς πυρουμένην, ὡς ὕδωρ περιδροσίσαντας; Ἀλλ' ὦ τῆς σῆς προνοίας, καὶ τῆς εὐεργεσίας, ἧς ἀφθόνως αὐτὸς παραπήλαυσα!

Διάσωσον, ἀπὸ κινδύνων τοὺς δούλους σου Θεοτόκε, ὅτι πάντες μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν, ὡς ἄρρηκτον τεῖχος καὶ προστασίαν.

Ανωτάτη Καστορική Βιβλιοθήκη Λεβαδείου - Μουσείο Τυπαλόων Ιακωβατών

Ἐπίβλεψον ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματός κάκωσιν· καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

## Ὠδὴ έ. Ὁ Εἱρμός.

„ Ἵνα τί με ἀπώσω, ἀπὸ τοῦ προσώπου σου, τὸ φῶς τὸ
„ ἄδυτον, καὶ ἐκάλυψέ με, τὸ ἀλλότριον σκότος τὸν
„ δείλαιον; ἀλλ' ἐπίστρεψόν με, καὶ πρὸς τὸ φῶς τῶν
„ ἐντολῶν σου, τὰς ὁδούς μου κατεύθυνον δέομαι.

## Τροπάριον.

Εὐχαρίστως βοῶ σοι: Χαῖρε Μητροπάρθενε· χαῖρε Θεόνυμφε· χαῖρε θεία σκέπη· χαῖρε ὅπλον, καὶ τεῖχος ἀπόρθητον· χαῖρε προστασία, καὶ βοηθὲ καὶ σωτηρία, τῶν εἰς σὲ προστρεχόντων ἐκ πίστεως.

Οἱ μισοῦντές με μάτην, βέλεμνα, καὶ ξίφη, καὶ λάκκον ηὑτρέπισαν, καὶ ἐπιζητοῦσι, τὸ παναθλιον σῶμα σπαράξαι μου, καὶ καταβιβάσαι, πρὸς γῆν Ἀγνὴ ἐπιζητοῦσιν· ἀλλ' ἐκ τούτων προφθάσασα σῶσόν με.

Ἀπὸ πάσης ἀνάγκης, θλίψεως, καὶ νόσου, καὶ βλάβης με λύτρωσαι· καὶ τῇ σῇ δυνάμει, ἐν τῇ σκέπῃ σου φύλαξον ἄτρωτον, ἐκ παντὸς κινδύνου, καὶ ἐξ ἐχθρῶν τῶν πολεμούντων, καὶ μισούντων με, Κόρη πανύμνητε.

Τίσοι δῶρον προσάξω, τῆς εὐχαριστίας, ἀνθ' ὧν περ ἀπήλαυσα, τῶν σῶν δωρημάτων, καὶ τῆς σῆς ἀμετρήτου χρηστότητος; Τοιγαροῦν δοξάζω, ὑμνολογῶ, καὶ μεγαλύνω, σοῦ τὴν ἄφατον πρός με συμπάθειαν.

Διάσωσον, ἀπὸ κινδύνων τοὺς δούλους σου Θεοτόκε, ὅτι πάντες μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν, ὡς ἄῤῥηκτον τεῖχος καὶ προστασίαν.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

## Ὠδὴ ς'. Ὁ Εἱρμός.

„ Τὴν δέησιν ἐκχέω πρὸς Κύριον, καὶ αὐτῷ ἀπαγγε-
„ λῶ μου τὰς θλίψεις, ὅτι κακῶν ἡ ψυχή μου ἐ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λιβερίου
Μουσείο Γουλανδρή Χαρακτικών

„πλήσθη, καὶ ἡ ζωήμου τῷ Ἅδῃ προσήγγισε· καὶ δέο-
„μαι ὡς Ἰωνᾶς: Ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.

## Τροπάριον.

Τὰ νέφη τῶν λυπηρῶν ἐκάλυψαν, τὴν ἀθλίαν μου ψυχὴν καὶ καρδίαν, καὶ σκοτασμὸν, ἐμποιοῦσί μοι Κόρη· ἀλλ' ἡ γεννήσασα φῶς τὸ ἀπρόσιτον, ἀπέλασον ταῦτα μακρὰν, τῇ ἐμπνεύσει τῆς θείας πρεσβείας σου.

Παράκλησιν ἐν ταῖς θλίψεσιν οἶδα, καὶ τῶν νόσων ἰατρόν σε γινώσκω, καὶ παντελῆ συντριμμὸν τοῦ θανάτου, καὶ ποταμὸν τῆς ζωῆς ἀνεξάντλητον, καὶ πάντων τῶν ἐν συμφοραῖς, ταχινὴν καὶ ὀξεῖαν ἀντίληψιν.

Οὐ κρύπτω σου τὸν βυθὸν τοῦ ἐλέους, καὶ τὴν βρύσιν τῶν ἀπείρων θαυμάτων, καὶ τὴν πηγὴν τὴν ἀένναον ὄντως, τῆς πρὸς ἐμὲ συμπαθείας σου Δέσποινα· ἀλλ' ἅπασιν ὁμολογῶ, καὶ βοῶ, καὶ κηρύττω, καὶ φθέγγομαι.

Ἐκύκλωσαν αἱ τοῦ βίου με ζάλαι, ὥσπερ μέλισσαι κηρίον Παρθένε, καὶ τὴν ἐμὴν κατασχοῦσαι καρδίαν, κατατιτρώσκουσι βέλει τῶν θλίψεων· ἀλλ' εὑροιμί σε βοηθὸν, καὶ διώκτην, καὶ ῥύστην πανάχραντε.

Διάσωσον, ἀπὸ κινδύνων τοὺς δούλους σου Θεοτόκε ὅτι πάντες μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν, ὡς ἄῤῥηκτον τεῖχος καὶ προστασίαν.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

## Κοντάκιον, Ἦχος β'.

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον ὡς ἀγαθὴ, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι. Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεὶ Θεοτόκε, τῶν τιμώντων σε.

ΑΠΟΣΠΑΣΜΑ ΒΙΒΛΙΟΘΗΚΗΣ
Δημοτική Κεντρική Βιβλιοθήκη Μεσολογγίου - Μουσείο Τυπολαξευτών Αντιβραχίων

## ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν. Κεφ. ί. 38. καὶ ιά. 27.

Τῷ καιρῷ ἐκείνῳ, εἰσῆλθεν ὁ Ἰησοῦς εἰς κώμην τινά· γυνὴ δέ τις, ὀνόματι Μάρθα, ὑπεδέξατο αὐτὸν εἰς τὸν οἶκον αὐτῆς. Καὶ τῇδε ἦν ἀδελφὴ, καλουμένη Μαρία, ἥ καὶ παρακαθίσασα παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, ἤκουε τῶν λόγων αὐτοῦ· ἡ δὲ Μάρθα περιεσπᾶτο περὶ πολλὴν διακονίαν· ἐπιστᾶσα δὲ εἶπε: Κύριε, οὐ μέλει σοι, ὅτι ἡ ἀδελφή μου μόνην με κατέλιπε διακονεῖν; εἰπὲ οὖν αὐτῇ, ἵνα μοι συναντιλάβηται. Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτῇ: Μάρθα, Μάρθα, μεριμνᾷς καὶ τυρβάζῃ περὶ πολλά· ἑνὸς δέ ἐστι χρεία· Μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς. Ἐγένετο δὲ, ἐν τῷ λέγειν αὐτὸν ταῦτα, ἐπάρασά τις γυνὴ φωνὴν ἐκ τοῦ ὄχλου, εἶπεν αὐτῷ: Μακαρία ἡ κοιλία ἡ βαστάσασά σε, καὶ μαστοὶ οὓς ἐθήλασας. Αὐτὸς δὲ εἶπε: Μενοῦνγε μακάριοι οἱ ἀκούοντες τὸν λόγον τοῦ Θεοῦ, καὶ φυλάσσοντες αὐτόν.

Μετὰ ταῦτα λέγε, ὅσα προεγράφησαν, σελ. 457-458.

### Εἶτα τὰς λοιπὰς Ὠδὰς τοῦ Κανόνος.

### Ὠδὴ ζ'. Ὁ Εἱρμός.

„Παῖδες Ἑβραίων ἐν καμίνῳ, κατεπάτησαν τὴν φλόγα θαρσαλέως, καὶ εἰς δρόσον τὸ πῦρ, μετέβαλον βοῶντες: Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς εἰς τοὺς „αἰῶνας.

### Τροπάριον.

Φῶς ἡ τεκοῦσα Θεοτόκε, σκοτισθέντα με νυκτὶ ἁμαρτημάτων, φωταγώγησον σὺ, φωτὸς οὖσα δοχεῖον, τὸ καθαρὸν καὶ ἄμωμον, ἵνα πόθῳ σε δοξάζω. Σκέπη γενοῦ καὶ προστασία, καὶ ἀντίληψις, καὶ καύχημα Παρθένε, γυμνωθέντι μοι νῦν, ἀπάσης βοηθείας, ἀβοηθήτων δύναμις, καὶ ἐλπὶς ἀπηλπισμένων. Ὅλη ψυχῇ καὶ διανοίᾳ, καὶ καρδίᾳ σε καὶ χείλε-

σι δοξάζω, ἀπολαύσας τῶν σῶν μεγάλων χαρισμάτων. Ἀλλ' ὦ τῆς σῆς χρηστότητος, καὶ ἀπείρων σου θαυμάτων!

Βλέψον ἱλεῷ ὄμματί σου, καὶ ἐπίσκεψαι τὴν κάκωσιν, ἣν ἔχω· καὶ δεινῶν συμφορῶν, καὶ βλάβης καὶ κινδύνων, καὶ πειρασμῶν με λύτρωσαι, ἀμετρήτῳ σε ἐλέει.

Διάσωσον, ἀπὸ κινδύνων τοὺς δούλους σου Θεοτόκε, ὅτι πάντες μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν, ὡς ἄῤῥηκτον τεῖχος καὶ προστασίαν.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

## Ὠδὴ ἡ. Ὁ Εἱρμός.

„Τὸν ἐν ὄρει, ἁγίῳ δοξασθέντα, καὶ ἐν βάτῳ, πυρὶ „ τὸ τῆς Ἀειπαρθένου, τῷ Μωϋσῇ μυστήριον γνω„ρίσαντα, Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάν„τας τοὺς αἰῶνας.

## Τροπάριον.

Διὰ σπλάγχνα ἐλέους σου, Παρθένε, μὴ παρίδῃς σε μνηῆ, ποντούμενόν με σάλῳ, βιωτικῶν κυμάτων· ἀλλὰ δίδου μοι, χεῖρα βοηθείας, καταπονουμένῳ κακώσεσι τοῦ βίου.

Περιστάσεις, καὶ θλίψεις, καὶ ἀνάγκαι, εὗρόσάν με Ἀγνὴ, καὶ συμφοραὶ τοῦ βίου, καὶ πειρασμοί με πάντοθεν ἐκύκλωσαν· ἀλλὰ πρόστηθί μοι, καὶ ἀντιλαβοῦ μου τῇ κραταιᾷ σου σκέπῃ.

Ἐν ταῖς ζάλαις, ἐφεῦρόν σε λιμένα· ἐν ταῖς λίπαις, χαρὰν καὶ εὐφροσύνην· καὶ ἐν ταῖς νόσοις ταχινὴν βοήθειαν· καὶ ἐν τοῖς κινδύνοις ῥύστην· καὶ προστάτιν ἐν τοῖς πειρατηρίοις.

Χαῖρε θρόνε, πυρίμορφε Κυρίου· χαῖρε θεία, καὶ μανναδόχε στάμνε· χαῖρε χρυσῆ λυχνία, λαμπὰς ἄσβεστε· χαῖρε τῶν παρθένων δόξα, καὶ μητέρων ὡραϊσμα καὶ κλέος.

Διάσωσον, ἀπὸ κινδύνων τοὺς δούλους σου Θεοτόκε,

ΨΗΦΙΣΜΕΝΗ ΒΙΒΛΙΟΘΗΚΗ
Ψηφιακή Βιβλιοθήκη Ιερού Ναού Αγίων Τριών Παίδων Ιακωβάτων

ὅτι πάντες μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν, ὡς ἄῤῥηκτον τεῖχος καὶ προστασίαν.

Ἐπίβλεψον ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

## Ὠδὴ Θ'. Ὁ Εἱρμός.

„ Ἔξέχη ἐπὶ τούτῳ ὁ οὐρανὸς, καὶ τῆς γῆς κατεπλά-
„ γη τὰ πέρατα, ὅτι Θεὸς, ὤφθη τοῖς ἀνθρώποις
„ σωματικῶς, καὶ ἡ γαστήρ σου γέγονεν, εὐρυχωροτέρα
„ τῶν οὐρανῶν· διό σε Θεοτόκε, Ἀγγέλων καὶ ἀνθρώ-
„ πων, ταξιαρχίαι μεγαλύνουσιν.

## Τροπάριον.

Πρὸς τίνα καταφύγω ἄλλην Ἁγνή; ποῦ προσδράμω λοιπὸν, καὶ σωθήσομαι; ποῦ πορευθῶ; ποίαν δὲ ἐφεύρω καταφυγήν; ποίαν θερμὴν ἀντίληψιν; ποίαν ἐν ταῖς θλίψεσι βοηθόν; Εἰς σὲ μόνην ἐλπίζω, εἰς σὲ μόνην καυχῶμαι, καὶ ἐπὶ σὲ θαῤῥῶν κατέφυγον.

Οὐκ ἔστιν ἀριθμήσασθαι δυνατὸν, μεγαλεῖα τὰ σὰ Θεονύμφευτε, καὶ τὸν βυθὸν, τὸν ἀνεξερεύνητον ἐξειπεῖν, τῶν ὑπὲρ νοῦν θαυμάτων σου, τῶν τετελεσμένων διηνεκῶς, τοῖς πόθῳ σε τιμῶσι, καὶ πίστει προσκυνοῦσιν, ὡς ἀληθῆ Θεοῦ λοχεύτριαν.

Ἐν ὕμνοις εὐχαρίστοις δοξολογῶ, καὶ γεραίρω τὸ ἄμετρον ἔλεος, καὶ τὴν πολλὴν, δύναμίν σου πᾶσιν ὁμολογῶ· καὶ τὰς εὐεργεσίας σου, ἃς ὑπερεκένωσας εἰς ἐμὲ, κηρύττω, μεγαλύνω, ψυχῇ τε καὶ καρδίᾳ, καὶ λογισμῷ καὶ γλώσσῃ πάντοτε.

Τὴν δέησίν μου δέξαι τὴν πενιχρὰν, καὶ κλαυθμὸν μὴ παρίδῃς, καὶ δάκρυα, καὶ στεναγμόν· ἀλλ' ἀντιλαβοῦ μου, ὡς ἀγαθὴ, καὶ τὰς αἰτήσεις πλήρωσον· δύνασαι γὰρ πάντα, ὡς πανσθενοῦς, Δεσπότου Θεὸ Μήτηρ, εἰ νεύσεις ἔτι μόνον, πρὸς τὴν ἐμὴν οἰκτρὰν ταπείνωσιν.

Δίσωσον, ἀπὸ κινδύνων τοὺς δούλους σου Θεοτόκε, ὅτι πάντες μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν, ὡς ἄῤῥηκτον τεῖχος καὶ προστασίαν.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λέσβου
Μουσείο Τυπογραφίων Ιονικών Νήσων

Ἐπίβλεψον ἐν εὐμενείᾳ, παναμώμητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Καὶ τὰ ἑξῆς, ὅσα προεγράφησαν σελ. 461-462. Μετὰ δὲ τὸ Τρισάγιον, ψάλλομεν ἀργότερον, καὶ ἐγγωνοτέρᾳ τῇ φωνῇ, τὰ παρόντα Ἐξαποστειλάρια.

Ἦχος γ'.

Ἀπόστολοι ἐκ περάτων, συναθροισθέντες ἐνθάδε, Γεθσημανῇ τῷ χωρίῳ, κηδεύσατέ μου τὸ σῶμα· καὶ σὺ Υἱὲ καὶ Θεέ μου, παράλαβέ μου τὸ πνεῦμα.

Ὁ γλυκασμὸς τῶν Ἀγγέλων, τῶν θλιβομένων ἡ χαρά, Χριστιανῶν ἡ προστάτις, Παρθένε Μήτηρ Κυρίου, ἀντιλαβοῦ μου καὶ ῥῦσαι, τῶν αἰωνίων βασάνων.

Καὶ σὲ μεσίτριαν ἔχω, πρὸς τὸν φιλάνθρωπον Θεόν· μὴ μὲ ἐλέγξῃ τὰς πράξεις, ἐνώπιον τῶν Ἀγγέλων. Παρακαλῶ σε Παρθένε, βοήθησόν μοι ἐν τάχει.

Χρυσοπλοκώτατε πύργε, καὶ δωδεκάτειχε πόλις, ἡλιοστάλακτε θρόνε, καθέδρα τοῦ Βασιλέως, ἀκατανόητον θαῦμα, πῶς γαλουχεῖς τὸν Δεσπότην.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπλάδων Ιακωβάτων




Ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ.

Ἰωάν. ϛ'. 56.

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΗΣ ΘΕΙΑΣ

## ΜΕΤΑΛΗΨΕΩΣ.

Μέλλων προσελθεῖν τοῖς ἀχράντοις Μυστηρίοις, μετὰ τὴν ἀφ' ἑσπέρας εἰθισμένην Ἀκολουθίαν τοῦ Ἀποδείπνου, σελ. 159. ἕως τέλους τοῦ, Πιστεύω εἰς ἕνα Θεὸν, λέγε μετὰ κατανύξεως τὸν παρόντα Κανόνα, οὗ ἡ ἀκροστιχὶς, κατὰ Ἀλφάβητον.

Ὠδὴ ά. Ἦχος β'. Δεῦτε λαοί.

Ἄρτος ζωῆς, αἰωνιζούσης γενέσθω μοι, τὸ Σῶμά σου τὸ ἅγιον, εὔσπλαγχνε Κύριε, καὶ τὸ τίμιον Αἷμα, καὶ νόσων πολυτρόπων ἀλεξητήριον.

Βεβηλωθεὶς, ἔργοις ἀτόποις ὁ δείλαιος, τοῦ σοῦ ἀχράντου Σώματος, καὶ θείου Αἵματος, ἀνάξιος ὑπάρχω, Χριστὲ τῆς μετουσίας, ἧς με ἀξίωσον.

Θεοτοκίον.

Γῆ ἀγαθὴ, εὐλογημένη Θεόνυμφε, τὸν γάχυν ἡ Βλαστήσασα τὸν ἀγεώργητον, καὶ σωτήριον κόσμῳ, ἀξίωσόν με τοῦτον τρώγοντα σώζεσθαι.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

„Ἐν πέτρᾳ με τῆς πίστεως στερεώσας, ἐπλάτυνας „τὸ στόμα μου ἐπ' ἐχθρούς μου· εὐφράνθη γὰρ „τὸ πνεῦμά μου ἐν τῷ ψάλλειν· Οὐκ ἔστιν ἅγιος, ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος, πλὴν σου Κύριε.

Τροπάριον.

Δακρύων μοι παράσχου, Χριστὲ ῥανίδας, τὸν ῥύπον τῆς καρδίας μου καθαιρούσας, ὡς ἂν εὐσυνειδότως κε-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Δημοσίου - Μουσείο Μπενάκη

καθαρμένος, πίστει προσέρχωμαι, καὶ φόβῳ Δέσποτα, ἐν τῇ μεταλήψει τῶν θείων Δώρων σου.

Εἰς ἄφεσιν γενέσθω μοι τῶν πταισμάτων, τὸ ἄχραντόν σου Σῶμα καὶ θεῖον Αἷμα, εἰς Πνεύματος ἁγίου τε κοινωνίαν, καὶ εἰς αἰώνιον ζωὴν φιλάνθρωπε, καὶ παθῶν καὶ θλίψεων ἀλλοτρίωσιν.

Θεοτοκίον.

Ζωῆς τοῦ Ἄρτου τράπεζα Παναγία, τοῦ ἄνωθεν δι' ἔλεον καταβάντος, καὶ κόσμῳ καινοτέραν ζωὴν διδόντος, κἀμὲ ἀξίωσον νῦν τὸν ἀνάξιον, μετὰ φόβου γεύσασθαι τούτου καὶ ζήσεσθαι.

Ὠδὴ δ'. Ἐλήλυθας ἐκ Παρθένου.

Ἠθέλησας, δι' ἡμᾶς σαρκωθεὶς πολυέλεε, τυθῆναι ὡς πρόβατον, διὰ βροτῶν ἁμαρτήματα· ὅθεν ἱκετεύω σε, καὶ τὰ ἐμὰ ἐξαλεῖψαι πλημμελήματα.

Θεράπευσον, τῆς ψυχῆς μου τὰ τραύματα Κύριε, καὶ ὅλον ἁγίασον, καὶ καταξίωσον Δέσποτα, ὅπως κοινωνήσω σου, τοῦ μυστικοῦ θείου Δείπνου ὁ ταλαίπωρος.

Θεοτοκίον.

Ἱλέωσαι, καὶ ἐμοὶ τὸν ἐκ σπλάγχνων σου Δέσποινα, καὶ τήρει με ἄρρυπον, τὸν σὸν ἱκέτην καὶ ἄμεμπτον, ὅπως εἰσδεχόμενος, τὸν νοητὸν μαργαρίτην ἁγιάζωμαι.

Ὠδὴ ε'. Ὁ τοῦ φωτὸς χορηγός.

Καθὼς προέφης Χριστέ, γενέσθω δὴ τῷ εὐτελεῖ δούλῳ σου· καὶ ἐν ἐμοί, μεῖνον ὡς ὑπέσχου· ἰδοὺ γὰρ τὸ Σῶμα, τρώγω σου τὸ θεῖον, καὶ πίνω τὸ Αἷμά σου.

Λόγε Θεοῦ καὶ Θεέ, ὁ ἄνθραξ γένοιτο τοῦ σοῦ Σώματος, εἰς φωτισμὸν τῷ ἐσκοτισμένῳ ἐμοὶ καὶ καθαρισμόν, τῆς βεβηλωθείσης ψυχῆς μου τὸ Αἷμά σου.

Θεοτοκίον.

Μαρία Μήτηρ Θεοῦ, τῆς εὐωδίας τὸ σεπτὸν σκήνωμα, ταῖς σαῖς εὐχαῖς, σκεῦος ἐκλογῆς με ἀπέργασαι, ὅπως τῶν ἁγιασμάτων μετέχω τοῦ τόκου σου.

Ὠδὴ ς'. Ἐν ἀβύσσῳ πταισμάτων.

Νοῦν ψυχὴν καὶ καρδίαν ἁγίασον, Σῶτερ καὶ τὸ σῶμά μου, καὶ καταξίωσον, ἀκατακρίτως Δέσποτα, τοῖς φρικτοῖς Μυστηρίοις προσέρχεσθαι.

Ἐνωθείην παθῶν, καὶ τῆς χάριτος, σχοίην τε πρόσθήκην, ζωῆς τε ἀσφάλειαν, διὰ τῆς μεταλήψεως, τῶν ἁγίων Χριστὲ Μυστηρίων σου.

Θεοτοκίον.

Ὁ Θεοῦ Θεὸς Λόγος ὁ ἅγιος, ὅλον με ἁγίασον, νῦν προσερχόμενον, τοῖς θείοις Μυστηρίοις σου, τῆς ἁγίας Μητρός σου δεήσεσιν.

Κοντάκιον, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τὸν Ἄρτον Χριστὲ, λαβεῖν μὴ ὑπερίδῃς με, τὸ Σῶμα τὸ σὸν, καὶ τὸ θεῖον νῦν Αἷμά σου, τῶν ἀχράντων Δέσποτα, καὶ φρικτῶν Μυστηρίων σου, μετασχεῖν τῷ ἀθλίῳ, μὴ εἰς κρίμα μοι γένοιτο· γένοιτο δέ μοι εἰς ζωὴν αἰώνιον καὶ ἀθάνατον.

Ὠδὴ ζ'. Εἰκόνος χρυσῆς.

Πηγὴ ἀγαθῶν, ἡ μετάληψις Χριστὲ τῶν ἀθανάτων σου, νῦν Μυστηρίων γενηθήτω μοι, φῶς καὶ ζωὴ καὶ ἀπάθεια, καὶ πρὸς ἀρετῆς θειοτέρας, προκοπὴν καὶ ἐπίδοσιν, πρόξενος μόνε ἀγαθὲ, ὅπως δοξάζω σε.

Ῥυσθείην παθῶν, καὶ ἐχθρῶν, καὶ ἀναγκῶν, καὶ πάσης θλίψεως, τρόμῳ καὶ πόθῳ προσιὼν ταννῦν, μετ' εὐλαβείας φιλάνθρωπε, σοῦ τοῖς ἀθανάτοις, καὶ θείοις Μυστηρίοις, καὶ ψάλλων σοι: Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν. Θεοτοκίον.

Σωτῆρα Χριστὸν, ἡ τεκοῦσα ὑπὲρ νοῦν, Θεοχαρίτωτε, ἐκδυσωπῶ σε νῦν ὁ δοῦλός σου, τὴν καθαρὰν ὁ ἀκάθαρτος. Μέλλοντά με νῦν τοῖς ἀχράντοις Μυστηρίοις προσέρχεσθαι, κάθαρον ὅλον μολυσμοῦ, σαρκὸς καὶ πνεύματος.

Ὠδὴ η'. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Τῶν οὐρανίων καὶ φρικτῶν, καὶ ἁγίων σου Χριστὲ νῦν Μυστηρίων, καὶ τοῦ θείου σου Δείπνου καὶ μυστι-

ΑΠΟΚΛΕΙΣΤΗ ΒΙΒΛΙΟΘΗΚΗ

κοῦ, κοινωνὸν γενέσθαι κἀμὲ καταξίωσον, τὸν ἀπεγνωσμένον ὁ Θεὸς Σωτήρμου.

Ὑπὸ τὴν σὴν καταφυγὼν, εὐσπλαγχνίαν ἀγαθὲ, κράζωσοι φόβῳ: Ἐν ἐμοὶ μεῖνον Σῶτερ, κἀγὼ ὡς ἔφης ἐν σοί· ἰδοὺ γὰρ, θαῤῥῶν τῷ ἐλέει σου, τρώγω σου τὸ Σῶμα, καὶ πίνω σου τὸ Αἷμα.

Θεοτοκίον.

Φρίττω δεχόμενος τὸ πῦρ, μὴ φλεχθῶ ὡσεὶ κηρὸς καὶ ὡσεὶ χόρτος. Ὦ φρικτοῦ Μυστηρίου! ὦ εὐσπλαγχνίας Θεοῦ! Πῶς θείου Σώματος καὶ Αἵματος, ὁ πηλὸς μετέχω, καὶ ἀφθαρτοποιοῦμαι;

Ὠδὴ Θ'. Ἀνάρχου γεννήτορος.

Χριστός ἐστι γεύσασθε, καὶ ἴδετε ὁ Κύριος· δι' ἡμᾶς καθ' ἡμᾶς γὰρ πάλαι γενόμενος, ἅπαξ ἑαυτόν τε προσάξας, ὡς προσφορὰν, Πατρὶ τῷ ἰδίῳ, ἀεὶ σφαγιάζεται, ἁγιάζων τοὺς μετέχοντας.

Ψυχὴν σὺν τῷ σώματι, ἁγιασθείην Δέσποτα, φωτισθείην, σωθείην, γενοίμην οἶκός σου, τῇ τῶν Μυστηρίων μεθέξει τῶν ἱερῶν, ἔνοικόν σε ἔχων, σὺν Πατρὶ καὶ Πνεύματι, εὐεργέτα πολυέλεε.

Ὡς πῦρ γενηθήτω μοι, καὶ ὡσεὶ φῶς τὸ Σῶμά σου, καὶ τὸ Αἷμα Σωτήρμου τὸ τιμιώτατον, φλέγον ἁμαρτίας τὴν ὕλην, καὶ ἐμπιπρῶν παθῶν τὰς ἀκάνθας, καὶ ὅλον φωτίζον με, προσκυνεῖν σου τὴν Θεότητα.

Θεοτοκίον.

Θεὸς σεσωμάτωται, ἐκ τῶν ἁγνῶν αἱμάτων σε· ὅθεν πάσα ὑμνεῖ σε γενεὰ Δέσποινα· Νόων τε τὰ πλήθη δοξάζει, ὡς διὰ σοῦ σαφῶς κατιδόντα, τὸν πάντων δεσπόζοντα, οὐσιωθέντα τὸ ἀνθρώπινον.

Καὶ εὐθὺς τὸ, Ἄξιόν ἐστιν ὡς ἀληθῶς. Τρισάγιον. Παναγία Τριάς· Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστι. Καὶ τὰ λοιπὰ τοῦ Ἀποδείπνου, καὶ ἀπόλυσις.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ΤΗ ΔΕ ΕΠΑΥΡΙΟΝ.

Μετὰ τὴν συνήθη Ἑωθινὴν προσευχήν, λέγε: Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστι. Κύριε ἐλέησον ιβ'. Δόξα, καὶ νῦν. Δεῦτε προσκυνήσωμεν γ'. καὶ τοὺς ἑπομένους ψαλμούς.

## ΨΑΛΜΟΣ κβ'. 22.

Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν.

Ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με· τὴν ψυχήν μου ἐπέστρεψεν.

Ὡδήγησέ με ἐπὶ τρίβους δικαιοσύνης, ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ.

Ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ' ἐμοῦ εἶ.

Ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου, αὗταί με παρεκάλεσαν.

Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν, ἐξ ἐναντίας τῶν θλιβόντων με.

Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου· καὶ τὸ ποτήριόν σου μεθύσκον με ὡσεὶ κράτιστον.

Καὶ τὸ ἔλεός σου καταδιώξει με, πάσας τὰς ἡμέρας τῆς ζωῆς μου.

Καὶ τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίου, εἰς μακρότητα ἡμερῶν.

## ΨΑΛΜΟΣ κγ'. 23.

Τοῦ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς· ἡ οἰκουμένη, καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ.

Αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτήν, καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτήν.

Τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ Κυρίου; ἢ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ;

Ἀθῷος χερσὶ, καὶ καθαρὸς τῇ καρδίᾳ, ὃς οὐκ ἔλα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ιερά Μονή Κωνστα Βιβλιοθήκη Λιμενάρι - Μονή Ιωάννου Ιακωβάτων

βεν ἐπὶ ματαίῳ τὴν ψυχὴν αὐτοῦ, καὶ οὐκ ὤμοσεν ἐπὶ δόλῳ τῷ πλησίον αὐτοῦ.

Οὗτος λήψεται εὐλογίαν παρὰ Κυρίου, καὶ ἐλεημοσύνην παρὰ Θεοῦ σωτῆρος αὐτοῦ.

Αὕτη ἡ γενεὰ ζητούντων τὸν Κύριον, ζητούντων τὸ πρόσωπον τοῦ Θεοῦ Ἰακώβ.

Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν· καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης.

Τίς ἐστιν οὗτος ὁ Βασιλεὺς τῆς δόξης; Κύριος κραταιὸς καὶ δυνατὸς, Κύριος δυνατὸς ἐν πολέμῳ.

Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν· καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης.

Τίς ἐστιν οὗτος ὁ Βασιλεὺς τῆς δόξης; Κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ Βασιλεὺς τῆς δόξης.

## ΨΑΛΜΟΣ ριέ. 115.

Ἐπίστευσα, διὸ ἐλάλησα· ἐγὼ δὲ ἐταπεινώθην σφόδρα.

Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου: Πᾶς ἄνθρωπος ψεύστης.

Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι;

Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι.

Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω, ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ.

Ὦ Κύριε, ἐγὼ δοῦλος σὸς, ἐγὼ δοῦλος σὸς καὶ υἱὸς τῆς παιδίσκης σου· διέρρηξας τοὺς δεσμούς μου.

Σοὶ θύσω θυσίαν αἰνέσεως, καὶ ἐν ὀνόματι Κυρίου ἐπικαλέσομαι.

Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω, ἐναντίον παντὸς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ψηφιακή Βιβλιοθήκη Θεσσαλονίκης
Νομικό Τυπάλδων Ιακωβάτων

τοῦ λαοῦ αὐτοῦ, ἐν αὐλαῖς οἴκου Κυρίου, ἐν μέσῳ σου Ἱερουσαλήμ.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα γ'. Κύριε ἐλέησον γ'. Καὶ τὰ παρόντα Τροπάρια.

Ἦχος πλ. β'.

Τὰς ἀνομίας μου πάριδε Κύριε, ὁ ἐκ Παρθένου τεχθείς, καὶ τὴν καρδίαν μου καθάρισον, ναὸν αὐτὴν ποιῶν τοῦ ἀχράντου σου Σώματος καὶ Αἵματος· μὴ με ἐξουδενώσῃς ἀπὸ τοῦ προσώπου, ὁ ἀμέτρητον ἔχων τὸ μέγα ἔλεος.

Δόξα.

Εἰς τὴν μετάληψιν τῶν ἁγιασμάτων σου, πῶς ἀναιδεσθῶ ὁ ἀνάξιος; ἐάν γὰρ τολμήσω σοι προσελθεῖν σὺν τοῖς ἀξίοις, ὁ χιτών με ἐλέγχει, ὅτι οὐκ ἔστι τοῦ Δείπνου, καὶ κατάκρισιν προξενήσω τῇ πολυαμαρτήτῳ μοι ψυχῇ. Καθάρισον Κύριε, τὸν ῥύπον τῆς ψυχῆς μου, καὶ σῶσόν με ὡς φιλάνθρωπος.

Καὶ νῦν, Θεοτοκίον.

Πολλὰ τὰ πλήθη τῶν ἐμῶν Θεοτόκε πταισμάτων· πρὸς σὲ κατέφυγον ἁγνή, σωτηρίας δεόμενος. Ἐπίσκεψαι τὴν ἀσθενοῦσάν μου ψυχήν, καὶ πρέσβευε τῷ Υἱῷ σου καὶ Θεῷ ἡμῶν, δοθῆναί μοι τὴν ἄφεσιν, ὧν ἔπραξα δεινῶν, μόνη εὐλογημένη.

Τῇ δὲ ἁγίᾳ καὶ Μεγάλῃ Πέμπτῃ, τὸ παρόν

Ὅτε οἱ ἔνδοξοι Μαθηταί, ἐν τῷ νιπτῆρι τοῦ Δείπνου ἐφωτίζοντο, τότε Ἰούδας ὁ δυσσεβής, φιλαργυρίαν νοσήσας ἐσκοτίζετο, καὶ ἀνόμοις κριταῖς, σὲ τὸν δίκαιον Κριτὴν παραδίδωσι. Βλέπε χρημάτων ἐραστά, τὸν διὰ ταῦτα ἀγχόνῃ χρησάμενον· φεῦγε ἀκόρεστον ψυχήν, τὴν Διδασκάλῳ τοιαῦτα τολμήσασαν. Ὁ περὶ πάντας ἀγαθὸς Κύριε δόξα σοι.

Τὸ, Κύριε ἐλέησον μ'. Μετανοίας ὅσας βούλει· καὶ εὐθὺς τὰς ἑπομένας ἱκετηρίους Εὐχάς.

Δημοσία Κεντρική Βιβλιοθήκη Μεγίστης Λαύρας - Μουσείο Τυπάλδων Ιακωβάτων

## ΣΤΙΧΟΙ ΔΙΔΑΚΤΙΚΟΙ

### Περὶ τοῦ, πῶς δεῖ προσέρχεσθαι τοῖς ἀχράντοις Μυστηρίοις.

Μέλλων φαγεῖν, ἄνθρωπε, Σῶμα Δεσπότου,
φόβῳ πρόσελθε, μὴ φλεγῇς· πῦρ τυγχάνει.
Θεῖον δὲ πίνων Αἷμα πρὸς μετουσίαν,
πρῶτον καταλλάγηθι τοῖς σὲ λυποῦσιν,
ἔπειτα θαῤῥῶν, μυστικὴν βρῶσιν φάγε.

### Ἕτεροι ὅμοιοι.

Πρὸ τοῦ μετασχεῖν τῆς φρικώδους θυσίας,
τοῦ ζωοποιοῦ Σώματος τοῦ Δεσπότου,
τῷδε πρόσευξαι τῷ τρόπῳ μετὰ τρόμου.

## ΕΥΧΗ Α'. ΤΟΥ Μ. ΒΑΣΙΛΕΙΟΥ.

Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ, ὁ Θεὸς ἡμῶν, ἡ πηγὴ τῆς ζωῆς καὶ τῆς ἀθανασίας, ὁ πάσης ὁρατῆς καὶ ἀοράτου κτίσεως δημιουργὸς, ὁ τῷ ἀνάρχῳ Πατρὶ συναΐδιος Υἱὸς καὶ συνάναρχος, ὁ δι' ὑπερβολὴν ἀγαθότητος, ἐπ' ἐσχάτων τῶν ἡμερῶν, σάρκα φορέσας, καὶ σταυρωθεὶς, καὶ τυθεὶς ὑπὲρ τῶν ἀχαρίστων καὶ ἀγνωμόνων ἡμῶν, καὶ τῷ οἰκείῳ σου Αἵματι ἀναπλάσας τὴν φθαρεῖσαν ὑπὸ τῆς ἁμαρτίας φύσιν ἡμῶν· αὐτὸς ἀθάνατε Βασιλεῦ, πρόσδεξαι καὶ μοῦ τοῦ ἁμαρτωλοῦ τὴν μετάνοιαν, καὶ κλῖνον τὸ οὖς σου ἐμοὶ, καὶ εἰσάκουσον τῶν ῥημάτων μου. Ἥμαρτον γὰρ Κύριε, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκ εἰμὶ ἄξιος ἀτενίσαι εἰς τὸ ὕψος τῆς δόξης σου· παρώργισα γάρ σου τὴν ἀγαθότητα, τὰς σὰς ἐντολὰς παραβὰς, καὶ μὴ ὑπακούσας τοῖς σοῖς προστάγμασιν. Ἀλλὰ σὺ, Κύριε, ἀνεξίκακος ὢν, μακρόθυμός τε καὶ πολυέλεος, οὐ παρέδωκάς με συναπολέσθαι ταῖς ἀνομίαις μου, τὴν ἐμὴν πάντως ἀναμένων ἐπιστροφήν. Σὺ γὰρ εἶπας, φιλάνθρωπε, διὰ τοῦ Προφήτου σου, ὅτι οὐ θελήσει θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν· οὐ γὰρ βούλει,

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δέσποτα, τὸ πλάσμα τῶν σῶν ἀπολέσθαι χειρῶν, οὐδὲ εὐδοκεῖς ἐπ' ἀπωλείᾳ ἀνθρώπων, ἀλλὰ θέλεις πάντας σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Διὸ κἀγώ, εἰ καὶ ἀνάξιός εἰμι τοῦ οὐρανοῦ καὶ τῆς γῆς, καὶ αὐτῆς τῆς προσκαίρου ζωῆς, ὅλον ἐμαυτὸν ὑποτάξας τῇ ἁμαρτίᾳ, καὶ ταῖς ἡδοναῖς δουλώσας, καὶ τὴν σὴν ἀχρειώσας εἰκόνα, ἀλλὰ ποίημα καὶ πλάσμα σὸν γεγονώς, οὐκ ἀπογινώσκω τὴν ἐμαυτοῦ σωτηρίαν ὁ ἄθλιος· τῇ δὲ σῇ ἀμετρήτῳ εὐσπλαγχνίᾳ θαρρήσας προσέρχομαι. Δέξαι οὖν κἀμέ, φιλάνθρωπε Χριστέ, ὡς τὴν Πόρνην, ὡς τὸν Λῃστήν, ὡς τὸν Τελώνην, καὶ ὡς τὸν Ἄσωτον· καὶ ἄρόν μου τὸ βαρὺ φορτίον τῶν ἁμαρτιῶν, ὁ τὴν ἁμαρτίαν αἴρων τοῦ κόσμου, καὶ τὰς ἀσθενείας τῶν ἀνθρώπων ἰώμενος· ὁ τοὺς κοπιῶντας καὶ πεφορτισμένους πρὸς σεαυτὸν καλῶν καὶ ἀναπαύων· ὁ μὴ ἐλθὼν καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν· καὶ καθάρισόν με ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος· δίδαξόν με ἐπιτελεῖν ἁγιωσύνην ἐν φόβῳ σου· ἵνα ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεώς μου, τῶν ἁγιασμάτων σου τὴν μερίδα ὑποδεχόμενος, ἑνωθῶ τῷ ἁγίῳ Σώματί σου καὶ Αἵματι, καὶ ἔξω σε ἐν ἐμοὶ κατοικοῦντα καὶ μένοντα, σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ σου Πνεύματι. Ναί, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός μου· καὶ μὴ εἰς κρίμα μοι γένοιτο ἡ μετάληψις τῶν ἀχράντων καὶ ζωοποιῶν Μυστηρίων σου, μηδὲ ἀσθενὴς γενοίμην ψυχῇ τε καὶ σώματι, ἐκ τοῦ ἀναξίως αὐτῶν μεταλαμβάνειν· ἀλλὰ δός μοι, μέχρι τελευταίας μου ἀναπνοῆς, ἀκατακρίτως ὑποδέχεσθαι τὴν μερίδα τῶν ἁγιασμάτων σου, εἰς Πνεύματος ἁγίου κοινωνίαν, εἰς ἐφόδιον ζωῆς αἰωνίου, καὶ εἰς εὐπρόσδεκτον ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματός σου· ὅπως ἂν κἀγὼ, σὺν πᾶσι τοῖς ἐκλεκτοῖς σου, μέτοχος γένωμαι τῶν ἀπορρήτων σου ἀγαθῶν, ὧν ἡτοίμασας τοῖς ἀγαπῶσί σε, Κύριε· ἐν οἷς δεδοξασμένος ὑπάρχεις εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ἀμφοτερικὴ Ἐκκλησιαστικὴ Βιβλιοθήκη Ἀγορίου - Μουσεῖο Τυπογραφῶν Καλαμάτας

## ΕΥΧΗ Β΄. ΤΟΥ ΑΥΤΟΥ.

Οἶδα Κύριε, ὅτι ἀναξίως μεταλαμβάνω τοῦ ἀχράντου σου Σώματος, καὶ τοῦ τιμίου σου Αἵματος, καὶ ἔνοχός εἰμι, καὶ κρίμα ἐμαυτῷ ἐσθίω καὶ πίνω, μὴ διακρίνων τὸ Σῶμα καὶ Αἷμα σοῦ τοῦ Χριστοῦ καὶ Θεοῦ μου· ἀλλὰ τοῖς οἰκτιρμοῖς σου θαῤῥῶν, προσέρχομαί σοι τῷ εἰπόντι: Ὁ τρώγων μου τὴν Σάρκα, καὶ πίνων μου τὸ Αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. Σπλαγχνίσθητι οὖν, Κύριε, καὶ μὴ παραδειγματίσῃς με τὸν ἁμαρτωλὸν, ἀλλὰ ποίησον μετ' ἐμοῦ κατὰ τὸ ἔλεός σου· καὶ γενέσθω μοι τὰ ἅγια ταῦτα εἰς ἴασιν, καὶ κάθαρσιν, καὶ φωτισμὸν, καὶ φυλακτήριον, καὶ σωτηρίαν, καὶ ἁγιασμὸν ψυχῆς καὶ σώματος· εἰς ἀποτροπὴν πάσης φαντασίας, καὶ πονηρᾶς πράξεως, καὶ ἐνεργείας διαβολικῆς, κατὰ διάνοιαν τῆς ἐν τοῖς μέλεσί μου ἐνεργουμένης· εἰς παῤῥησίαν καὶ ἀγάπην τὴν πρὸς σέ· εἰς διόρθωσιν βίου καὶ ἀσφάλειαν· εἰς αὔξησιν ἀρετῆς καὶ τελειότητος· εἰς πλήρωσιν ἐντολῶν· εἰς Πνεύματος ἁγίου κοινωνίαν· εἰς ἐφόδιον ζωῆς αἰωνίου, καὶ εἰς ἀπολογίαν εὐπρόσδεκτον τὴν ἐπὶ τοῦ φοβεροῦ βήματός σου· μὴ εἰς κρίμα, ἢ εἰς κατάκριμα.

## ΕΥΧΗ Γ΄. ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ.

Κύριε ὁ Θεός μου, οἶδα, ὅτι οὐκ εἰμὶ ἄξιος, οὐδὲ ἱκανὸς, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς τοῦ οἴκου τῆς ψυχῆς, διότι ὅλη ἔρημος καὶ καταπεσοῦσα ἐστὶ, καὶ οὐκ ἔχεις παρ' ἐμοὶ τόπον ἄξιον τοῦ κλῖναι τὴν κεφαλήν· ἀλλ' ὡς ἐξ ὕψους δι' ἡμᾶς ἐταπείνωσας σεαυτὸν, συμμετρίασον καὶ νῦν τῇ ταπεινώσει μου. Καὶ ὡς κατεδέξω ἐν σπηλαίῳ καὶ φάτνῃ ἀλόγων ἀνακλιθῆναι, οὕτω κατάδεξαι καὶ ἐν τῇ φάτνῃ τῆς ἀλόγου μου ψυχῆς, καὶ ἐν τῷ ἐσπιλωμένῳ μου σώματι εἰσελθεῖν. Καὶ ὡς οὐκ ἀπηξίωσας εἰσελθεῖν, καὶ συνδειπνῆσαι ἁμαρτωλοῖς, ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, οὕτω

κατάδεξαι εἰσελθεῖν καὶ εἰς τὸν οἶκον τῆς ταπεινῆς μου ψυχῆς, τοῦ λεπροῦ καὶ ἁμαρτωλοῦ. Καὶ ὡς οὐκ ἀπώσω τὴν ὁμοίαν μοι Πόρνην καὶ ἁμαρτωλὸν, προσερχομένην καὶ ἁπτομένην σου, οὕτω σπλαγχνίσθητι καὶ ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ, προσερχομένῳ καὶ ἁπτομένῳ σου. Καὶ ὡς οὐκ ἐβδελύξω τὸ ῥυπαρὸν ἐκείνης στόμα καὶ ἐναγὲς καταφιλοῦν σε, μηδὲ ἐμοῦ βδελύξῃ τὸ ῥυπαρώτερον ἐκείνης στόμα καὶ ἐναγέστερον, μηδὲ τὰ ἔμμυστα καὶ ἀκάθαρτά μου χείλη καὶ βέβηλα, καὶ τὴν ἀκαθαρτοτέραν μου γλῶσσαν. Ἀλλὰ γενέσθω μοι ὁ ἄνθραξ τὸ παναγίου σου Σώματος, καὶ τοῦ τιμίου σου Αἵματος εἰς ἁγιασμὸν, καὶ φωτισμὸν, καὶ ῥῶσιν τῆς ταπεινῆς μου ψυχῆς καὶ τοῦ σώματος· εἰς κουφισμὸν τοῦ βάρους τῶν πολλῶν μου πλημμελημάτων· εἰς φυλακτήριον πάσης διαβολικῆς ἐνεργείας· εἰς ἀποτροπὴν καὶ ἐμπόδιον τῆς φαύλης μου καὶ πονηρᾶς συνηθείας· εἰς ἀπονέκρωσιν τῶν παθῶν· εἰς περιποίησιν τῶν ἐντολῶν σου· εἰς προσθήκην τῆς θείας σου χάριτος, καὶ τῆς σῆς βασιλείας οἰκείωσιν. Οὐ γὰρ ὡς καταφρονῶν προσέρχομαί σοι, Χριστὲ ὁ Θεὸς, ἀλλ' ὡς θαῤῥῶν τῇ ἀφάτῳ σου ἀγαθότητι· καὶ ἵνα μὴ, ἐπιπολὺ ἀφιστάμενος τῆς κοινωνίας σου, θηριάλωτος ὑπὸ τοῦ νοητοῦ λύκου γένωμαι. Διὸ δέομαί σου, ὡς μόνος ὢν ἅγιος, Δέσποτα, ἁγίασόν μου τὴν ψυχὴν καὶ τὸ σῶμα, τὸν νοῦν καὶ τὴν καρδίαν, τοὺς νεφροὺς καὶ τὰ σπλάγχνα, καὶ ὅλον με ἀνακαίνισον, καὶ ῥίζωσον τὸν φόβον σου ἐν τοῖς μέλεσί μου, καὶ τὸν ἁγιασμόν σου ἀνεξάλειπτον ἀπ' ἐμοῦ ποίησον. Καὶ γενοῦ μοι βοηθὸς καὶ ἀντιλήπτωρ, κυβερνῶν ἐν εἰρήνῃ τὴν ζωήν μου, καταξιῶν με καὶ τῆς ἐκ δεξιῶν σου παρασάσεως μετὰ τῶν Ἁγίων σου· εὐχαῖς καὶ πρεσβείαις τῆς παναχράντου σου Μητρὸς, τῶν ἀΰλων σου λειτουργῶν, καὶ ἀχράντων Δυνάμεων, καὶ πάντων τῶν Ἁγίων, τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων. Ἀμήν.

Ανοικτό Κεντρική Βιβλιοθήκη Λήξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

## ΕΥΧΗ Δ΄. ΤΟΥ ΑΥΤΟΥ.

Οὐκ εἰμὶ ἱκανὸς, Δέσποτα Κύριε, ἵνα εἰσέλθῃς ὑπὸ τὴν στέγην τῆς ψυχῆς μου· ἀλλ' ἐπειδὴ βούλει σὺ, ὡς φιλάνθρωπος, οἰκεῖν ἐν ἐμοὶ, θαῤῥῶν προσέρχομαι. Κελεύεις, ἀναπετάσω τὰς πύλας, ἃς σὺ μόνος ἐδημιούργησας, καὶ εἰσέρχῃ μετὰ φιλανθρωπίας, ὡς πέφυκας· εἰσέρχῃ, καὶ φωτίζεις τὸν ἐσκοτισμένον μου λογισμόν. Πιστεύω, ὡς τοῦτο ποιήσεις· οὐ γὰρ Πόρνην προσελθοῦσάν σοι μετὰ δακρύων ἀπέφυγες, οὐδὲ Τελώνην ἀπεβάλου μετανοήσαντα, οὐδὲ Ληστὴν ἐπιγνόντα τὴν βασιλείαν σου ἀπεδίωξας, οὐδὲ Διώκτην μετανοήσαντα κατέλιπες, ὃ ἦν· ἀλλὰ τοὺς ὑπὸ τῆς μετανοίας σοι προσαχθέντας, ἅπαντας ἐν τῷ χορῷ τῶν σῶν φίλων κατέταξας, ὁ μόνος ὑπάρχων εὐλογημένος πάντοτε, νῦν, καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας. Ἀμήν.

## ΕΥΧΗ Ε΄. ΤΟΥ ΑΥΤΟΥ.

Κύριε Ἰησοῦ Χριστὲ, ὁ Θεός μου, ἄνες, ἄφες, ἐλάσθητι, καὶ συγχώρησόν μοι τῷ ἁμαρτωλῷ, καὶ ἀχρείῳ, καὶ ἀναξίῳ δούλῳ σου τὰ πταίσματα, καὶ πλημμελήματα, καὶ παραπτώματά μου, ὅσα σοι ἐκ νεότητός μου, μέχρι τῆς παρούσης ἡμέρας καὶ ὥρας ἥμαρτον, εἴτε ἐν γνώσει καὶ ἀγνοίᾳ, εἴτε ἐν λόγοις, ἢ ἔργοις, ἢ ἐνθυμήμασιν, ἢ διανοήμασι καὶ ἐπιτηδεύμασι, καὶ πάσαις μου ταῖς αἰσθήσεσι. Καὶ τῇ πρεσβείᾳ τῆς ἀσπόρως κυησάσης σε παναχράντου, καὶ ἀειπαρθένου Μαρίας τῆς Μητρός σου, τῆς μόνης ἀκαταισχύντου ἐλπίδος, καὶ προσασίας, καὶ σωτηρίας μου, καταξίωσόν με ἀκατακρίτως μεταλαβεῖν τῶν ἀχράντων, καὶ ἀθανάτων, καὶ ζωοποιῶν καὶ φρικτῶν Μυστηρίων σου, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον· εἰς ἁγιασμὸν, καὶ φωτισμὸν, καὶ ῥώμην, καὶ ἴασιν καὶ ὑγείαν ψυχῆς τε καὶ σώματος· καὶ εἰς ἐξάλειψιν, καὶ παντελῆ ἀφανισμὸν τῶν πονηρῶν μου λογισμῶν, καὶ ἐνθυμήσεων, καὶ προλήψεων, καὶ νυκτε-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημοσία Κεντρική Βιβλιοθήκη Λιτσουρίου
Μουσείο Τυπογραφών Τυπωμάτων

ρινῶν φαντασιῶν τῶν σκοτεινῶν, καὶ πονηρῶν πνευμάτων. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, καὶ ἡ τιμὴ, καὶ ἡ προσκύνησις, σὺν τῷ Πατρὶ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ς΄. ΙΩΑΝΝΟΥ ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ.

Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ, ὁ Θεὸς ἡμῶν, ὁ μόνος ἔχων ἐξουσίαν ἀνθρώποις ἀφιέναι ἁμαρτίας, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, πάριδέ μου πάντα τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ πταίσματα, καὶ ἀξίωσόν με ἀκατακρίτως μεταλαβεῖν τῶν θείων, καὶ ἐνδόξων, καὶ ἀχράντων καὶ ζωοποιῶν σου Μυστηρίων, μὴ εἰς κόλασιν, μὴ εἰς προσθήκην ἁμαρτιῶν, ἀλλ' εἰς καθαρισμὸν, καὶ ἁγιασμὸν, καὶ ἀρραβῶνα τῆς μελλούσης ζωῆς καὶ βασιλείας· εἰς τεῖχος, καὶ βοήθειαν, καὶ ἀνατροπὴν τῶν ἐναντίων, καὶ εἰς ἐξάλειψιν τῶν πολλῶν μου πλημμεληματῶν. Σὺ γὰρ εἶ Θεὸς ἐλέους, καὶ οἰκτιρμῶν, καὶ φιλανθρωπίας, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ Πατρὶ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ Ζ΄. ΤΟΥ ΑΥΤΟΥ, Η ΜΑΛΛΟΝ

### ΣΥΜΕΩΝ ΤΟΥ ΝΕΟΥ ΘΕΟΛΟΓΟΥ (*)

Ἀπὸ ῥυπαρῶν χειλέων,
ἀπὸ βδελυρᾶς καρδίας,
ἀπὸ ἀκαθάρτου γλώττης,
ἐκ ψυχῆς ἐρρυπωμένης,
δέξαι δέησιν, Χριστέ μου·
καὶ μὴ παρωσάμενός μου,
μὴ τοὺς λόγους, μὴ τοὺς τρόπους,
μηδὲ τὴν ἀναισχυντίαν,
δός μοι παῤῥησίᾳ λέγειν,
ἃ βεβούλευμαι, Χριστέ μου·
μᾶλλον δὲ καὶ δίδαξόν με,
τί με δεῖ ποιεῖν καὶ λέγειν.
Ἥμαρτον ὑπὲρ τὴν Πόρνην,
ἧ, μαθοῦσα ποῦ κατάγεις,
μύρον ἐξωνησαμένη,
ἦλθε τολμηρῶς ἀλεῖψαι
σοῦ τοὺς πόδας τοῦ Χριστοῦ μου,
τοῦ Δεσπότου καὶ Θεοῦ μου.

(*) Ἡ Εὐχὴ αὕτη, ἐν μὲν ταῖς ἀσχαιοτέραις τοῦ Ὡρολογίου ἐκδόσεσι, ἐπεγράφετο τῷ ὀνόματι Συμεὼν τοῦ Νέου Θεολόγου· ἐν τισι δὲ τῶν νεωτέρων, ἔφερε τὸ ὄνομα Ἰωάννου τοῦ Δαμασκηνοῦ. Καὶ ὅτι μὲν εὑρίσκεται τῷ ὄντι συντετυπωμένη τοῖς

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Βιβλιοθήκη Δικοβούνιων

Ὡς ἐκείνην οὐκ ἀπώσω,
προσελθοῦσαν ἐκ καρδίας,
μηδ' ἐμὲ βδελύξῃ, Λόγε·
σοὺς δὲ πάρασχέ μοι πόδας,
καὶ κρατῆσαι, καὶ φιλῆσαι,
καὶ τῷ ῥείθρῳ τῶν δακρύων,
ὡς πολυτιμήτῳ μύρῳ,
τούτους τολμηρῶς ἀλεῖψαι.
Πλύνόν με τοῖς δάκρυσί μου,
κάθαρον αὐτοῖς με, Λόγε·
ἄφες καὶ τὰ πταίσματά μου,
καὶ συγγνώμην πάρασχέ μοι.
Οἶδας τῶν κακῶν τὸ πλῆθος,
οἶδας καὶ τὰ τραύματά μου,
καὶ τοὺς μώλωπας ὁρᾷς μου·

ἀλλὰ καὶ τὴν πίστιν εἶδας,
καὶ τὴν προθυμίαν βλέπεις,
καὶ τοὺς στεναγμοὺς ἀκούεις.
Οὐ λανθάνει σε, Θεέ μου,
ποιητά μου, λυτρωτά μου,
οὐδὲ σταλαγμὸς δακρύων,
οὐδὲ σταλαγμοῦ τι μέρος.
Τὸ μὲν ἀκατέργαστόν μου
ἔγνωσαν οἱ ὀφθαλμοί σου·
ἐπὶ τὸ βιβλίον δέσου,
καὶ τὰ μήπω πεπραγμένα,
γεγραμμένα σοι τυγχάνει.
Ἴδε τὴν ταπείνωσίν μου,
ἴδε μου τὸν κόπον, ὅσος!
καὶ τὰς ἁμαρτίας πάσας,

---

τούτου συγγράμμασι, σελ. 691 τοῦ Α'. Τόμ. τῆς ἐν Παρισ. ἐκδόσ. 1712, ἐδηλώθη τοῦτο εἰς τὴν ἐν ἔτει 1832 γενομένην παρὰ Φ. Ἀνδρεώλα ἔκδοσιν τοῦ Ὡρολογίου, καθ' ὃν χρόνον ἐγένετο καὶ ἡ τούτου μεταρρύθμισις· ὅτε καὶ αἱ μικραὶ ἐκείνης διαφοραὶ πρὸς τὴν ἐν τῷ Ὡρολογίῳ καὶ πάλαι καὶ νῦν συνήθως ἀναγινωσκομένην, ὑπεσημειώθησαν, χάριν περιεργείας, αἵ τινες οὐκ ἔπαυσαν ἀνατυπούμεναι καὶ εἰς τὰς ἐφεξῆς αὐτοῦ γενομένας ἐκδόσεις μέχρι τοῦ νῦν, παρὰ τῷ αὐτῷ τυπογράφῳ. Φαίνεται ὅμως, ὅτι συγγραφεὺς τῆς Εὐχῆς ταύτης ἐστὶν ὁ Συμεών. Α'. διότι αὐτὴ εὑρίσκεται ἐν τῷ τέλει τῶν διὰ στίχων Θεολογικῶν αὐτοῦ συγγραμμάτων, τῶν ἐν Βενετίᾳ τῷ 1790 ἔτει ὑπὸ Διονυσίου τοῦ Ζαγοραίου ἐκδοθέντων, ἀπαραλλάκτως, ὡς ἐτυπώθη ἐξ ἀρχῆς, καὶ εἰσέτι τυποῦται ἐν τῷ Ὡρολογίῳ. Β'. διότι εἰς τὴν εἰρημένην ἔκδοσιν τῶν συγγραμμάτων Ἰ. τοῦ Δαμασκηνοῦ ὑποσημειοῦται, ὅτι οἱ στίχοι οὗτοι εἰσὶν Ἀνακρεόντειοι, ὅπερ οὐκ ἀληθεύει. Καθότι οἱ μὲν Ἀνακρεόντειοι, κατὰ τοὺς Μετρικούς, συνίστανται ἐκ τριῶν Ἰάμβων καὶ μιᾶς συλλαβῆς, ἢ ἐξ ἑνὸς τῶν τρισυλλάβων ποδῶν, ἀντὶ τοῦ πρώτου Ἰάμβου· ὥστε γίνεσθαι τὰς πάσας τοῦ στίχου συλλαβὰς 7 ἢ 8. π. χ. ὡς τό: Νόμον Θεοῦ φύλαττε· ἢ τὸ τοῦ Ἀνακρέοντος αὐτοῦ: Μακαρίζομέν σε τέττιξ. Οἱ δὲ παρόντες στίχοι, ὀκτασύλλαβοι ὄντες ἐκ τῶν λεγομένων Πολιτικῶν, οὐδὲν ἄλλο μέτρον ἔχουσιν, εἰμὴ αὐτὸ τοῦτο τὸ ὀκτασύλλαβον μόνον, καὶ ἐπὶ τέλους τὸ παροξύτονον. Ἀλλ' οὐδὲ ἁρμόζει ἴσως εἰς τὸν καλαμον τοῦ Θείου Δαμασκηνοῦ τοιοῦτον μέτρον. Ταῦτα οὖν, καὶ προσέτι ἡ ἀρχαία ἐπιγραφὴ τῆς Εὐχῆς ταύτης, πιθανολογοῦσι μᾶλλον, ὅτι πατὴρ αὐτῆς γνήσιος ἐστὶν οὐχ ὁ Δαμασκηνός, ἀλλὰ Συμεὼν ὁ Νέος Θεολόγος.

Ἦκμασε δὲ ὁ Συμεὼν οὗτος περὶ τὰ 1030, ἐπ' ἀρετῇ καὶ ἁγιότητι διαβεβοημένος, Ἡγούμενος ὢν τῆς ἐν Κωνσταντινουπόλει τοῦ Ἁγίου Μάμαντος Μονῆς, τῆς ἐπικαλουμένης Ξυλοκέρκου. Συνέγραψεν Ἐκκλησιαστικά, Θεολογικά, καὶ Ἀσκητικὰ πολλά· ἅπερ, ἀνανεωθέντα ἔπειτα ὑπὸ Γρηγορίου τοῦ Παλαμᾶ, ἐξεδόθησαν ἑλληνιστὶ ἐν Ἁγιοσολυμοις τῷ 1603 ἔτει. Ἐξ ἐκείνων δὲ μεταφράσας ὕστερον εἰς τὸ ἁπλοῦν, τὰ λογογραφικὰ μόνον, ὁ προρρηθεὶς Διονύσιος, συνεξέδωκε μετὰ καὶ τῶν ποιητικῶν αὐτοῦ. Τούτου τὸν βίον συγγραφάμενος Νικήτας ὁ Στηθάτος, λέγει περὶ αὐτοῦ. „Οὐκ εἶχεν αὐτὸς ἑαυτὸν, ἀλλ' ἡ τοῦ Θεοῦ χάρις ὅλον αὐτὸν πρὸς ἑαυτὴν ἐπεσπάσατο· καὶ τὴν μὲν γλῶτταν αὐτοῦ κάλαμον ὀξυγράφου, τὴν δὲ διάνοιαν πηγὴν σοφίας Θεοῦ ἀπεργάσατο. Διὰ τοῦτο καὶ ἁμαθὴς ὢν πάντη τῶν θύραθεν μαθημάτων, ὡς ὁ Ἠγαπημένος (Ἰωάννης δηλ.) ἐθεολόγει, καὶ τὰ τῆς Θεολογίας ὅλας νυξὶν ἀνετάττετο „. (Μελετ. Ἐκκλ. Ἱστορ. Βιβλ. Ι. κεφ. ή, 3).

Ἄφες μοι, Θεὲ τῶν ὅλων·
ἵνα καθαρᾷ καρδίᾳ,
περιτρόμῳ διανοίᾳ,
καὶ ψυχῇ συντετριμμένῃ,
τῶν ἀχράντων σου μετάσχω,
καὶ πανάγνων Μυστηρίων,
οἷς ζωοῦται καὶ θεοῦται,
πᾶς ὁ τρώγων σε καὶ πίνων,
ἐξ εἰλικρινοῦς καρδίας.
Σὺ γὰρ εἶπας, Δέσποτά μου:
Πᾶς ὁ τρώγων μου τὴν Σάρκα,
πίνων δέ μου καὶ τὸ Αἷμα,
ἐν ἐμοὶ μὲν οὗτος μένει,
ἐν αὐτῷ δ' ἐγὼ τυγχάνω.
Ἀληθὴς ὁ λόγος πάντως,
τοῦ Δεσπότου καὶ Θεοῦ μου·
τῶν γὰρ θείων ὁ μετέχων
καὶ θεοποιῶν χαρίτων,
οὐμενοῦν, οὐκ ἔστι μόνος,
ἀλλὰ μετὰ σοῦ, Χριστέ μου,
τοῦ φωτὸς τοῦ τρισηλίου,
τοῦ φωτίζοντος τὸν κόσμον.
Ἵνα γοῦν μὴ μόνος μένω,
θίχα σοῦ τοῦ ζωοδότου,
τῆς πνοῆς μου, τῆς ζωῆς μου,
τοῦ ἀγαλλιάματός μου,
τῆς τοῦ κόσμου σωτηρίας,
διὰ τοῦτό σοι προσῆλθον,
ὡς ὁρᾷς, μετὰ δακρύων,
καὶ ψυχῆς συντετριμμένης,
λύτρον τῶν ἐμῶν πταισμάτων,
ἱκετεύων τοῦ λαβεῖν με,
καὶ τῶν σῶν ζωοπαρόχων,
καὶ ἀμέμπτων Μυστηρίων,
μετασχεῖν ἀκατακρίτως·
ἵνα μένῃς, καθὼς εἶπας,
μετ' ἐμοῦ τοῦ τρισαθλίου·
ἵνα μὴ, χωρὶς εὑρών με
τῆς σῆς χάριτος ὁ πλάνος,
ἁφαρπάσῃ με δολίως,
καὶ πλανήσας ἀπαγάγῃ
τῶν θεοποιῶν σου λόγων.
Διὰ τοῦτό σοι προσπίπτω,
καὶ θερμῶς ἀναβοῶ σοι:

Ὡς τὸν Ἄσωτον ἐδέξω,
καὶ τὴν Πόρνην προσελθοῦσαν,
οὕτω δέξαι με τὸν πόρνον,
καὶ τὸν ἄσωτον, οἰκτίρμον,
ἐν ψυχῇ συντετριμμένῃ.
νῦν με προσερχόμενόν σοι.
Οἶδα, Σῶτερ, ὅτι ἄλλος,
ὡς ἐγὼ, οὐκ ἔπταισέ σοι,
οὐδὲ ἔπραξε τὰς πράξεις,
ἃς ἐγὼ κατειργασάμην.
Ἀλλὰ τοῦτο πάλιν οἶδα,
ὡς οὐ μέγεθος πταισμάτων,
οὐχ ἁμαρτημάτων πλῆθος,
ὑπερβαίνει τοῦ Θεοῦ μου
τὴν πολλὴν μακροθυμίαν,
καὶ φιλανθρωπίαν ἄκραν·
ἀλλ' ἐλαίῳ συμπαθείας,
τοὺς θερμῶς μετανοοῦντας,
καὶ καθαίρεις, καὶ λαμπρύνεις,
καὶ φωτὸς ποιεῖς μετόχους,
κοινωνοὺς Θεότητός σου
ἐργαζόμενος ἀφθόνως·
καὶ, τὸ ξένον καὶ Ἀγγέλοις,
καὶ ἀνθρώπων διανοίαις,
ὁμιλεῖς αὐτοῖς πολλάκις,
ὥσπερ φίλοις σου γνησίοις.
Ταῦτα τολμηρὸν ποιεῖ με,
ταῦτά με πτεροῖ, Χριστέ μου.
Καὶ θαῤῥῶν ταῖς σαῖς πλουσίαις
πρὸς ἡμᾶς εὐεργεσίαις,
χαίρων τε καὶ τρέμων ἅμα,
τοῦ πυρὸς μεταλαμβάνω,
χόρτος ὤν, καὶ, ξένον θαῦμα!
δροσιζόμενος ἀφράστως,
ὥσπερ οὖν ἡ βάτος πάλαι,
ἡ ἀφλέκτως καιομένη.
Τοίνυν εὐχαρίστῳ γνώμῃ,
εὐχαρίστῳ δὲ καρδίᾳ,
εὐχαρίστοις μέλεσί μου,
τῆς ψυχῆς καὶ τῆς σαρκός μου,
προσκυνῶ, καὶ μεγαλύνω,
καὶ δοξάζω σε, Θεέ μου.
ὡς εὐλογημένον ὄντα.
νῦν τε καὶ εἰς τοὺς αἰῶνας.

ΑΡΧΑΙΕΣ ΒΙΒΛΟΘΗΚΕΣ
Ψηφιακή Κεντρική Βιβλιοθήκη Λήξουρίου - Μουσείο Τυπάλντου - Κεφαλληνία

## ΕΥΧΗ Η'. ΣΥΜΕΩΝ ΤΟΥ ΜΕΤΑΦΡΑΣΤΟΥ.

Ὁ μόνος καθαρὸς καὶ ἀκήρατος Κύριος, ὁ δι' οἶκτον φιλανθρωπίας ἀνεκδιήγητον τὸ ἡμέτερον ὅλον προσλαβόμενος φύραμα, ἐκ τῶν ἁγνῶν καὶ παρθενικῶν αἱμάτων τῆς ὑπερφυῶς κυησάσης σε, Πνεύματος θείᾳ ἐπελεύσει, καὶ εὐδοκίᾳ Πατρὸς ἀϊδίου, Χριστὲ Ἰησοῦ, σοφία Θεοῦ, καὶ εἰρήνη, καὶ δύναμις· ὁ τῷ προσλήμματί σε τὰ ζωοποιὰ καὶ σωτήρια πάθη καταδεξάμενος, τὸν Σταυρὸν, τοὺς Ἥλους, τὴν Λόγχην τὸν Θάνατον, νέκρωσόν μου τὰ ψυχοφθόρα πάθη τοῦ σώματος. Ὁ τῇ ταφῇ σε τὰ τοῦ Ἅδου σκυλεύσας βασίλεια, θάψον μὲ διὰ τῶν ἀγαθῶν λογισμῶν τὰ πονηρὰ διαβούλια, καὶ τὰ τῆς πονηρίας πνεύματα διασκέδασον. Ὁ τῇ τριημέρῳ σου καὶ ζωηφόρῳ Ἀναστάσει τὸν πεπτωκότα Προπάτορα ἀναστήσας, ἀνάστησόν με τῇ ἁμαρτίᾳ κατολισθήσαντα, τρόπος μοι μετανοίας ὑποτιθέμενος. Ὁ τῇ ἐνδόξῳ σε Ἀναλήψει τῆς σαρκὸς θεώσας τὸ πρόσλημμα, καὶ τοῦτο τῇ δεξιᾷ καθέδρᾳ τιμήσας τοῦ Πατρὸς, ἀξίωσόν με, διὰ τῆς τῶν ἁγίων σε Μυσηρίων μεταλήψεως, τῆς δεξιᾶς μερίδος τῶν σωζομένων τυχεῖν. Ὁ τῇ ἐπιδημίᾳ τοῦ παρακλήτου Πνεύματος σκεύη τίμια τοὺς ἱεροὺς σου Μαθητὰς ἐργασάμενος, δοχεῖον κἀμὲ τῆς αὐτοῦ ἀνάδειξον ἐπελεύσεως. Ὁ μέλλων πάλιν ἔρχεσθαι κρῖναι τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, εὐδόκησον κἀμὲ προϋπαντῆσαί σοι ἐν νεφέλαις τῷ ποιητῇ καὶ πλάστῃ μου, σὺν πᾶσι τοῖς Ἁγίοις σου· ἵνα ἀτελευτήτως δοξολογῶ καὶ ἀνυμνῶ σε, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ Θ'. ΙΩΑΝΝΟΥ ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ.

Πρὸ τῶν θυρῶν τοῦ ναοῦ σου παρέστηκα, καὶ τῶν δεινῶν λογισμῶν οὐκ ἀφίσταμαι· ἀλλὰ σὺ, Χριστὲ ὁ Θεὸς, ὁ Τελώνην δικαιώσας, καὶ Χαναναίαν ἐλεήσας, καὶ τῷ Λῃστῇ Παραδείσου πύλας ἀνοίξας, ἄνοιξόν μοι

τὰ σπλάγχνα τῆς φιλανθρωπίας σε, καὶ δέξαιμε προσερχόμενον καὶ ἁπτόμενόν σου, ὡς τὴν Πόρνην καὶ τὴν Αἱμόῤῥουν· ἡ μὲν γὰρ τοῦ κρασπέδου σου ἁψαμένη, εὐχερῶς τὴν ἴασιν ἔλαβεν· ἡ δὲ τοὺς σοὺς ἀχράντους πόδας κρατήσασα, τὴν λύσιν τῶν ἁμαρτημάτων ἐκομίσατο. Ἐγὼ δὲ ὁ ἐλεεινὸς, ὅλον σου τὸ Σῶμα τολμῶν δέξασθαι, μὴ καταφλεχθείην· ἀλλὰ δέξαι με, ὥσπερ ἐκείνας, καὶ φώτισόν μου τὰ τῆς ψυχῆς αἰσθητήρια, καταφλέγων μου τὰ τῆς ἁμαρτίας ἐγκλήματα· πρεσβείαις τῆς ἀσπόρως τεκούσης σε, καὶ τῶν ἐπουρανίων Δυνάμεων. Ὅτι εὐλογητὸς εἶ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ Ι'. ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ.

Πιστεύω Κύριε, καὶ ὁμολογῶ, ὅτι σὺ εἶ ἀληθῶς ὁ Χριστὸς, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ ἐλθὼν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτος εἰμὶ ἐγώ. Ἔτι πιστεύω, ὅτι τοῦτο αὐτό ἐστι τὸ ἄχραντον Σῶμά σου, καὶ τοῦτο αὐτό ἐστι τὸ τίμιον Αἷμά σε. Δέομαι οὖν σε: Ἐλέησόν με, καὶ συγχώρησόν μοι τὰ παραπτώματά με, τὰ ἑκούσια, καὶ τὰ ἀκούσια, τὰ ἐν λόγῳ, τὰ ἐν ἔργῳ, τὰ ἐν γνώσει ϗ ἀγνοίᾳ· καὶ ἀξίωσόν με ἀκατακρίτως μετασχεῖν τῶν ἀχράντων σε Μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον. Ἀμήν.

Ἀπερχόμενος δὲ μεταλαβεῖν, λέγε τοὺς παρόντας Στίχους τοῦ Μεταφραστοῦ:

Ἰδοὺ βαδίζω πρὸς θείαν Κοινωνίαν:
Πλαστουργὲ, μὴ φλέξῃς με τῇ μετουσίᾳ·
πῦρ γὰρ ὑπάρχεις τοὺς ἀναξίους φλέγον·
ἀλλ' οὖν κάθαρον ἐκ πάσης με κηλῖδος.

Εἶτα:

Τοῦ Δείπνου σου τοῦ μυστικοῦ, σήμερον Υἱὲ Θεοῦ, κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ Μυστήριον εἴπω· οὐ φίλημά σοι δώσω, καθάπερ ὁ Ἰούδας· ἀλλ' ὡς ὁ Λῃστὴς ὁμολογῶ σοι: Μνήσθητί μου, Κύριε, ἐν τῇ Βασιλείᾳ σου.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Λαμίας - Μουσείο Νεοελληνικής Λογοτεχνίας

Καὶ τοὺς Στίχους τούτους:

Θεουργὸν Λῖμα· φρίξον ἄνθρωπε, βλέπων·
ἄνθραξ γάρ ἐστι τοὺς ἀναξίους φλέγων.
Θεοῦ τὸ Σῶμα, καὶ θεοῖ με, καὶ τρέφει·
θεοῖ τὸ πνεῦμα, τὸν δὲ νοῦν τρέφει ξένως.

Καὶ τὰ Τροπάρια ταῦτα:

Ἐθέλξας πόθῳ με, Χριστὲ, καὶ ἠλλοίωσας τῷ θείῳ σὺ ἔρωτι· ἀλλὰ καπάφλεξον πυρὶ αὔλῳ τὰς ἁμαρτίας μου, καὶ ἐμπλησθῆναι τῆς ἐν σοὶ τρυφῆς καταξίωσον, ἵνα τὰς δύο σκιρτῶν, μεγαλύνω ἀγαθὲ παρουσίας σου.

Ἐν ταῖς λαμπρότησι τῶν Ἁγίων σου, πῶς εἰσελεύσομαι ὁ ἀνάξιος; ἐὰν γὰρ τολμήσω συνεισελθεῖν εἰς τὸν νυμφῶνα, ὁ χιτών με ἐλέγχει, ὅτι οὐκ ἔχει τὸν γάμον, καὶ δέσμιος ἐκβαλοῦμαι ὑπὸ τῶν Ἀγγέλων. Καθάρισον Κύριε τὸν ῥύπον τῆς ψυχῆς μου, καὶ σῶσόν με ὡς φιλάνθρωπος.

Καὶ τὴν παροῦσαν Εὐχήν:

Δέσποτα φιλάνθρωπε, Κύριε Ἰησοῦ Χριστὲ, ὁ Θεός μου, μὴ εἰς κρίμα μοι γένοιτο τὰ ἅγια ταῦτα, διὰ τὸ ἀνάξιον εἶναί με, ἀλλ' εἰς κάθαρσιν, καὶ ἁγιασμὸν ψυχῆς τε καὶ σώματος, καὶ εἰς ἀῤῥαβῶνα τῆς μελλούσης ζωῆς καὶ βασιλείας. Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστι, τίθεσθαι ἐν τῷ Κυρίῳ τὴν ἐλπίδα τῆς σωτηρίας μου.

Καὶ πάλιν: Τοῦ Δείπνου σου τοῦ μυστικοῦ, κ. τ. λ.

## ΕΥΧΑΡΙΣΤΙΑ

μετὰ τὴν θείαν Μετάληψιν.

Στίχοι εἰς τὴν Εὐχαριστίαν ταύτην προτρεπτικοί.

Ἐπὰν δὲ τύχῃς τῆς καλῆς μετουσίας
τῶν ζωοποιῶν μυστικῶν δωρημάτων,
ὕμνησον εὐθὺς, εὐχαρίστησον μέγα,
καὶ τάδε θερμῶς ἐκ ψυχῆς Θεῷ λέγε:
Δόξα σοι, ὁ Θεός. Δόξα σοι, ὁ Θεός. Δόξα σοι, ὁ Θεός.

Καὶ εὐθὺς τὰς ἑπομένας εὐχαριστηρίους Εὐχάς.

## ΑΝΩΝΥΜΟΥ.

Εὐχαριστῶ σοι, Κύριε, ὁ Θεός μου, ὅτι οὐκ ἀπώσω με τὸν ἁμαρτωλὸν, ἀλλὰ κοινωνόν με γενέσθαι τῶν ἁγιασμάτων σου κατηξίωσας. Εὐχαριστῶ σοι, ὅτι με τὸν ἀνάξιον μεταλαβεῖν τῶν ἀχράντων σου, καὶ ἐπουρανίων δωρεῶν κατηξίωσας. Ἀλλά, Δέσποτα φιλάνθρωπε, ὁ ὑπὲρ ἡμῶν ἀποθανών τε καὶ ἀναστὰς, καὶ χαρισάμενος ἡμῖν τὰ φρικτὰ ταῦτα καὶ ζωοποιά σου Μυστήρια, ἐπ' εὐεργεσίᾳ καὶ ἁγιασμῷ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, δὸς γενέσθαι ταῦτα καὶ μοὶ εἰς ἴασιν ψυχῆς τε καὶ σώματος, εἰς ἀποτροπὴν παντὸς ἐναντίου, εἰς φωτισμὸν τῶν ὀφθαλμῶν τῆς καρδίας μου, εἰς εἰρήνην τῶν ψυχικῶν μου δυνάμεων, εἰς πίστιν ἀκαταίσχυντον, εἰς ἀγάπην ἀνυπόκριτον, εἰς πλησμονὴν σοφίας, εἰς περιποίησιν τῶν ἐντολῶν σου, εἰς προσθήκην τῆς θείας σου χάριτος, καὶ τῆς σῆς βασιλείας οἰκείωσιν· ἵνα ἐν τῷ ἁγιασμῷ σου δι' αὐτῶν φυλαττόμενος, τῆς σῆς χάριτος μνημονεύω διαπαντὸς, καὶ μηκέτι ἐμαυτῷ ζῶ, ἀλλὰ σοὶ τῷ ἡμετέρῳ Δεσπότῃ καὶ εὐεργέτῃ. Καὶ ὕστω τοῦ τῇδε βίου ἀπάρας, ἐπ' ἐλπίδι ζωῆς αἰωνίου, εἰς τὴν ἀΐδιον καταντήσω ἀνάπαυσιν, ἔνθα ὁ τῶν ἑορταζόντων ἦχος ὁ ἀκατάπαυστος, καὶ ἡ ἀπέραντος ἡδονὴ τῶν καθορώντων τοῦ σοῦ προσώπου τὸ κάλλος τὸ ἄῤῥητον. Σὺ γὰρ εἶ τὸ ὄντως ἐφετὸν, καὶ ἡ ἀνέκφραστος εὐφροσύνη τῶν ἀγαπώντων σε, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σὲ ὑμνεῖ πᾶσα ἡ κτίσις εἰς τοὺς αἰῶνας. Ἀμήν.

## ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ.

Δέσποτα Χριστὲ, ὁ Θεὸς, Βασιλεῦ τῶν αἰώνων, καὶ δημιουργὲ τῶν ἁπάντων, εὐχαριστῶ σοι ἐπὶ πᾶσιν, οἷς παρέσχου μοι ἀγαθοῖς, καὶ ἐπὶ τῇ μεταλήψει τῶν ἀχράντων καὶ ζωοποιῶν σου Μυστηρίων. Δέομαι οὖν σου, ἀγαθὲ καὶ φιλάνθρωπε· Φύλαξόν με ὑπὸ τὴν σκέπην σου, καὶ ἐν τῇ τῶν πτερύγων σου σκιᾷ· καὶ δώρησαί μοι ἐν καθαρῷ συνειδότι, μέχρις ἐσχάτης μου ἀναπνοῆς ἐ-

παξίως μετέχειν τῶν ἁγιασμάτων σου, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον. Σὺ γὰρ εἶ ὁ ἄρτος τῆς ζωῆς, ἡ πηγὴ τοῦ ἁγιασμοῦ, ὁ δοτὴρ τῶν ἀγαθῶν· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ Πατρὶ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΤΟΥ ΜΕΤΑΦΡΑΣΤΟΥ.

Ὁδοὺς τροφήν μοι σάρκα σὴν ἑκουσίως,
ὁ πῦρ ὑπάρχων, καὶ φλέγων ἀναξίους,
μὴ δὴ καταφλέξῃς με, μὴ πλαστουργέ μου·
μᾶλλον δίελθε πρὸς μελῶν μου συνθέσεις,
εἰς πάντας ἁρμοὺς, εἰς νεφροὺς, εἰς καρδίαν.
Φλέξον δ' ἀκάνθας τῶν ὅλων μου πταισμάτων·
ψυχὴν κάθαρον, ἁγίασον τὰς φρένας·
τὰς ἰγνύας στήριξον, ὀστέοις ἅμα·
αἰσθήσεων φώτισον ἁπλῆν πεντάδα·
ὅλον με τῷ σῷ συγκαθήλωσον φόβῳ.
Ἀεὶ σκέπε φρούρει τε, καὶ φύλαττέ με,
ἐκ παντὸς ἔργου, καὶ λόγου ψυχοφθόρου.
Ἄγνιζε, καὶ κάθαρε, καὶ ῥύθμιζέ με·
κάλλυνε, συνέτιζε, καὶ φώτιζέ με·
δεῖξόν με σὸν σκήνωμα Πνεύματος μόνου,
καὶ μηκέτι σκήνωμα τῆς ἁμαρτίας·
ἵν' ὡς σὸν οἶκον εἰσόδῳ κοινωνίας,
ὡς πῦρ με φεύγῃ πᾶς κακοῦργος, πᾶν πάθος.
Πρέσβεις φέρω σοι πάντας ἡγιασμένους,
τὰς ταξιαρχίας τε τῶν Ἀσωμάτων,
τὸν Πρόδρομόν σου, τοὺς σοφοὺς Ἀποστόλους,
πρὸς τοῖς δε, σὴν ἄχραντον ἁγνὴν Μητέρα·
ὧν τὰς λιτὰς εὔσπλαγχνε, δέξαι, Χριστέ μου,
καὶ φωτὸς παῖδα τὸν σὸν ἔργασαι λάτριν.
Σὺ γὰρ ὑπάρχεις ἁγιασμὸς καὶ μόνος
ἡμῶν ἀγαθὲ τῶν ψυχῶν, καὶ λαμπρότης,
καὶ σοὶ πρεπόντως, ὡς Θεῷ καὶ Δεσπότῃ,
δόξαν ἅπαντες πέμπομεν καθ' ἡμέραν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ανοικτό Ψηφιακό Αρχείο Βιβλιοθήκης Γουρίου - Μουσείου Τυπογραφίας Βασιλειάδη

## ΑΝΩΝΥΜΟΥ.

Τὸ Σῶμά σου τὸ ἅγιον, Κύριε Ἰησοῦ Χριστὲ, ὁ Θεὸς ἡμῶν, γένοιτό μοι εἰς ζωὴν αἰώνιον, καὶ τὸ Αἷμά σου τὸ τίμιον εἰς ἄφεσιν ἁμαρτιῶν. Γένοιτο δέ μοι ἡ εὐχαριστία αὕτη εἰς χαρὰν, ὑγείαν, καὶ εὐφροσύνην· καὶ ἐν τῇ φοβερᾷ καὶ δευτέρᾳ ἐλεύσει σου, ἀξίωσόν με τὸν ἁμαρτωλὸν στῆναι ἐκ δεξιῶν τῆς σῆς δόξης· πρεσβείαις τῆς παναχράντου σου Μητρὸς, καὶ πάντων σου τῶν Ἁγίων. Ἀμήν.

## ΑΝΩΝΥΜΟΥ.

### Εἰς τὴν ὑπεραγίαν Θεοτόκον.

Παναγία Δέσποινα Θεοτόκε, τὸ φῶς τῆς ἐσκοτισμένης μου ψυχῆς, ἡ ἐλπὶς, ἡ σκέπη, ἡ καταφυγὴ, ἡ παραμυθία, τὸ ἀγαλλίαμά μου, εὐχαριστῶ σοι, ὅτι ἠξίωσάς με τὸν ἀνάξιον κοινωνὸν γενέσθαι τοῦ ἀχράντου Σώματος, καὶ τοῦ τιμίου Αἵματος τοῦ Υἱοῦ σου. Ἀλλ' ἡ τεκοῦσα τὸ ἀληθινὸν φῶς, φώτισόν μου τοὺς νοητοὺς ὀφθαλμοὺς τῆς καρδίας· ἡ τὴν πηγὴν τῆς ἀθανασίας κυήσασα, ζωοποίησόν με τὸν τεθανατωμένον τῇ ἁμαρτίᾳ· ἡ τοῦ ἐλεήμονος Θεοῦ φιλεύσπλαγχνος Μήτηρ, ἐλέησόν με, καὶ δὸς κατάνυξιν καὶ συντριβὴν ἐν τῇ καρδίᾳ μου, καὶ ταπείνωσιν ἐν τοῖς διανοήμασί μου, καὶ ἀνάκλησιν ἐν ταῖς αἰχμαλωσίαις τῶν λογισμῶν μου. Καὶ ἀξίωσόν με, μέχρι τελευταίας μου ἀναπνοῆς, ἀκατακρίτως ὑποδέχεσθαι τῶν ἀχράντων Μυστηρίων τὸν ἁγιασμὸν, εἰς ἴασιν ψυχῆς τε καὶ σώματος· καὶ παράσχου μοι δάκρυα μετανοίας καὶ ἐξομολογήσεως, εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν σε πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. Ὅτι εὐλογημένη, καὶ δεδοξασμένη ὑπάρχεις εἰς τοὺς αἰῶνας. Ἀμήν.

Δημόσια Κεντρική Βιβλιοθήκη Λήξουρίου - Μουσείο Τυπάδων Ιακωβάτων



Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς.

Ματθ. ια΄. 28.

# ΚΑΝΩΝ ΙΚΕΤΗΡΙΟΣ

## ΕΙΣ ΤΟΝ ΚΥΡΙΟΝ ΗΜΩΝ

## ΙΗΣΟΥΝ ΧΡΙΣΤΟΝ

Ὠδὴ ά. Ἦχος β΄. Ἐν βυθῷ κατέστρωσε ποτέ.

Ἰησοῦ γλυκύτατε Χριστὲ, Ἰησοῦ μακρόθυμε, τὰ τῆς ψυχῆς μου θεράπευσον τραύματα, Ἰησοῦ καὶ γλύκανον, τὴν καρδίαν μου πολυέλεε δέομαι, Ἰησοῦ Σωτήρ μου, ἵνα μεγαλύνω σε σωζόμενος.

Ἰησοῦ γλυκύτατε Χριστὲ, Ἰησοῦ διάνοιξον, τῆς μετανοίας μοι πύλας φιλάνθρωπε, Ἰησοῦ καὶ δέξαι με, σοὶ προσπίπτοντα, καὶ θερμῶς ἐξαιτούμενον, Ἰησοῦ Σωτήρ μου, τῶν πλημμελημάτων τὴν συγχώρησιν.

Ἰησοῦ γλυκύτατε Χριστὲ, Ἰησοῦ ἐξάρπασον, ἐκ τῆς χειρὸς τοῦ δολίου Βελίαρ με, Ἰησοῦ καὶ ποίησον, δεξιὸν παραστάτην τῆς δόξης σου, Ἰησοῦ Σωτήρ μου, μοίρας εὐωνύμου λυτρωσάμενος.

Θεοτοκίον.

Ἰησοῦν γεννήσασα Θεὸν, Δέσποινα δυσώπησον, ὑπὲρ ἀχρείων οἰκετῶν πανάχραντε, ὅπως τῆς κολάσεως, ταῖς πρεσβείαις σου λυτρωθῶμεν ἀμόλυντε, οἱ μεμολυσμένοι, δόξης ἀϊδίου ἀπολαύσαντες.

Ὠδὴ γ΄. Ἐν πέτρᾳ με τῆς πίστεως στερεώσας.

Εἰσάκουσον φιλάνθρωπε Ἰησοῦ μου, τοῦ δούλου σου βοῶντος ἐν κατανύξει· καὶ ῥῦσαι Ἰησοῦ με τῆς καταδίκης, καὶ τῆς κολάσεως, μόνε μακρόθυμε, Ἰησοῦ γλυκύτατε πολυέλεε.

Ὑπόδεξαι τὸν δοῦλόν σου Ἰησοῦ μου, προσπίπτοντα σὺν δάκρυσιν Ἰησοῦ μου, καὶ σῶσον Ἰησοῦ μου μετα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσιο Κεντρική Βιβλιοθήκη Ληξουρίου - Πρόσβαση ελεύθερη

νοοῦντα, καὶ τῆς γεέννης με, Δέσποτα λύτρωσαι, Ἰησοῦ γλυκύτατε πολυέλεε.

Τὸν χρόνον Ἰησοῦ μου, ὃν δέδωκάς μοι, εἰς πάθη ἐδαπάνησα Ἰησοῦ μου· διό με Ἰησοῦ μου μὴ ἀπορρίψῃς, ἀλλ' ἀνακάλεσαι, δέομαι Δέσποτα, Ἰησοῦ γλυκύτατε, καὶ διάσωσον.

Θεοτοκίον.

Παρθένε ἡ τεκοῦσα τὸν Ἰησοῦν μου, ἱκέτευε ῥυσθῆναί με τῆς γεέννης, ἡ μόνη προστασία τῶν θλιβομένων, Θεοχαρίτωτε, καὶ καταξίωσον, τῆς ζωῆς Παναμώμε τῆς ἀγείρωμε.

Κάθισμα, Ἦχος ά. Τὸν τάφον σου Σωτήρ.

Σωτήρ μου Ἰησοῦ, ὁ τὸν Ἄσωτον σώσας, Σωτήρ μου Ἰησοῦ, ὁ δεξάμενος Πόρνην, κἀμὲ νῦν ἐλέησον, Ἰησοῦ πολυέλεε· σῶσον, οἰκτειρον, ὦ Ἰησοῦ εὐεργέτα, ὥσπερ ᾤκτειρας, τὸν Μανασσῆν Ἰησοῦ μου, ὡς μόνος φιλάνθρωπος.

Ὠδὴ δ'. Ἐλήλυθας ἐκ Παρθένου.

Θεράπευσον, Ἰησοῦ μου ψυχῆς μου τὰ τραύματα, Ἰησοῦ μου δέομαι, καὶ τῆς χειρός με ἐξάρπασον, Ἰησοῦ μου εὔσπλαγχνε, τοῦ ψυχοφθόρου βελίαρ, καὶ διάσωσον.

Ἥμαρτηκα, Ἰησοῦ μου γλυκύτατε εὔσπλαγχνε, Ἰησοῦ μου σῶσόν με, τὸν προσφυγόντα τῇ σκέπῃ σου, Ἰησοῦ μακρόθυμε, καὶ βασιλείας τῆς σῆς με καταξίωσον.

Οὐχ ἥμαρτεν, Ἰησοῦ μου οὐδεὶς ὥσπερ ἥμαρτον, ἐγὼ ὁ ταλαίπωρος· νῦν δὲ προσπίπτω δεόμενος: Ἰησοῦ μου σῶσόν με, καὶ τὴν ζωὴν Ἰησοῦ μου κληροδότησον.

Θεοτοκίον.

Πανύμνητε, Ἰησοῦν ἡ γεννήσασα Κύριον, αὐτὸν καθικέτευε, τοῦ λυτρωθῆναι κολάσεως, πάντας τοὺς ὑμνοῦντάς σε, καὶ Θεοτόκον κυρίως ὀνομάζοντας.

Ὠδὴ ε'. Ὁ φωτισμός.

Σὺ φωτισμός, Ἰησοῦ μου νοός μου, σὺ σωτηρία, τῆς ἀπεγνωσμένης ψυχῆς μου Σῶτερ, σὺ Ἰησοῦ μου, τῆς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τοπικών Ιστοριών

κολάσεως ῥῦσαι, καὶ γεέννης, ἐμὲ κραυγάζοντα: Σῶσον Ἰησοῦ μου, Χριστέ με τὸν ἄθλιον.

Ὁλοσχερῶς, Ἰησοῦ μου πρὸς πάθη τῆς ἀτιμίας, καταβεβλημένος, ἤδη κραυγάζω: Σὺ Ἰησοῦ μου, βοηθείας μοι χεῖρα, καταπέμψας ἔκσπασον κράζοντα: Σῶσον Ἰησοῦ μου, Χριστέ με τὸν ἄθλιον.

Βέβηλον ναῦν, Ἰησοῦ περιφέρων ἀναβοῶσοι: Κάθαρον τοῦ ῥύπου με τῶν πταισμάτων, καὶ λύτρωσαί με τὴν εἰς βάθη κακίας, ἐξ ἀγνοίας κατολισθήσαντα, Σῶτερ Ἰησοῦ μου, καὶ σῶσόν με δέομαι.

Θεοτοκίον.

Τὸν Ἰησοῦν, ἡ γεννήσασα Κόρη Θεογεννῆτορ, τοῦτον ἐκδυσώπει σωθῆναι πάντας τοὺς ὀρθοδόξους, μοναζὰς καὶ μιγάδας, καὶ γεέννης ῥυσθῆναι κράζοντας: Πλήν σου προστασίαν, βεβαίαν οὐκ ἔγνωμεν.

Ὠδὴ ς'. Ἐν ἀβύσσῳ πταισμάτων.

Ἰησοῦ μου Χριστὲ πολυέλεε, ἐξομολογούμενον δέξαι με Δέσποτα, ὦ Ἰησοῦ καὶ σῶσόν με, καὶ φθορᾶς Ἰησοῦ με ἐξάρπασον.

Ἰησοῦ μου οὐ γέγονεν ἕτερος, ἄσωτος οὐδείς, ὡς ἐγὼ ὁ ταλαίπωρος, ὦ Ἰησοῦ φιλάνθρωπε· ἀλλὰ σὺ Ἰησοῦ με διάσωσον.

Ἰησοῦ μου καὶ Πόρνην καὶ Ἄσωτον, καὶ τὸν Μανασσῆν καὶ Τελώνην νενίκηκα, ὦ Ἰησοῦ μου πάθεσι, καὶ Λῃστήν, Ἰησοῦ, Νινευίτας τε.

Θεοτοκίον.

Ἰησοῦν τὸν Χριστόν μου κυήσασα, ἄχραντε Παρθένε, ἡ μόνη ἀμόλυντος, μεμολυσμένον ὄντα με, πρεσβείῶν σου ὑσσώπῳ νῦν κάθαρον.

Κοντάκιον, Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἰησοῦ γλυκύτατε, τὸ φῶς τοῦ κόσμου, τῆς ψυχῆς μου φώτισον, τοὺς ὀφθαλμούς, Υἱὲ Θεοῦ, τῇ θεαυγεῖ σου λαμπρότητι, ἵνα ὑμνῶ σε τὸ φῶς τὸ ἀνέσπερον.

**Ὠδὴ ζ'. Εἱκόνος χρυσῆς.**

Χριστὲ Ἰησοῦ, οὐδεὶς ἥμαρτεν ἐν γῇ ἐκ τοῦ αἰῶνος, ὡς Ἰησοῦ μου, ὥσπερ ἥμαρτον, ἐγὼ ὁ τάλας καὶ ἄσωτος· ὅθεν Ἰησοῦ μου βοῶ σοι: Μελῳδοῦντά με οἰκτειρον, Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Χριστὲ Ἰησοῦ, ἐν τῷ φόβῳ σου βοῶ καθήλωσόν μου, ὡς Ἰησοῦ μου, καὶ κυβέρνησον, νῦν πρὸς λιμένα τὸν εὔδιον· ὅπως Ἰησοῦ μου οἰκτίρμον, μελῳδῶ σοι σωζόμενος: Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Χριστὲ Ἰησοῦ, μυριάκις ὑπεσχέθην σοι ὁ τάλας, ὡς Ἰησοῦ μου τὴν μετάνοιαν, ἀλλ' ἐψευσάμην ὁ ἄθλιος ὅθεν Ἰησοῦ μου βοῶ σοι: Τὴν ἀναίσθητον μένουσαν, ψυχήν μου φώτισον Χριστὲ, ὁ τῶν Πατέρων Θεός.

**Θεοτοκίον.**

Χριστὸν Ἰησοῦν, ἡ γεννήσασα φρικτῶς καὶ ὑπὲρ φύσιν, αὐτὸν δυσώπει παναμώμητε, τὰ παρὰ φύσιν μου πταίσματα, πάντα συγχωρῆσαί μοι Κόρη, ἵνα κράζω σωζόμενος: Εὐλογημένη ἡ Θεὸν σαρκὶ κυήσασα.

**Ὠδὴ ἡ. Τὸν ἐν καμίνῳ τοῦ πυρός.**

Σὲ Ἰησοῦ μου δυσωπῶ. Ὡς τὴν Πόρνην Ἰησοῦ μου ἐλυτρώσω, τῶν πολλῶν ἐγκλημάτων, οὕτω κἀμὲ Ἰησοῦ, Χριστέ μου λύτρωσαι καὶ κάθαρον, τὴν ῥερυπωμένην ψυχήν μου Ἰησοῦ μου.

Καθυποκύψας Ἰησοῦ, ταῖς ἀλόγοις ἡδοναῖς ἄλογος ὤφθην, καὶ τοῖς κτήνεσιν ὄντως, ὡς Ἰησοῦ μου οἰκτρῶς, ὁ τάλας Σῶτερ ἀφωμοίωμαι· ὅθεν Ἰησοῦ με τῆς ἀλογίας ῥῦσαι.

Περιπεσὼν ὡς Ἰησοῦ, ψυχοφθόροις ἐν λῃσταῖς ἀπεγυμνώθην, τὴν στολὴν Ἰησοῦ μου τὴν θεοῦφαντον νῦν, καὶ κεῖμαι μώλωψι κατάστικτος· ἔλαιον Χριστέ μου ἐπίχεε καὶ οἶνον.

**Θεοτοκίον.**

Τὸν Ἰησοῦν μου καὶ Θεὸν, ἡ βαστάσασα Χριστὸν ἀνερμηνεύτως, Θεοτόκε Μαρία, τοῦτον δυσώπει ἀεὶ, κιν-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπαλδοντιάκων Βάτων

δύνων σώζεσθαι τοὺς δούλους σου, καὶ τοὺς ὑμνητάς σου ἀπείρανδρε Παρθένε.

Ὠδὴ θ'. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Τὸν Μανασσῆν Ἰησοῦ μου, τὸν Τελώνην, τὴν Πόρνην τὸν Ἄσωτον, οἰκτίρμον Ἰησοῦ, καὶ τὸν Λῃστὴν ὑπερβέβηκα, Ἰησοῦ μου ἐν ἔργοις, αἰσχίστοις καὶ ἀτόποις Ἰησοῦ· ἀλλὰ σὺ Ἰησοῦ μου, προφθάσας με διάσωσον.

Τοὺς ἐξ Ἀδὰμ Ἰησοῦ μου, ἁμαρτήσαντας πάντας, πρὸ νόμου καὶ ἐν νόμῳ Ἰησοῦ, καὶ μετὰ νόμον ὁ ἄθλιος, Ἰησοῦ μου καὶ χάριν, νενίκηκα τοῖς πάθεσιν οἰκτρῶς· ἀλλὰ σὺ Ἰησοῦ μου, τοῖς κρίμασί σου σῶσόν με.

Μὴ χωρισθῶ Ἰησοῦ μου, τῆς ἀφράστου σου δόξης, μὴ τύχω τῆς μερίδος Ἰησοῦ, τῆς εὐωνύμου γλυκύτατε, Ἰησοῦ· ἀλλὰ σύ με, τοῖς δεξιοῖς προβάτοις σου Χριστὲ, Ἰησοῦ μου συντάξας, ἀνάπαυσον ὡς εὔσπλαγχνος.

Θεοτοκίον.

Τὸν Ἰησοῦν Θεοτόκε, ὃν ἐβάστασας μόνη, ἀπείρανδρε Παρθένε Μαριὰμ τοῦτον ἁγνὴ ἐξιλέωσαι ὡς Υἱόν σου καὶ Κτίστην, ῥυσθῆναι τοὺς προστρέχοντας εἰς σὲ, πειρασμῶν καὶ κινδύνων, καὶ τοῦ πυρὸς τοῦ μέλλοντος.

## Στιχηρὰ προσόμοια,

Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Ἰησοῦ γλυκύτατε, ψυχῆς ἐμῆς θυμηδία, Ἰησοῦ ἡ κάθαρσις, τοῦ νοός μου, Δέσποτα πολυέλεε, Ἰησοῦ σῶσόν με, Ἰησοῦ Σωτήρ μου, Ἰησοῦ μου παντοδύναμε, μὴ καταλίπῃς με, Σῶτερ Ἰησοῦ με ἐλέησον, καὶ λύτρωσαι κολάσεως, πάσης Ἰησοῦ καὶ ἀξίωσον, τῆς τῶν σωζομένων, μερίδος Ἰησοῦ μου τῷ χορῷ, τῶν ἐκλεκτῶν σου μὲ σύνταξον, Ἰησοῦ φιλάνθρωπε.

Ὅμοιον.

Ἰησοῦ γλυκύτατε, τῶν Ἀποστόλων ἡ δόξα, Ἰησοῦ μου καύχημα, τῶν Μαρτύρων Δέσποτα παντοδύναμε· Ἰησοῦ σῶσόν με, Ἰησοῦ Σωτήρ μου, Ἰησοῦ μου ὡραιότα-

τε, τὸν σοὶ προστρέχοντα, Σῶτερ Ἰησοῦ με ἐλέησον, πρεσβείαις τῆς τεκούσης σε, πάντων Ἰησοῦ τῶν Ἁγίων σου, Προφητῶν τε πάντων, Σωτήρμου Ἰησοῦ, καὶ τῆς τρυφῆς, τοῦ Παραδείσου ἀξίωσον, Ἰησοῦ φιλάνθρωπε.

## Δόξα.

Ἰησοῦ γλυκύτατε, τῶν μοναζόντων τὸ κλέος, Ἰησοῦ μακρόθυμε, ἀσκητῶν ἐντρύφημα καὶ καλλώπισμα, Ἰησοῦ σῶσόν με, Ἰησοῦ Σωτήρ μου, Ἰησοῦ μου ὑπεράγαθε, χειρὸς ἐξάρπασον, Σῶτερ Ἰησοῦ μου τοῦ δράκοντος, καὶ τούτου τῶν παγίδων νῦν, Σῶτερ Ἰησοῦ ἐλευθέρωσον, λάκκου κατωτάτου, Σωτήρ μου Ἰησοῦ ἀναγαγὼν, καὶ δεξιοῖς συναρίθμησον, Ἰησοῦ προβάτοις με.

## Καὶ νῦν, Θεοτοκίον.

Μὴ καταπιστεύσῃς με, ἀνθρωπίνη προστασία, Παναγία Δέσποινα, ἀλλὰ δέξαι δέησιν τοῦ ἱκέτου σου· θλῖψις γὰρ ἔχει με, φέρειν οὐ δύναμαι, τῶν δαιμόνων τὰ τοξεύματα· σκέπην οὐ κέκτημαι, οὐδὲ ποῦ προσφύγω ὁ ἄθλιος, πάντοθεν πολεμούμενος, καὶ παραμυθίαν οὐκ ἔχω πλήν σου. Δέσποινα τοῦ κόσμου, ἐλπὶς καὶ προστασία τῶν πιστῶν, μή μου παρίδῃς τὴν δέησιν, τὸ συμφέρον ποίησον.

## ΕΥΧΗ ΕΙΣ ΤΟΝ ΚΥΡΙΟΝ ΗΜΩΝ ΙΗΣΟΥΝ ΧΡΙΣΤΟΝ.

Δέσποτα Χριστὲ, ὁ Θεὸς, ὁ τοῖς πάθεσί σου τὰ πάθη μου θεραπεύσας, καὶ τοῖς τραύμασί σου τὰ τραύματά μου ἰατρεύσας, χάρισαί μοι τῷ πολλὰ σοι πταίσαντι δάκρυα καπανύξεως· συγχέρασόν μου τὸ σῶμα, ἀπὸ ὀσμῆς τοῦ ζωοποιοῦ σώματός σου, καὶ γλυκανόν μου τὴν ψυχὴν, τῷ σῷ τιμίῳ αἵματι, ἀπὸ τῆς πικρίας, ἣν με ὁ ἀντίδικος ἐπότισεν. Ὕψωσόν μου τὸν νοῦν πρὸς σὲ, κάτω ἑλκυσθέντα, καὶ ἀνάγαγέ με ἀπὸ τοῦ χάσματος τῆς ἀπωλείας· ὅτι οὐκ ἔχω μετάνοιαν, οὐκ ἔχω κατάνυξιν, οὐκ ἔχω δάκρυον παρακλητικὸν, τὰ ἐπανάγοντά με τέκνα πρὸς τὴν ἰδίαν κληρονομίαν. Ἱ-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Δωδώνης
Μουσείο Ιπειρωτικών Ιστορικών Βιβλίων

σκότισμαι τὸν νοῦν ἐν τοῖς βιωτικοῖς πάθεσι, καὶ οὐκ ἰσχύω ἀτενίσαι πρὸς σὲ ἐν ὀδύνῃ, οὐ δύναμαι θερμανθῆναι τοῖς δάκρυσι τῆς πρὸς σὲ ἀγάπης. Ἀλλὰ, Δέσποτα Κύριε, Ἰησοῦ Χριστὲ, ὁ θησαυρὸς τῶν ἀγαθῶν, δώρησαί μοι μετάνοιαν ὁλόκληρον, καὶ καρδίαν ἐπίπονον εἰς ἀναζήτησίν σου· χάρισαί μοι τὴν χάριν σου, καὶ ἀνακαίνισον ἐν ἐμοὶ τὰς μορφὰς τῆς σῆς εἰκόνος. Κατέλιπόν σε, μή με ἐγκαταλίπῃς· ἔξελθε εἰς ἀναζήτησίν μου, ἐπανάγαγέ με πρὸς τὴν νομήν σου, συναρίθμησόν με τοῖς προβάτοις τῆς ἐκλεκτῆς σου ποίμνης, καὶ διάθρεψόν με σὺν αὐτοῖς ἐκ τῆς χλόης τῶν θείων σου Μυστηρίων· πρεσβείαις τῆς παναγνου Μητρός σου, καὶ πάντων τῶν Ἁγίων σου. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων



Τοῖς Ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδασσ. Ψαλμ. ιβ'. 11. 12.

ΔΗΜΟΣΙΕΥΣΗ ΣΤΟ ΔΙΑΔΙΚΤΥΟ
Ιόνιος Κεντρική Βιβλιοθήκη Απόρρητο
Μουσείο Τυπογράφων Ιακωβατων

## ΚΑΝΩΝ ΙΚΕΤΗΡΙΟΣ

# ΕΙΣ ΤΟΝ ΑΓΓΕΛΟΝ

### ΤΟΝ ΦΥΛΑΚΑ ΤΗΣ ΤΟΥ ΑΝΘΡΩΠΟΥ ΖΩΗΣ.

Ποίημα Ἰωάννου Μοναχοῦ τοῦ Μαυροπόδος.
Οὗ ἡ ἀκροστιχίς:

Τὸν Ἄγγελον μέλπωσε τὸν φύλακά μου.
Ὠδὴ Μοναχοῦ Ἰωάννου.

Ὠδὴ ἀ. Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν.

Τὸν ἄγρυπνον φύλακα τῆς ἐμῆς, ψυχῆς καὶ προστάτην, τῆς ζωῆς μου καὶ ὁδηγόν, θεόθεν ὃν ἔλαχον ὑμνῶ σε, Ἄγγελε θεῖε Θεοῦ παντοκράτορος.

Ὁ θέλων σωθῆναι πάντας βροτοὺς, ἁγίους Ἀγγέλους, ὁδηγοὺς καὶ φωταγωγοὺς, ἐπέστησας Λόγε τοῖς ἀνθρώποις, χειραγωγοῦντας ἡμᾶς πρὸς τὸν φόβον σου.

Νυκτὶ συνεχόμενον ζοφερᾷ, καὶ μέλανι γνόφῳ, καλυπτόμενον τῶν παθῶν, φωτὶ μετανοίας αὔγασόν με, ὁ ὁδηγὸς καὶ προστάτης καὶ φύλαξ μου.

Αἰσχρῶν ἐνθυμήσεων ἐν ἐμοὶ, πηγάζει πλυμμύρα, βορβορώδης καὶ ζοφερὰ, τοῦ Θεοῦ χωρίζουσα τὸν νοῦν μου· ἣν ἀποξήρανον, ὦ ἀντιλῆπτόρ μου.

Θεοτοκίον.

Γαλήνη σὺ Δέσποινα καὶ λιμὴν, τῶν χειμαζομένων, ἐν πελάγει ἁμαρτιῶν· διό σου προστρέχω τῷ λιμένι, κλυδωνιζόμενος σάλῳ ποικίλων παθῶν.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ὠδὴ γ'. Οὐρανίας ἀψίδος.

Γεηροῦ καὶ πηλίνου, καὶ χοϊκοῦ κράματος, ἐσχηκώς τὴν ὕπαρξιν, τῇ γῇ προσήλωμαι· ἀλλ' ὦ προστάτα μου, καὶ ὁδηγέ μου, καὶ ῥῦστα, τρέψον μου τὴν ἔφεσιν πρὸς τὰ οὐράνια.

Ἐν νυκτὶ καὶ ἡμέρᾳ, τοῖς πονηροῖς ἔργοις μου, καὶ παραπικραίνω, καὶ θλίβω καὶ παροξύνω σε, καὶ οὐκ ἐθέλοντα, ἀπὸ μακρόθεν ἑστάναι, τὸν ἐμὸν ὑπέρμαχον καταναγκάζω σε.

Λύπης καὶ ἀθυμίας, παρεκτικὸς γίνομαι, ὡς ἀμετανόητος μένων καὶ ἀδιόρθωτος· διόμοι δώρησαι, μετανοῆσαι γνησίως, καὶ χαροποιῆσαί σε τὸν ἐμὸν φύλακα.

Ὁ ὁρῶν ἀοράτως, τὸ τοῦ Θεοῦ πρόσωπον, τοῦ ἐν οὐρανοῖς καθημένου, καὶ ἐπιβλέποντος, ἐπὶ τὴν γῆν νοερῶς, καὶ τρέμειν ταύτην ποιοῦντος, αἴτησαι σωθῆναί με, ἄγιε Ἄγγελε.

Θεοτοκίον.

Νοῦν καὶ φρένα καὶ λόγον, δῶρον Θεοῦ εἴληφα, ὅπως ἐπιγνοὺς τὸν Δεσπότην, ἔργοις τιμήσω καλοῖς· ἐγὼ δὲ πάθεσι, τὴν δωρεὰν ἀτιμάσας, τὸν δοτῆρα ὕβρισα. Δέσποινα σῶσόν με.

Κάθισμα, Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὁ τῆς ψυχῆς μου φυλακτὴρ καὶ τοῦ σώματος, ἀφορισθείς μοι ἐκ Θεοῦ, θεῖε Ἄγγελε, θεομιμήτως πάριδε πανάγιε, ἅπαντα τὰ πταίσματα, τῆς ἀθλίας ψυχῆς μου· ῥῦσαι τοῦ δολίου με, τῶν ποικίλων παγίδων, καὶ τὸν κοινὸν ἱλέωσαι Θεὸν, ἵνα ἐν κρίσει παράσχῃ μοι ἄφεσιν.

Ὠδὴ δ'. Σὺ μου ἰσχὺς, Κύριε.

Μὴ ἐννοῶν, τὸ φοβερὸν δικαστήριον, ἐν ᾧ μέλλω, Σῶτερ παραστῆσεσθαι, καὶ δοῦναι λόγον περὶ πάντος, ἔργου τε καὶ λόγου, μηδὲ θανάτου τὸ ἄδηλον, εἰς νοῦν λαμβάνων ὅλως, ἀδιόρθωτος μένω. Ὁδηγέ μου μὴ ἐγκαταλίπῃς με.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λέσβου
Μουσείο Τυπογραφικών Μηχανημάτων

Ἐπιμελῶς, πᾶσαν κακίαν ἐτέλεσα νηπιόθεν, καὶ οὐκ ἐπαυσάμην σε, τὸν ἀντιλήπτορα τὸν ἐμὸν, τοῦ παραπικραίνειν, ἀθέσμοις λόγοις καὶ πράξεσιν· ἀλλ' οὖν μὴ ἐκκακίσῃς, ἀλλ' ἐπίμεινον ἔτι συνετίζων, φωτίζων, στηρίζων με.

Λόγου Θεοῦ, μακροθυμίαν μιμούμενος, τοῦ ἐλθόντος, ὅπως εἰς μετάνοιαν, καλέσῃ πάντας ἁμαρτωλοὺς, καὶ ἐκδεχομένου, αὐθαίρετον τὴν διόρθωσιν, καὶ μὴ βιαζομένου, καὶ αὐτὸς ὁδήγει μου, ἐπ' ἐμοὶ μακροθύμως παράμεινον.

Πόρρω Θεοῦ, ἡ ἁμαρτία με ἔβαλε, τὸν ἀχρεῖον, δοῦλον καὶ ἀνάξιον· ἀλλ' ὁ Δεσπότης μου Ἰησοῦς, προσελάβετό με, εὐσπλάγχνως καὶ ᾠκειώσατο· ἐγὼ δὲ τὴν τοσαύτην, ἀθετῶν αὐτοῦ χάριν, ἔτι θλίβω καὶ σὲ, θεῖε Ἄγγελε.

## Θεοτοκίον.

Ὡς ἀληθῶς, ὁ Κύριος ἐβασίλευσε, βασιλείαν, τὴν μὴ διαπίπτουσαν· καὶ ἐνεδύσατο ψαλμικῶς, ἐκ σοῦ Θεομῆτορ ὡραιοτάτην εὐπρέπειαν, τὴν σάρκα τὴν ἁγίαν, δι' ἧς θάνατον εἶλε, καὶ καθεῖλεν αὐτοῦ τὰ βασίλεια.

Ὠδὴ ε'. Ἵνα τί με ἀπώσω.

Σὲ φρουρὸν κεκτημένος, σύνοικον, συνόμιλον, ἅγιε Ἄγγελε, συμπαρομαρτοῦντα, συνοδεύοντα, συμπαραμένοντα, τὰ σωτηριώδη, ὑποτιθέμενον ἀεί μοι, ποίαν ἔξω συγγνώμην ἀσύνετος ὤν.

Ἐν πολλῇ παῤῥησίᾳ, θρόνῳ παριστάμενος τοῦ παντοκράτορος, καὶ περιχορεύων, περὶ τὸν Βασιλέα τῆς κτίσεως, τῶν πολλῶν κακῶν μου, παρασχεθῆναί μοι συγγνώμην, ὁ ὑπερασπιστής μου δεήθητι.

Τὰς βασάνους προβλέπων, καὶ τὰς τιμωρίας τὰς ἀναμειούσας με, καὶ τὴν πώρωσίν μου, καὶ τὴν ἀναλγησίαν καὶ τύφλωσιν, ἐλεῶν στενάζεις καὶ σκυθρωπάζεις, καὶ στυγνάζεις, κατηφείας πληρούμενος, ῥύστα μου.

Οὐδεμίαν πρὸς ὥραν, ἀλλ' οὐδὲ στιγμὴν, ἣ καὶ ταύ-

ΔΗΜΟΣΙΕΥΣΙΣ ΒΙΒΛΙΟΘΗΚΗΣ
Δημοσιευσική Βιβλιοθήκη Μουσείο Τυπάλδων Ιακωβάτων

της βραχύτερον, συνεχώρησάσοι, τῷ ἐμῷ εὐεργέτῃ καὶ φύλακι, ἐπ' ἐμοὶ χαρῆναι, καὶ εὐφρανθῆναι, καὶ σκιρτῆσαι, ἁμαρτίαις ἀεὶ συμφθειρόμενος.

Θεοτοκίον.

Νέον βρέφος ὡράθη, ὁ ἀπερινόητος ἐκ σοῦ Πανάμωμε· ὁ σταθμῷ τὰς νάπας, καὶ τὰ ὄρη ζυγῷ στήσας γνώσεως· ὁ χορὸν ἀστέρων, διαριθμῶν, καὶ βῶλον δρόσου, καὶ ἀνέμων πνοὴν μεταθέμενος.

Ὠδὴ ε'. Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον.

Φυλάσσων καὶ παρεμβάλλων κύκλῳ μου, καὶ ὁρμαὶς ἀναχαιτίζων δαιμόνων, καὶ τὰς αὐτῶν θηριώδεις ἐφόδους, τὰς κατ' ἐμοῦ ἀνασέλλων ἑκάστοτε, μὴ λίπῃς ὁ φύλαξ ὁ ἐμὸς· σὲ γὰρ ἔχω θερμὸν ἀντιλήπτορα.

Ὑπέρτιμον καὶ εὐῶδες ὦν μῦρον, μὴ βδελύξῃ τὴν ἐμὴν δυσωδίαν, μὴ ἀποστῇς ἀπ' ἐμοῦ μέχρι τέλους, ἀλλ' ἀδιάστατος ἔσομαι φύλαξ ἀεί· καὶ Ἥλιος τόπους ῥυπαροὺς, διερχόμενος γὰρ οὐ μολύνεται.

Λιβάδας δακρυομβρύτους ὀμβρίζειν, τὸν στεγάζοντα ἐν ὕδασι λόγῳ, τὰ ἑαυτοῦ ὑψηλὰ ὑπερῷα, χάριν μοι δοῦναι δυσώπει προστάτα μου· ὡς ἂν δι' ἐκείνων καθαρθῇ, ἡ καρδία μου, καὶ καθορᾷ τὸν Θεόν.

Ἀΰλως, ὡς καθαρὸς καὶ ἄϋλος, παρεστὼς τῷ καθαρῷ καὶ ἀΰλῳ, καὶ πρὸς αὐτὸν κεκτημένος πλουσίαν, τὴν παῤῥησίαν καὶ τὴν οἰκειότητα, δυσώπησον τοῦτον ἐκτενῶς, τὴν ψυχήν μου σωθεῖσαν χαρίσαι μοι.

Καλύψειεν ἐντροπὴ καὶ αἰσχύνη, τὰς αἰσχρὰς καὶ δυσειδεῖς καὶ ζοφώδεις, ὄψεις ἐχθρῶν, ὁπηνίκα τοῦ σκήνους, ἡ ταπεινή μου ψυχὴ διαζεύγνυται· αὐτὴν δὲ σκεπάσας, ὁδήγει, σαῖς λαμπραῖς πανιέροις τε πτέρυξι.

Θεοτοκίον.

Ἁγίων ἁγιωτέρα Ἀγγέλων, Χερουβὶμ καὶ Σεραφὶμ ὑπερτέρα, τὸν χαμερπῆ, καὶ χαμαίζηλον νοῦν μου, τῆς γειρᾶς καὶ προσύλου ἐφέσεως, ὑπέρτερον δεῖξον ἀπογῆς, πρὸς οὐράνιον πόθον ὑψώσασα.

Κοντάκιον, Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Θεοῦ λειτουργὲ, καὶ φύλαξ μου παναρίσε, τῷ ἁμαρτωλῷ, ἀεί μοι συμπαράμενε, κακουργίας πάσης με τῶν δαιμόνων ἐκλυτρούμενος, καὶ πρὸς θείας τρίβους ὁδηγῶν, ζωὴν προξενούσας τὴν ἀκήρατον.

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Μυριάδας τῶν κύκλῳ, συνεπιτιθεμένων ἐμοὶ λῃστῶν ἀφανῶν, ζητούντων τὴν ψυχήν μου, ἁρπάσαι καὶ σπαράξαι, τῇ πυρίνῃ ῥομφαίᾳ σου, ἀποσοβῶν κραταιῶς, μὴ λίπῃς βοηθέ μου.

Ὅταν μέλλῃ με κρῖναι, ὁ Κριτὴς καὶ Θεός μου καὶ κατακρῖναί με, τὸν κατακεκριμένον, ὑπὸ τοῦ συνειδότος, πρὸ ἐκείνης τῆς κρίσεως, μὴ ἐπιλάθῃ τοῦ σοῦ, δούλου χειραγωγέ μου.

Ὕλην σχὼν τὴν μητέρα, καὶ πηλὸν τὸν πατέρα, καὶ τὸν προπάτορα χοῦν, τῇ τούτων συγγενείᾳ, εἰς γῆν διόλου βλέπω· ἀδεῶς δός προστάτα μου, καὶ ἄνω βλέψαι ποτὲ, πρὸς οὐρανοῦ τὸ κάλλος.

Ὡς ὡραῖος τῷ κάλλει, καὶ γλυκὺς καὶ χαρίεις, ὁ ἡλιόμορφος νοῦς, φαιδρῶς παράστηθί μοι προσώπῳ μειδῶντι, ἱλαρῷ τε προσβλέμματι, ἡνίκα μέλλω τῆς γῆς, ἀπαίρειν ὁδηγέ μου.

Διὰ σπλάγχνα ἐλέους, διὰ φιλανθρωπίας περιουσίαν πολλὴν, τῶν σῶν πτερύγων σκέπῃ, φρουρέ μου σκέπασόν με, ἐκδημοῦντα τοῦ σώματος, ὡς μὴ ἰδεῖν δυσειδῆ, πρόσωπα τῶν δαιμόνων.

Θεοτοκίον.

Ἡ οὐράνιος πύλη, ἡ σωτήριος θύρα, ἡ κλίμαξ ἡ νοητὴ, δι' ἧς Θεὸς κατέβη, καὶ ἄνθρωπος ἀνέβη, οὐρανῶν βασιλείας με, τοῖς οἰκτιρμοῖς σου Σεμνὴ, ἀξίωσον σὸν δοῦλον.

Ὠδὴ ἡ. Ἑπταπλασίως κάμινον.

Μετὰ Θεὸν σὲ ἔλαβον, ἐκ Θεοῦ ἀντίληπτορα, καὶ χειραγωγὸν, καὶ βοηθὸν καὶ πρόμαχον, παναγιε

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λήξουρίου - Μουσείο Παλαιών Τυπωμάτων

Ἄγγελε· διὸ μὴ παύσῃ δέομαι, καὶ παιδαγωγῶν, καὶ νουθετῶν, καὶ διδάσκων, τὰ δέοντά με πράττειν, καὶ φωτίζων τὸν νοῦν μου, ἕως με παραστήσῃς, τῷ Χριστῷ σεσωσμένον.

Ὅταν οἱ θρόνοι τίθωνται, καὶ αἱ βίβλοι ἀνοίγωνται, καὶ ὁ παλαιὸς τῶν ἡμερῶν καθέζηται, καὶ κρίνωνται ἄνθρωποι, καὶ Ἄγγελοι παρίστανται, καὶ κλονῆται γῆ καὶ πάντα φρίσσῃ καὶ τρέμῃ, τὴν σὴν φιλανθρωπίαν, ἐπ' ἐμοὶ δεῖξον τότε, καὶ ῥῦσαί με γεέννης, Χριστὸν καθικετεύων.

Νῦν ὡς κηρίον μέλισσαι, ἀοράτως κυκλοῦσί με, οἱ θεοστυγεῖς, καὶ λυμεῶνες δαίμονες, ὡς ἅρπαγες ὄρνιθες, ὡς δολεραὶ ἀλώπεκες, καὶ ὡς αἱμοφάγα, πετεινὰ σαρκοβόρα, κυκλόθεν ἵπτανταί μου. Σκέπασόν με φρουρέμου, ὡς ἀετὸς σκεπάζει τὰ ἑαυτοῦ νοσσία.

Ἀπὸ βλεφάρων δάκρυα, ἀστακτὶ καταῤῥέοντα, μετὰ δαψιλοῦς, τῆς προχοῆς παράσχου μοι, δι' ὅλου με πλύνοντα, ἐκ κορυφῆς καὶ μέχρι ποδῶν, ὡς ὑπὲρ χιόνα, λευκανθέντα χιτῶνα, φορέσας μετανοίας, εἰς νυμφῶνα τὸν θεῖον, εἰσέλθω σε γεραίρων τὸν ὑπερασπιστήν μου.

Χριστοῦ ναὸν ὑπάρχουσαν, τὴν καρδίαν μου πάθεσι, χοίρων νοητῶν, διατριβὴν ἐτέλεσα· ἀλλά με δυνάμωσον, ὁ τῆς ἐμῆς ψυχῆς βοηθὸς ταύτην καθαρίσαι, θυμιάσαι, ῥαντίσαι, ἀρώμασι καὶ μύροις, προσευχῶν καὶ ἁγνείας, ὡς ἂν ὑπάρξῃ πάλιν, ναὸς Χριστοῦ εὐώδης.

Ὁ ὁδηγὸς καὶ φύλαξ μου, καὶ προστάτης καὶ ῥύστης μου, τῆς ἀπεγνωσμένης μου ψυχῆς ὁ ἔφορος, ἡνίκα τῆς σάλπιγγος, τὸ φοβερὸν ἀπήχημα, μέλλῃ με τῆς γῆς, ἐξαναστῆσαι εἰς κρίσιν, ἐγγύς μου στῆθι τότε, ἱλαρὸς καὶ χαρίεις, ἐλπίδι σωτηρίας, ἐξαίρων μου τὸν φόβον.

Θεοτοκίον.

Ὑπερβολὴ χρηστότητος, δωρεάν με ἐλέησον, ἡ τῆς εὐσπλαγχνίας τὴν πηγὴν κυήσασα· ἐλέους γὰρ ἄξιον,

Δημόσια Κεντρική Βιβλιοθήκη Λήξουρίου – Μελέτη Τσιμπέρη Γιαννούλη

οὐκ ἔχω τί προσάξω σοι· τῶν γὰρ ἀγαθῶν μου, οὐδαμῶς χρείαν ἔχεις, ὡς τὸν ἀγαθοδότην, καὶ σωτῆρα τοῦ κόσμου ἀῤῥήτως συλλαβοῦσα, ἡ Κεχαριτωμένη.

Ὠδὴ Θ'. Ἔφριξε πᾶσα ἀκοή.

Ἰδοιμί σε ἐκ δεξιῶν, τῆς ἀθλίας μου ψυχῆς παριστάμενον, φαιδρὸν καὶ ἤμερον, τὸν ἀντιλήπτορα καὶ προστάτην μου, ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ, βιαίως τὸ πνεῦμά μου· καὶ τοὺς ζητοῦντάς με, συλλαβεῖν πικροὺς ἐχθροὺς φυγαδεύοντα.

Ὡς Θεοῦ θεῖος λειτουργὸς, ποιῶν αὐτοῦ τὰ θεῖα θελήματα, πολλὴν πλουτεῖς πρὸς αὐτὸν, τὴν παῤῥησίαν, ἅγιε Ἄγγελε· διὸ θερμῶς ὑπὲρ ἐμοῦ, αὐτὸν παρακάλεσον, ὡς ἂν σωθεὶς διὰ σοῦ, ἀνυμνῶ τὴν προστασίαν καὶ σκέπην σου.

Ἅπασαν τὴν ἐμὴν ζωὴν ἐν πολλῇ διαθραμῶν ματαιότητι, τῷ τέλει ἤγγισα, καὶ δυσωπῶσε, τὸν ἐμὸν φύλακα. Γενοῦ μοι ὑπερασπιστὴς, καὶ πρόμαχος ἄμαχος, ὅταν διέρχωμαι, τοὺς τελώνας τοῦ δεινοῦ κοσμοκράτορος.

Νοός μου τὰς παρεκτροπὰς, ῥεμβασμοὺς, αἰχμαλωσίας, φαυλότητας, καὶ τὴν αἰσχρόνοιαν, τῶν ἀκαθάρτων καὶ ῥυπαρῶν λογισμῶν, τρέπειν ἐννοίας εἰς καλὰς, μὴ λίπῃς προστάτα μου, καὶ ἀγαθοὺς λογισμοὺς, κατανύξεως ἐμπύρου γεννήτορας.

Νίκησον τῶν ἐμῶν κακῶν, Ἰησοῦ μονογενὲς ὑπεράγαθε, τῇ εὐσπλαγχνίᾳ σου, τὴν ἀμετρίαν καὶ πολυπλήθειαν, τοῦ σοῦ αὐλοῦ λειτουργοῦ, θείαις παρακλήσεσιν, ὃν μοι ἐπέστησας, νηπιόθεν, ὡς φιλάνθρωπος φύλακα.

Ὅλην μου σοὶ μετὰ Θεὸν, σωτηρίας τὴν ἐλπίδα ἀνέθηκα, τῷ ἐμῷ φύλακι, καὶ κηδεμόνι καὶ ἀντιλήπτορι· κοινὴν πρεσβείαν πρὸς Θεὸν, ὑπὲρ ἐμοῦ ποίησον, συμπρεσβευτὰς προσλαβὼν, τῶν Ἀγγέλων τοὺς χορὰς, καὶ συλλήπτορας.

Θεοτοκίον.

Ὕψωσον κέρας εὐσεβῶν, καὶ κατάβαλε βαρβάρων φρυάγματα, Θεογεννήτρια, ἀπολισθαίνοντα διασώζουσα, ταύτην τὴν ποίμνην σου, ἐν ᾗ, τὸ μέγα σου ὄνομα, καὶ πολυδόξαστον, μεγαλύνεται πιστῶς καὶ δοξάζεται.

## Στιχηρὰ προσόμοια.

Ἦχος β'. Οἶκος τοῦ Εὐφραθᾶ.

Ὦ Ἄγγελε Θεοῦ, ὁ παρεσὼς ἀμέσως, τῇ ἁγίᾳ Τριάδι, μὴ παύσῃ ἱκετεύων, ὑπὲρ ἐμοῦ τοῦ δούλου σου.

Ὡς ἔλαβες ἰσχύν, φυλάττειν τὴν ψυχήν μου, παρὰ Θεοῦ, μὴ παύσῃ, σκέπῃ τῶν σῶν πτερύγων, αὐτὴν σκέπων ἑκάστοτε.

Χάρις τῷ Ἰησοῦ, τῷ δόντι μοί σε μέγαν, φύλακα τῆς ψυχῆς μου, καὶ ὅπλον κατ' ἐχθρῶν μου, Ἄγγελε θεοτίμητε.

Ἀξίωσον κἀμὲ, τυχεῖν τῆς βασιλείας, τοῦ Θεοῦ τοῦ ὑψίστου, ἵνα σὺν σοὶ κραυγάζω, τὸν ὕμνον τὸν Τρισάγιον.

Φῶς δεύτερον σὺ εἶ, μετὰ Θεὸν φρουρέμου· μὴ παύσῃ προστατεύων, ἰδεῖν κἀμὲ τὸ σέλας, τῆς τριλαμποῦς Θεότητος.

Δόξα, καὶ νῦν, Θεοτοκίον.

Ἀγγέλων καὶ βροτῶν, Δέσποινα Θεοτόκε, μὴ παύσῃ ἱκετεύειν, Παρθένε τὸν Υἱόν σου, ὑπὲρ ἐμοῦ τοῦ δούλου σου.

## ΕΥΧΗ

### Εἰς τὸν αὐτὸν Φύλακα τῆς τοῦ ἀνθρώπου ζωῆς.

Ἅγιε Ἄγγελε, ὁ ἐφεστὼς τῆς ἀθλίας μου ψυχῆς, καὶ ταλαιπώρου μου ζωῆς, μὴ ἐγκαταλίπῃς με τὸν ἁμαρτωλὸν, μηδὲ ἀποστῇς ἀπ' ἐμοῦ διὰ τὴν ἀκρασίαν μου· μὴ δῴης χώραν τῷ πονηρῷ δαίμονι, κατακυριεῦσαι

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λεκουρίου
Μουσείο Κυπελλοφόρου Τσακωβότου

μου τῇ καταδυναστείᾳ τοῦ θνητοῦ τούτου σώματος· κράτησον τῆς ἀθλίας καὶ παρειμένης χειρός μου, καὶ ὁδήγησόν με εἰς ὁδὸν σωτηρίας. Ναὶ, ἅγιε Ἄγγελε τοῦ Θεοῦ, ὁ φύλαξ καὶ σκεπαστὴς τῆς ἀθλίας μου ψυχῆς καὶ τοῦ σώματος, πάντα μοι συγχώρησον, ὅσα σοι ἔθλιψα πάσας τὰς ἡμέρας τῆς ζωῆς μου, καὶ εἴτι ἥμαρτον τὴν σήμερον ἡμέραν· σκέπασόν με ἐν τῇ παρούσῃ νυκτὶ, καὶ διαφύλαξόν με ἀπὸ πάσης ἐπηρείας τοῦ ἀντικειμένου, ἵνα μὴ ἔν τινι ἁμαρτήματι παροργίσω τὸν Θεόν· καὶ πρέσβευε ὑπὲρ ἐμοῦ πρὸς τὸν Κύριον, τοῦ ἐπιστηρίξαι με ἐν τῷ φόβῳ αὐτοῦ, καὶ ἄξιον ἀναδεῖξαί με δοῦλον τῆς αὐτοῦ ἀγαθότητος. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων



Πολὺ ἰσχύει δέησις Δικαίου ἐνεργουμένη.

Ἰακ. ε. 16.

Δημοτική Κεντρική Βιβλιοθήκη Δράμας
Μουσείο Τυπαλδών Ιακωβατων

# ΚΑΝΩΝ ΙΚΕΤΗΡΙΟΣ

## ΕΙΣ ΤΑΣ ΕΠΟΥΡΑΝΙΟΥΣ ΔΥΝΑΜΕΙΣ ΚΑΙ ΕΙΣ ΠΑΝΤΑΣ ΤΟΥΣ ΑΓΙΟΥΣ.

### Ποίημα Ἰωσὴφ τοῦ Ὑμνογράφου.

Οὗ ἡ ἀκροστιχὶς, κατὰ Ἀλφάβητον. Ὠδὴ Ἰωσήφ.

Ὠδὴ ἀ. Ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ.

Ἄναρχε Λόγε, ἱεραῖς δεήσεσι, τῶν Χερουβὶμ Σεραφὶμ, Ἐξουσιῶν Θρόνων, καὶ θείων Δυνάμεων, Ἀγγέλων Ἀρχαγγέλων τε, Ἀρχῶν Κυριοτήτων, τὰ σὰ ἐλέη τὰ πλούσια, δώρησαι ἡμῖν ὡς φιλάνθρωπος.

Βοήθησόν μοι τοῦ Κυρίου Πρόδρομε, Χριστοῦ δεόμενος, τῶν Προφητῶν δῆμος, Ἀποστόλων σύλλογος, Μαρτύρων τὰ στρατεύματα, τὸν τῶν ὅλων Δεσπότην, ἐκδυσωπεῖτε σωθῆναί με, πταίσμασι πολλοῖς συνεχόμενον.

Γυναῖκες θεῖαι, αἱ καλῶς ἀθλήσασαι, καὶ ἐξασκήσασαι, Ἱεραρχῶν δῆμος, Ὅσιοι καὶ Δίκαιοι, σεπτοὶ Ἱερομάρτυρες, ἀγαθῶν αἰωνίων, ἐπιτυχεῖν ἱκετεύσατε, πίστει τοὺς ὑμᾶς μακαρίζοντας.

Θεοτοκίον.

Δεδουλωμένον ἡδοναῖς τὸ σῶματος, τὸν νοῦν μου Δέσποινα, καὶ ἀγαθὴ μόνη, ὅλον ἐλευθέρωσον, καὶ δοῦλον γνησιώτατον, ἀγαθῶν ἐργασίαις, τοῦ σοῦ Υἱοῦ με ἀνάδειξον, ὅπως κατὰ χρέος δοξάζω σε.

Ὠδὴ γ. Ὁ στερεώσας κατ' ἀρχάς.

Ἐκ τῶν σκανδάλων τοῦ ἐχθροῦ, ὦ Σεραφὶμ ῥυσασθαί με, Ἐξουσίαι Χερουβὶμ ἱκετεύω, Κυριότητες

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Γυμνασίου Ιωάννου Μεταξά

Ἀρχαὶ, καὶ Θρόνοι καὶ Ἀρχάγγελοι, σὺν τοῖς Ἀγγέλοις πᾶσι, τὸν Λυτρωτὴν ἱκετεύσατε.

Ζωῆς ἀρίστης με τυχεῖν, Πρόδρομε ἐκδυσώπει, σὺν Προφήταις καὶ Μαρτύρων χορείαις, Ἀποστόλων ἱερῶν, Ἱεραρχῶν Ὁσίων τε, καὶ Ἱερομαρτύρων, τελειωθέντων δι' αἵματος.

Ἧς ἠξιώθητε τρυφῆς, καὶ δόξης ἀδιαδόχου, αἱ ἀθλήσασαι Γυναῖκες ἀνδρείως, καὶ ἀσκήσασαι φαιδρῶς, καὶ τὸν ἐχθρὸν νικήσασαι, ταύτης ἡμᾶς γενέσθαι, ἐν μετοχῇ ἱκετεύσατε.

Θεοτοκίον.

Θεοχαρίτωτε Ἁγνὴ, μετὰ τῶν ἄνω ταγμάτων, μετὰ πάντων τῶν σοφῶν Ἀποστόλων, καὶ Μαρτύρων ἱερῶν, καὶ Προφητῶν ἱκέτευε, ὅπως τελείαν λύσιν, ἁμαρτημάτων ληψώμεθα.

Ὠδὴ δ'. Σὺ μου ἰσχὺς, Κύριε.

Ἴδε Χριστὲ, καὶ μὴ παρίδῃς με δέομαι, ἁμαρτίαις, πάσαις συνεχόμενον, ἀλλ' ἱκεσίαις τῶν ἱερῶν, πάντων σου Ἀγγέλων, Μαρτύρων καὶ Ἀποστόλων σου, οἰκτείρησόν με σῶσον, καὶ τῆς σῆς βασιλείας, κληρονόμον με δεῖξον ὡς εὔσπλαγχνος.

Κῆρυξ Χριστοῦ, Πρόδρομε τὸν ἐσβεσμένον μου, τῆς καρδίας λύχνον νῦν ἐπάναψον, λύχνος Ἡλίου τοῦ νοητοῦ, ἤδη χρηματίσας, καὶ σὺν Προφήταις ἱκέτευε, καὶ πᾶσι τοῖς Ἁγίοις, ἐν θερμῇ μετανοίᾳ, τὴν ζωὴν μετελθεῖν με τὴν πρόσκαιρον.

Λάμψον μοι φῶς, τῆς μετανοίας φιλάνθρωπε, μεσιτείαις, τῶν ἐν ὁσιότητι, θεραπευσάντων σε Ἰησοῦ, ἱερῶν Γυναίων, Ἱεραρχῶν καὶ Μαρτύρων σου, κηρύκων Ἀποστόλων, καὶ Ἱερομαρτύρων, καὶ τυχεῖν σωτηρίας ἀξίωσον.

Θεοτοκίον.

Μόνη Θεὸν, σωματωθέντα κυήσασα, Παναγία, τὸν τόκον καθικέτευε, ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ, πάντας ἡμᾶς σῶσαι, καὶ τῆς κολάσεως ῥύσασθαι, ζωῆς αἰωνιζούσης, ἧς φωτὸς ἀξιῶσαι, καὶ σὺν τούτοις καλῶς θεραπεύσασι.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημοσία Κεντρική Βιβλιοθήκη Μεσολογγίου
Μουσείο Τυπογραφών Παλαιοτύπων

Ὠδὴ ε'. Ἵνα τί με ἀπώσω.

Νεοραίσε Δυνάμεις, νῦν καθικετεύουσιν εὔσπλαγχνε Κύριε, Ἐξουσίαι Θρόνοι, Σεραφὶμ Κυριότητες Ἄγγελοι, σὺν τοῖς Ἀρχαγγέλοις, καὶ ταῖς Ἀρχαῖς· Ἵλεως ἔσο, τῷ λαῷ σου, καὶ σῶσον ὡς εὔσπλαγχνος.

Ξενοτρόπως βιώσας, Πρόδρομε μακάριε, ξένον με ποίησον, πάσης τιμωρίας, Ἰησοῦν δυσωπῶν τὸν φιλάνθρωπον, σὺν Προφήταις θείοις, καὶ Ἀποστόλοις Ἱεράρχαις, καὶ Μαρτύρων ἁγίοις στρατεύμασιν.

Ὁ τοὺς σοὺς Ἱεράρχας, καὶ Ἱερομάρτυρας λαμπρύνας Κύριε, καὶ σεπτῶν Γυναίων, ἀθλησάντων τὸν θεῖον κατάλογον, μεγαλύνας τούτων, ταῖς προσευχαῖς οἰκτείρησόν με, ὁ εἰδώς μου τὰ ἄμετρα πταίσματα.

Θεοτοκίον.

Παναγία Παρθένε, Λόγον τὸν πανάγιον ἀποκυήσασα, τῆς ψυχῆς μου πᾶσαν, ἀθυμίαν, καὶ λύπην ἀπέλασον, καὶ εὐόδωσόν μου, τὸν λογισμὸν τὰ θεῖα πράττειν, ἵνα πίστει καὶ πόθῳ δοξάζωσε.

Ὠδὴ ς'. Ἱλάσθητί μοι Σωτήρ.

Ῥυσθῆναί με τῆς ἐκεῖ, ἀποκειμένης κολάσεως, δεήθητε Χερουβὶμ, Θρόνοι Κυριότητες, Ἄγγελοι Ἀρχάγγελοι, Ἀρχαὶ καὶ Δυνάμεις, τὸν Δεσπότην πάσης κτίσεως.

Σὺν Ἀποστόλων χοροῖς, καὶ τῶν Μαρτύρων στρατεύμασι, Πρόδρομε κῆρυξ Χριστοῦ, εὑρεῖν ἡμᾶς ἔλεος, ἐν ὥρᾳ τῆς κρίσεως, Ἰησοῦν δυσώπει, τὸν φιλάνθρωπον Θεὸν ἡμῶν.

Τῶν ἀθλησάντων στερρῶς, Γυναίων Θέκλα ἐξάρχουσα, ἱκέτευε σὺν αὐταῖς, τὸν εὔσπλαγχνον Κύριον, παθῶν ἀμαυρώσεως, καὶ πειρατηρίων, πολυτρόπων λυτρωθῆναι ἡμᾶς.

Θεοτοκίον.

Ὑμνοῦμέν σε οἱ πιστοὶ, θεοχαρίτωτε Δέσποινα, τὸν ὑπερύμνητον γὰρ, Θεὸν ἀπεκύησας· ὃν δυσώπει ἄχραντε, πόλιν καὶ λαόν σου, ἐν εἰρήνῃ διασώζεσθαι.

Ὠδὴ ζ'. Θεοῦ συγκατάβασιν.

Φωτὸς φῶτα δεύτερα, τοῦ πρώτου ὄντες, ἅγιοι Ἄγγελοι, ἐν μεθέξει αὐλῷ, καὶ πανολβίῳ καταφαι-

ΑΠΟΣΕΛΙΔΩΘΗΚΕΣ
Δημοσία Κεντρική Βιβλιοθήκη Λήξουριου - Πανεπιστημίου Κυπαλάσσων

δρύνεσθε· ὅθεν κραυγάζω: Τὸν νοῦν μου φωτίσατε, ἐσκοτισμένον ἀεὶ βίου τοῖς πάθεσιν.

Χορὸς ὁ μακάριος, τῶν Ἀποστόλων καθικετεύει σε, σὺν τῷ θείῳ Προδρόμῳ, τῶν Ἀθλοφόρων καὶ ἱερῶν Προφητῶν, Ἱεραρχῶν τε Ὁσίων φιλάνθρωπε· πάριδε πάντων ἡμῶν τὰ πλημμελήματα.

Ψυχῆς μου κατάβαλε, Χριστὲ τὸν πόνον, καὶ ταύτην οἰκτειρον, τῶν Ἱερομαρτύρων, Ἱεραρχῶν τε καὶ τῶν Ὁσίων σου, ταῖς μεσιτείαις μὴ καταισχύνῃς με, ἡνίκα μέλλω τῷ σῷ, θρόνῳ παρίστασθαι.

Θεοτοκίον.

Ὡς θρόνος πυρίμορφος, τὸν Βασιλέα φέρεις τῆς κτίσεως, ὃν δυσώπει Παρθένε, σὺν μακαρίαις καὶ ἱεραῖς Γυναιξὶ, τῆς βασιλείας αὐτοῦ ἀξιῶσαί με, ὑμνολογοῦντα πιστῶς τὴν προστασίαν σου.

Ὠδὴ ἡ. Ἑπταπλασίως κάμινον.

Ὡς Χερουβὶμ πυρίμορφα, Σεραφὶμ πολυόμματα, Θρόνοι Ἐξουσίαι, καὶ Ἀρχαὶ καὶ Ἄγγελοι, καὶ πάντες Ἀρχάγγελοι, καὶ Κυριότητες ἱεραὶ, σὺν τῷ μακαρίῳ, δυσωπεῖτε Προδρόμῳ, Προφήταις Ἀποστόλοις, Ἱεράρχαις Ὁσίοις, καὶ πᾶσι τοῖς Δικαίοις ἡμᾶς ἐλεηθῆναι.

Δότε ἡμῖν βοήθειαν, Πέτρε, Παῦλε, Ἰάκωβε, καὶ Βαρθολομαῖε, καὶ Θωμᾶ, καὶ Φίλιππε, Ἀνδρέα Μάρκε, Λουκᾶ, καὶ Ἰωάννη φίλε Χριστοῦ, Σίμων καὶ Ἰούδα, παμμακάριστοι θεῖοι, καὶ μέγισε Ματθία, ἐπηρείαις τοῦ πλάνου, καταπεπονημένοις καὶ ἐξηπορημένοις.

Ἡλιακῶν λαμπρότερος, χρηματίσας ἐλλάμψεων, Στέφανε ὁ πρῶτος, Ἀθλητῶν γενόμενος, σὺν τούτοις ἱκέτευε, καταυγασθῆναι πάντας ἡμᾶς, καὶ τῆς ἁμαρτίας ἐκφυγεῖν πάντα ζόφον, βοῶντας τῷ Δεσπότῃ: Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἰσχνήλατεῖν με Πάναγνε, τοὺς ὁσίως βιώσαντας, διὰ πολιτείας ἐναρέτου ποίησον, ἐχθρούς καταῤῥάσσουσα, τοὺς ἀφειδῶς με θλίβοντας, καὶ πρὸς τῆς σαρκὸς κατο-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Λεμεσού
Μουσείο Τυπολογίας Ιακωβίτων

λισθαίνειν τὰ πάθη, ἀπαύστως ἐνοχλοῦντας, ἵνα χαίρων κραυγάζω: Λαὸς ὑπερυψοῦτε Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ Θ'. Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.

Ὡς θεῖαι Ἐξουσίαι καὶ Χερουβὶμ, Σεραφὶμ Κυριότητες Ἄγγελοι, Θρόνοι Ἀρχαὶ, πᾶσαι καὶ Δυνάμεις πανευκλεεῖς, καὶ ἱεροὶ Ἀρχάγγελοι, δέησιν ποιεῖτε πρὸς τὸν Θεὸν, καλῶς ἡμᾶς βιῶσαι, τυχεῖν τε σωτηρίας, καὶ τῶν δεινῶν ἀπολυτρώσασθαι.

Σὺν πᾶσι τοῖς Προφήταις ὡς Προφητῶν, χρηματίσας ὑπέρτερος Πρόδρομε, τῶν ἀγαθῶν, πάντων καταξίωσον καὶ ἡμᾶς, τοὺς κακωθέντας πάθεσι, καὶ ταῖς ἐπηρείαις τοῦ πονηροῦ, ἀεὶ συνεχομένους, καὶ βίου ταῖς ἀπάταις, ὅπως ὑμᾶς πίστει γεραίρωμεν.


Ἡ θεία Ἀποστόλων πανευκλεὴς, δωδεκὰς σὺν τοῖς Μάρτυσιν ἅπασιν, Ἱερουργοῖς, καὶ Ἱερομάρτυσιν ἱεροῖς, Προφήταις μακαρίοις τε, Ὅσιοι καὶ Δίκαιοι, αἱ στερρῶς, ἀθλήσασαι Γυναῖκες, ὑπὲρ ἡμῶν πρεσβείαν, πρὸς τὸν Φιλάνθρωπον ποιήσατε.

Θεοτοκίον.

Φιλάγαθε Παρθένε τὸν ἀγαθὸν, ἐκδυσώπει Υἱόν σου καὶ Κύριον, διαπαντὸς, τὴν κεκακωμένην ταῖς προσβολαῖς, τοῦ ψυχοφθόρου δράκοντος, καὶ ἐξασθενήσασάν μου ψυχὴν, ἰάσασθαι καὶ σῶσαι, καὶ πάσαις ἀγαθῦναι, ταῖς φωτοφόροις ἀναβάσεσιν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων




Ἐμοὶ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ Σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Γαλ. ϛ'. 14.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Λήξουρίου

# ΟΙ ΕΙΚΟΣΙΤΕΣΣΑΡΕΣ ΟΙΚΟΙ

## ΕΙΣ ΤΗΝ ΝΟΗΤΗΝ ΚΑΙΜΑΚΑ

## ΤΟΝ ΤΙΜΙΟΝ ΣΤΑΥΡΟΝ.

Κοντάκιον, Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Ὦ τρισμακάριστε Σταυρὲ καὶ πανσεβάσμιε, σὲ προσκυνοῦμεν οἱ πιστοὶ καὶ μεγαλύνομεν, ἀγαλλόμενοι τῇ θείᾳ σου ἀνυψώσει. Ἀλλ' ὡς τρόπαιον καὶ ὅπλον ἀπροσμάχητον, περιφρούρει τε καὶ σκέπε τῇ σῇ χάριτι, τοὺς σοὶ κράζοντας: Χαῖρε Ξύλον μακάριον.

### ΟΙ ΟΙΚΟΙ.

Ἄγγελοι οὐρανόθεν ἀοράτως κυκλοῦσι Σταυρὸν τὸν ζωηφόρον ἐν φόβῳ· καὶ φωτοπάροχον χάριν λαμπρῶς παρεχόμενον νῦν τοῖς πιστοῖς βλέποντες, ἐξίστανται, καὶ ἵστανται βοῶντες πρὸς αὐτὸν τοιαῦτα:

Χαῖρε, Σταυρὲ οἰκουμένης φύλαξ· χαῖρε, ἡ δόξα τῆς Ἐκκλησίας.

Χαῖρε, ὁ πηγάζων ἀφθόνως ἰάματα· χαῖρε, ὁ φωτίζων τοῦ κόσμου τὰ πέρατα.

Χαῖρε, Ξύλον ζωμύριστον, καὶ θαυμάτων θησαυρέ· χαῖρε, συνθετοτρισόλβιε, καὶ χαρίτων παροχεῦ.

Χαῖρε, ὅτι ὑπάρχεις ὑποπόδιον θεῖον· χαῖρε, ὅτι ἐτέθης εἰς προσκύνησιν πάντων.

Χαῖρε, κρατὴρ τοῦ νέκταρος ἔμπλεως· χαῖρε, λαμπτὴρ τῆς ἄνω λαμπρότητος.

Χαῖρε, δι' οὗ εὐλογεῖται ἡ κτίσις· χαῖρε, δι' οὗ προσκυνεῖται ὁ Κτίστης.

Χαῖρε, Ξύλον μακάριον.

Βλέπουσα ἡ Ἑλένη, ἑαυτὴν ἐν ἐφέσει, φησὶ τῷ Βασιλεῖ Θαρσάλεως: Τὸ παμπόθητόν σου τῆς ψυχῆς;

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Λιβαδειάς - Μουσείο Ιμπρολίων Ιστοριών

εὐχερέστατόν μου τῇ σπουδῇ φαίνεται· ζητοῦσα γοῦν τὸ κράτιστόν σοι τρόπαιον, ὡς λέγεις, κράζω:

Ἀλληλουϊα.

Γνῶσιν ἄγνωστον πρώην ἡ Βασίλισσα γνοῦσα, ἐβόησε πρὸς τοὺς ὑπουργοῦντας: Ἐκ λαγόνων τῆς γῆς εὑρεῖν ἐν τάχει, καὶ δοῦναι τὸν Σταυρὸν σπεύσατε πρὸς ὃν ἰδοῦσα ἔφησεν ἐν φόβῳ, πλὴν κράζουσα οὕτω:

Χαῖρε, χαρᾶς τῆς ὄντως σημεῖον· χαῖρε, ἀρᾶς τῆς ἀρχαίας λύτρον.

Χαῖρε, θησαυρὸς ἐν τῇ γῇ φθόνῳ κρυπτόμενος· χαῖρε, ὁ φανεὶς ἐν τοῖς ἄστροις τυπούμενος.

Χαῖρε, τετρακτινοπύρσευτε καὶ πυρίμορφε Σταυρέ· χαῖρε, κλίμαξ ὑψοστήρικτε, προοραθεῖσα ποτέ.

Χαῖρε, τὸ τῶν Ἀγγέλων γαληνόμορφον θαῦμα· χαῖρε, τὸ τῶν δαιμόνων πολυστένακτον τραῦμα.

Χαῖρε, τερπνὸν τοῦ Λόγου κειμήλιον· χαῖρε, πυρὸς τῆς πλάνης σβεστήριον.

Χαῖρε, Σταυρὲ, ἀπορούντων προστάτα· χαῖρε, στερρὲ εὐθρομούντων ἀλείπτα.

Χαῖρε, Ξύλον μακάριον.

Δύναμις ἡ τοῦ Ξύλου ἐπιδέδεικται τότε πρὸς πίστωσιν ἀληθῆ τοῖς πᾶσι· καὶ τὴν ἄφωνόν τε καὶ νεκρὰν πρὸς ζωὴν ἀνέστησε, φρικτὸν θέαμα τοῖς μέλλουσι καρποῦσθαι σωτηρίαν, ἐν τῷ μέλπειν οὕτως:

Ἀλληλουϊα.

Ἔσχε ἡ Ἑλένη τὸ ἀήττητον ὅπλον, ἀνέδραμε πρὸς τὸν ταύτης γόνον· ὁ δὲ, μέγα σκιρτήσας εὐθὺς, ἐπιγνοὺς τὸν μέγιστον Σταυρὸν, ἔχαιρε, καὶ ἅλμασιν ὡς ἄσμασιν ἐβόα πρὸς αὐτὸν τοιαῦτα:

Χαῖρε, Σταυρὲ, τοῦ φωτὸς δοχεῖον· χαῖρε, Σταυρὲ, τῆς ζωῆς ταμεῖον.

Χαῖρε, ὁ δοτὴρ χαρισμάτων τοῦ Πνεύματος· χαῖρε, ὁ λιμὴν πλουτοπόρων ἀχείμαστος.

Χαῖρε, τράπεζα βασάζουσα ὥσπερ θῦμα τὸν Χριστόν· χαῖρε, κλῆμα, βότρυν πέπειρον φέρον οἶνον μυστικόν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Χαῖρε, ὅτι τὰ σκῆπτρα τῶν ἀνάκτων φυλάττεις· χαῖρε, ὅτι τὰς κάρας τῶν δρακόντων συνθλάττεις.

Χαῖρε, λαμπρὸν τῆς πίστεως γνώρισμα· χαῖρε, παντὸς τοῦ κόσμου διάσωσμα.

Χαῖρε, Θεοῦ πρὸς θνητοὺς εὐλογία· χαῖρε, θνητῶν πρὸς Θεὸν μεσιτεία.

Χαῖρε, Ξύλον μακάριον.

Ζῆλον ἔνδοθεν θεῖον ἡ Ἑλένη λαβοῦσα, ἐζήτησε καὶ εὗρε σπουδαίως τὸν ἐν γῇ κρυπτόμενον Σταυρὸν, καὶ δεικνύμενον ἐν οὐρανῷ Ἄνακτι· ὃν ὕψωσε· καὶ βλέπον τὸ πολίτευμα, ἐν πίστει ἔφη·

Ἀλληλούϊα.

Ἡλιόμορφος ὤφθη ὁ Σταυρὸς ἐν τῷ κόσμῳ, καὶ πάντες φωτισμοῦ ἐμπλησθέντες, καὶ δραμόντες ὡς πρὸς ἀϊδρα, θεωροῦσι τοῦτον ὡς καλῶν αἴτιον, ἐν ταῖς χερσὶ ταῖς θείαις ὑψωθέντα· ὃν ὑμνοῦντες εἶπον·

Χαῖρε, αὐγὴ νοητοῦ Ἡλίου· χαῖρε, πηγὴ ἀκενώτου μύρου.

Χαῖρε, τοῦ Ἀδὰμ καὶ τῆς Εὔας ἀνάκλησις· χαῖρε, τῶν ἀρχόντων τοῦ Ἅιδου ἡ νέκρωσις.

Χαῖρε, ὅτι ἀνυψούμενος, συνανυψοῖς νῦν ἡμᾶς· χαῖρε, ὅτι προσκυνούμενος, καθαγιάζεις τὰς ψυχάς.

Χαῖρε, τῶν Ἀποστόλων κοσμοκήρυκτον κλέος· χαῖρε, τῶν ἀθλοφόρων εὐμενέστατον σθένος.

Χαῖρε, Σταυρὲ, Ἑβραίων ὁ ἔλεγχος· χαῖρε, πιστῶν ἀνθρώπων ὁ ἔπαινος.

Χαῖρε, δι' οὗ κατεβλήθη ὁ Ἅιδης· χαῖρε, δι' οὗ ἀνατέταλκε χάρις.

Χαῖρε, Ξύλον μακάριον.

Θεοβράβευτον Ξύλον θεωρήσαντες πάντες, τῇ τούτου νῦν προσέλθωμεν σκέπῃ· καὶ ὡς ὅπλον κρατοῦντες αὐτὸ, δι' αὐτοῦ τροποῦμεν τῶν ἐχθρῶν φάλαγγας· καὶ ψαύοντες τὸν ἄψαυστον, τοῖς χείλεσιν αὐτῷ βοῶμεν·

Ἀλληλούϊα.

Ἴδε φῶς οὐρανόθεν Κωνσταντῖνος ὁ μέγας, δεικνύμενον Σταυροῦ τὸ σημεῖον δι' ἀστέρων, ἐν ᾧ καὶ νι-

ΔΗΜΟΣΙΕΥΣΙΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λιξουρίου - Μουσείο Ιστορίας Σαμαρίνας

κἂν πολεμίων πληθὺν, ἔσπευσε τὸ Ξύλον φανερῶσαι, καὶ βοῆσαι πρὸς αὐτὸ τοιαῦτα:

Χαῖρε, βουλῆς τῆς ἀῤῥήτου πέρας· χαῖρε, λαοῦ εὐσεβοῦντος κέρας.

Χαῖρε, πολεμίων ὁ τρέπων τὰς φάλαγγας· χαῖρε, φλὸξ καθάπερ φλέγων τοὺς δαίμονας.

Χαῖρε, σκῆπτρον ἐπουράνιον τοῦ Βασιλέως τοῦ κράτους· χαῖρε, τρόπαιον ἀήττητον τοῦ φιλοχρίστου στρατοῦ.

Χαῖρε, ὁ τῶν βαρβάρων τὴν ὀφρὺν καταβάλλων· χαῖρε, ὁ τῶν ἀνθρώπων τὰς ψυχὰς περιέπων.

Χαῖρε, κακῶν πολλῶν ἀμυντήριον· χαῖρε, καλῶν πολλῶν βραβευτήριον.

Χαῖρε, δι' οὗ χρισοφόροι σκιρτῶσι· χαῖρε, δι' ὃ Ἰσδαῖοι θρηνοῦσιν. Χαῖρε, Ξύλον μακάριον.

Κλίμαξ οὐρανομήκης ὁ Σταυρὸς τοῦ Κυρίου ἐγένετο, τὰς πάντας ἀνάγων ἀπὸ γῆς πρὸς ὕψος ὀρανοῦ, τοῖς χοροῖς Ἀγγέλων συνοικεῖν πάντοτε, ἀφέντας τὰ νῦν ὄντα ὡς μὴ ὄντα, καὶ εἰδότας ψάλλειν. Ἀλληλούϊα.

Λάμψας φῶς ἐπὶ πᾶσιν ὁ Σωτὴρ τοῖς ἐν Ἅδῃ, ἐφώτισας τοὺς κάτω κειμένους· πυλωροὶ δὲ Ἅδου τὴν αὐγὴν μὴ ἐνέγκαντές σου, ὡς νεκροὶ πεπτώκασιν· οἱ τούτων δὲ ῥυσθέντες, νῦν ὁρῶντες τὸν Σταυρὸν βοῶσι: Χαῖρε, ἀνάστασις τεθνεώτων· χαῖρε, παράκλησις τῶν πενθούντων.

Χαῖρε, τῶν ταμείων τοῦ Ἅδου ἡ κένωσις· χαῖρε, Παραδείσου τρυφῆς ἡ ἀπόλαυσις.

Χαῖρε, ῥάβδος ἡ ποντίσασα τὸν Αἰγύπτιον στρατόν· χαῖρε, αὖθις ἡ ποτίσασα Ἰσραηλίτην λαόν.

Χαῖρε, ἔμψυχον Ξύλον, τοῦ Λῃστοῦ σωτηρία· χαῖρε, εὔοσμον ῥόδον, εὐσεβῶν εὐωδία.

Χαῖρε, τροφὴ πεινώντων ἐν πνεύματι· χαῖρε, σφραγὶς, ἣν ἔλαβον ἄνθρωποι.

Χαῖρε, Σταυρὲ, μυστηρίων ἡ θύρα· χαῖρε, ἐξ οὗ ῥεῖθρα χέονται θεῖα.

Χαῖρε, Ξύλον μακάριον.

ΔΗΜΟΣΙΕΥΣΙΣ ΒΙΒΛΙΟΘΗΚΗΣ
Ἀνθρωπία Κεντρική Βιβλιοθήκη Δεσμού Μουσείο Γυναικῶν Ἰακωβατῶν

Μέλλοντος Μωϋσέως τὸ πολύμοχθον γένος λυτρώσασθαι ἐκ τοῦ λυμεῶνος, ἐπεδόθης ὡς ῥάβδος αὐτῷ, ἀλλ' ἐγνώσθης τούτῳ καὶ Θεοῦ σύμβολον· διόπερ κατεπλάγη σου, Σταυρε, τὴν δυναστείαν, κράζων:

Ἀλληλούϊα.

Τὸ Κοντάκιον: Ὦ τρισμακάριστε Σταυρέ. Σελ. 519.

Τὸν Ν'. ψαλμὸν, καὶ τὸν Κανόνα, οὗ ἡ ἀκροστιχίς: Χαρᾶς δοχεῖον, σοὶ πρέπει χαίρειν μόνῳ. Ἰησοῦς.

Ποίημα Κωνσταντίνου Δαπόντε.

Ὠδὴ ά. Ἦχος δ'. Ὁ Εἱρμός.

„Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται πνεύματος, „καὶ λόγον ἐρεύξομαι τῷ ζωηφόρῳ Σταυρῷ, καὶ „ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος „τούτου τὰ θαύματα.

Τροπάριον.

Χριστοῦ σκῆπτρον ἅγιον, ἐμψυχωμένον σε Πνεύματι, Σταυρὲ πανσεβάσμιε, Ἑλένη βλέπουσα, προσεφώνει σοι: Χαῖρε Χριστοῦ ἡ δόξα, δι' οὗ δόξαν ἅπαντες προσενεδύθημεν.

Ἀήττητος δύναμις, χαῖρε Σταυρὲ τρισμακάριστε, πιστῶν δεομένων σου· χαῖρε ἡ μάχαιρα, ἡ ἐκκόπτουσα, τὰ κέρατα δαιμόνων· χαῖρε ἀγλαόκαρπον δένδρον πανάγιον.

Ῥάβδος ἡ βλαστήσασα, χαῖρε Χριστὸν τὸν ζωήρυτον, καρπὸν ἐξ οὗ τρώγοντες, ζωὴν καρπούμεθα· Χαῖρε ἔνδοξον, σημεῖον τοῦ Δεσπότου, ἀφ' οὗ σαλευθήσονται γῆ καὶ οὐράνια.

Ἀγγέλων ἀγλάϊσμα, χαῖρε βροτῶν τὸ διάσωσμα, δαιμόνων πολύστονον, τραῦμα πανύμνητε, ζωοπάροχε, Σταυρὲ ἡ σωτηρία, καταπονουμένων τε καὶ ἡ ἀντίληψις.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

„Τοὺς σοὺς ὑμνολόγους ζωοδότα, ἰάσεων ἄφθονος πηγὴ, „θίασον συγκροτήσαντας, πνευματικὸν σεαυτῷ σον, „καὶ ἐν τῇ θείᾳ δόξῃ σου, στεφάνων δόξης ἀξίωσον.

Τροπάριον.

Σταυρὲ ἡ ἀρχὴ τῆς σωτηρίας, Σταυρὲ τῶν Μαρτύρων ἡ χαρὰ, κήρυγμα Ἀποστόλων τε, Ἐκκλησιῶν ὁμό-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Λέσβου - Μυτιλήνη

νοια, σκέπε φρούρει καὶ φύλαττε, τοὺς καυχωμένους τῷ κράτει σου.

Δι ώκονται φάλαγγες δαιμόνων, τῇ σῇ σημειώσει δυνατέ· ὅθεν βοῶμεν: Χαῖρε σοι· χαῖρε δι' οὗ ἠνώθησαν, ἡ γῆ καὶ τὰ οὐράνια, καὶ ἐθεώθη ὁ ἄνθρωπος.

Ὁδὸς πρὸς μονὰς τὰς οὐρανίους, ἀπάγουσα, χαῖρε τὸ λαμπρὸν, τῶ Ἰησῶ μὰ τρόπαιον· χαῖρε ἀνάκτων στέφανος· χαῖρε σωτὴρ παγκόσμιος· χαῖρε ἡ ῥάβδος εὐθύτητος.

Χαῖρε σὺ ἡ ῥάβδος βασιλείας, δυνάμεως· χαῖρε τοῦ Χριστοῦ, ἡ ῥάβδος ἣν ἀπέξειλεν, ἐκ τῆς Σιὼν ὁ Κύριος· χαῖρε φυτὸν ἀθάνατον, ὑφ' οὗπερ σκέπονται ἅπαντες.

Τὸ Κοντάκιον: Ὦ τρισμακάριστε Σταυρέ.

Εἶτα ἕτερους ἐξ Οἴκους.

Νόμον ὁ ἐν Σιναίῳ τῷ Θεόπτῃ δοὺς πάλαι, Σταυρῷ ἐθελοντὶ προσηλοῦται, ὑπὲρ ἀνόμων ἀνόμως ἀνδρῶν, καὶ κατάραν νόμῳ παλαιὰν ἔλυσεν, ἵνα Σταυροῦ τὴν δύναμιν ὁρῶντες ἅπαντες νῦν βοῶμεν:

Χαῖρε, ἀνόρθωσις πεπτωκότων· χαῖρε, κατάπτωσις κοσμολάτρων.

Χαῖρε, Ἀναστάσεως Χριστοῦ τὸ ἐγκαίνισμα· χαῖρε, μοναζόντων τὸ θεῖον ἐντρύφημα.

Χαῖρε, δένδρον εὐσκιόφυλλον, ὑφ' οὗ σκέπονται πιστοί· χαῖρε, ξύλον προφητόφθεγκτον, πεφυτευμένον ἐν γῇ.

Χαῖρε, τῆς Βασιλείας κατ' ἐχθρῶν συμμαχία· Χαῖρε, τῆς πολιτείας κραταιὰ προστασία.

Χαῖρε, Κριτοῦ δικαίου φανέρωσις· χαῖρε, βροτῶν πταιόντων κατάκρισις.

Χαῖρε, Σταυρὲ ὀρφανῶν ἀντιλῆπτορ· χαῖρε, Σταυρὲ πλουτιστὰ τῶν πενήτων.

Χαῖρε, Ξύλον μακάριον.

Ξένον θαῦμα ἰδόντες, ξένον βίον βιῶμεν, τὸν νοῦν εἰς οὐρανὸν ἀνυψοῦντες· διὰ τοῦτο γὰρ ἐν τῷ Σταυρῷ ὁ Χριστὸς ἐπάγη, καὶ σαρκὶ πέπονθε, βουλόμενος ἑλκύσαι πρὸς τὸ ὕψος τοὺς αὐτῷ βοῶντας:

Ἀλληλουΐα.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Χανίων
Μουσείο Ηπειρωτικού Πολιτισμού

Ὅλος ἦλθεν ἐξ ὕψους, τὴν Θεότητα ἔχων, ὁ μόνος προαιώνιος Λόγος· καὶ τεχθεὶς ἐκ Παρθένου Μητρὸς, καὶ φανεὶς τῷ κόσμῳ ταπεινὸς ἄνθρωπος, Σταυρὸν καταδεξάμενος, ἐζώωσε τοὺς αὐτῷ βοῶντας:

Χαῖρε, Σταυρὲ τῆς εἰρήνης ὅπλον· χαῖρε, βαλβὶς τῶν ὁδοιπορούντων.

Χαῖρε, σωζομένων σοφία καὶ στήριγμα· χαῖρε, ἀπολλυμένων μωρία καὶ σύντριμμα.

Χαῖρε, εὔκαρπον, ἀθάνατον καὶ ζωηφόρον φυτόν· χαῖρε, ἄνθος, ὅπερ ἤνθησε τὴν σωτηρίαν ἡμῶν.

Χαῖρε, ὅτι συνάπτεις τὰ ἐν γῇ σὺν τοῖς ἄνω· χαῖρε, ὅτι φωτίζεις τὰς καρδίας τῶν κάτω.

Χαῖρε, δι' οὗ φθορὰ ἐξωστράκισται· χαῖρε, δι' οὗ ἡ λύπη ἠφάνισται.

Χαῖρε, καλῶν μυριάριθμος ὅλβος· χαῖρε, πιστῶν μυριώνυμον εὔχος.

Χαῖρε, Ξύλον μακάριον.

Πέπτωκε τῶν δαιμόνων ἡ παμβέβηλος φάλαγξ, καὶ γένος τῶν Ἑβραίων ᾐσχύνθη, προσκυνούμενον τὸν Σταυρὸν παρὰ πάντων, μετὰ πόθου βλέποντες, ἀεὶ δὲ ἀναβλύζοντα ἰάματα τοῖς ἐκβοῶσιν: Ἀλληλούϊα.

Ῥεύματα συνεστάλη λογισμῶν κακοδόξων, παγέντος σου Χριστὲ ἐπὶ ξύλου· ἀποροῦσι γὰρ ὄντως τὸ, Πῶς καὶ Σταυρὸν ὑπέστης, καὶ φθορὰν πέφευγας· ἡμεῖς δὲ τὴν Ἀνάστασιν δοξάζοντες, ἀναβοῶμεν:

Χαῖρε, σοφίας Θεοῦ τὸ ὕψος· χαῖρε, προνοίας αὐτοῦ τὸ βάθος.

Χαῖρε, μωρολόγων ἀλόγων ἡ ἄγνοια· χαῖρε, μαντιπόλων ἀφρόνων ἀπώλεια.

Χαῖρε, ὅτι τὴν Ἀνάστασιν ἐμφανίζεις τοῦ Χριστοῦ· χαῖρε, ὅτι τὰ παθήματα ἀνακαινίζεις αὐτοῦ.

Χαῖρε, τῶν πρωτοπλάστων τὴν παράβασιν λύτας· χαῖρε, τοῦ Παραδείσου τὰς εἰσόδους ἀνοίξας.

Χαῖρε, Σταυρὲ τοῖς πᾶσι σεβάσμιε· χαῖρε, ἐθνῶν ἀπίστων ἀντίπαλε.

ΔΙΠΛΟΕΞΕ ΒΙΒΛΙΟΘΗΚΕΣ
Απόδοση: Κεντρική Βιβλιοθήκη Πανεπιστημίου Θεσσαλονίκης

Χαῖρε, Σταυρὲ ἰατρὲ τῶν νοσούντων· χαῖρε, ἀεὶ βοηθὲ τῶν βοώντων.

Χαῖρε, Ξύλον μακάριον.

Σῶσαι θέλων τὸν κόσμον ὁ τοῦ κόσμου κοσμήτωρ, κατῆλθε πρὸς αὐτὸν ἀπορρήτως· καὶ Σταυρὸν ὑπέστη, Θεὸς ὤν, δι' ἡμᾶς, τὰ πάντα καθ' ἡμᾶς δέχεται· διὸ καὶ λυτρωσάμενος ἡμᾶς, ἀκούει παρὰ πάντων:

Ἀλληλούϊα.

Τὸ Κοντάκιον: Ὦ Τρισμακάριστε Σταυρέ.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

„ Ὁ καθήμενος ἐν δόξῃ, ἐπὶ θρόνῳ Θεότητος, ἐν Σταυ-
„ ροῦ τῷ ξύλῳ, ἦλθεν Ἰησοῦς ὁ ὑπέρθεος, τῇ ἀκη-
„ ράτῳ παλάμῃ, καὶ διέσωσε, τοὺς κραυγάζοντας: Δόξα
„ Χριστὲ τῇ δυνάμει σου.

Τροπάριον.

Εὐφημοῦμέν σε προθύμως, ὑποπόδιον λέγοντες, τῶν ποδῶν Κυρίου, ἐν ᾧ προσκυνοῦμεν παναγιε, Χαῖρε Σταυρέ· καὶ ὑψοῦμεν τὸν ὑψώσαντα, τὴν πεσοῦσαν φύσιν παραβάσει Προπάτορος.

Ἰορδάνης μαρτυρεῖ σου, τὴν φρικτὴν θείαν δύναμιν, Σταυρὲ τοῦ Κυρίου, ἀναχαιτισθεὶς ὑπὲρ λόγον τε, καὶ τόπον δοὺς Πατριάρχῃ διαβαίνοντι, καὶ ἀνάξας τῷ Ἐλισσεὲ τὸ σιδήριον.

Ὄφεις χαῖρε ὁ κτιννύων, ἐν ἐρήμῳ βλεπόμενος· χαῖρε φῶς Κυρίου, τὸ φωτίζον πάντα τὰ πέρατα· χαῖρε ὁ σκόλοψ βαρβάρων, ἡ κατάλυσις, τῶν ξοάνων τε, καὶ Ἰουδαίων ἀπώλεια.

Νῆσοι, ἤπειρος ἡ πᾶσα, σῷ τιμίῳ κλείζονται, κλέος οἰκουμένης, Σταυρὲ ζωηφόρε ὀνόματι· ὕψωσον κέρας ἁπάντων, χριστωνύμων τε, καὶ κατάβαλε τῶν ἐναντίων τὸ φρύαγμα.

Σοὶ βοῶμεν ὡς ἐμψύχῳ: Χαῖρε Ξύλον τρισόλβιον· χαῖρε ζωῆς Ξύλον· χαῖρε προσκυνούμενον πάντοτε, ὑπὸ Ἀγγέλων, ἀνθρώπων· χαῖρε καύχημα, οὐρανοῦ καὶ γῆς, σῶσον ἡμᾶς τῇ δυνάμει σου.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημοτική Βιβλιοθήκη Απόρρητων
Μουσείο Παιδικών Ιστοριών

## Ὠδὴ έ. Ὁ Εἱρμός.

„Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου· σὺ
„γὰρ τρισμακάριστον ὦ Ξύλον, ἔσχες εἰς ὕψος
„τὸν ἐπὶ πάντων Θεὸν, καὶ ἔδειξας ἄχρονον ἡμῖν, πᾶ-
„σι τοῖς ὑμνοῦσί σε, σωτηρίαν δωρούμενος.

## Τροπάριον.

Ὅπλον θεοχάλκευτον, ὁ θυρεὸς τῆς πίστεως, κράτος τὸ ἀκράδαντον ἐν μάχαις, Σταυρὲ Κυρίου, χαῖρε ἡ δίστομος, σπάθη τῶν πιστῶν· χαῖρε δι' ἧς, Ἅγαρ κατασφάττεται, καὶ ἐγείρονται τρόπαια.

Ἰσχὺς καὶ ὀχύρωμα, ἀνθρώπων Σταυρὲ τίμιε, κλίμαξ τὸν Θεὸν ἐστηριγμένον, ἐπὶ σὲ ἔχουσα, χαῖρε κήρυγμα, πάντων Προφητῶν· χαῖρε δι' οὗ, ὁ κόσμος ἠγίασται, καὶ Σατὰν καταβέβληται.

Πάθος τὸ κεφάλαιον, παθῶν Κυρίου ἔνδοξε, χαῖρε τοῦ παθόντος ἑκουσίως, ἐξ οὗ τὸ θεῖον πόμα ἀνέβλυσε, πᾶσι τὸ πανάχραντον αὐτοῦ, αἷμα καὶ ἐπίομεν, ἐκτακέντες οἱ ἄνθρωποι.

Ῥείθροις θείοις αἵματος, ἐπαρδευθεὶς πανάγιε, Σταυρὲ θεοτίμητε τοὺς πίστει, σῶζε κινδύνων, καὶ τοῦ λοιμοῦ καὶ λιμοῦ, βοῶντάς σοι: Χαῖρε ἡ πηγὴ, ἄρδουσα τὰ σύμπαντα, τὰ σωτήρια νάματα.

Εὐλόγησον Κύριε, τοῦ σοῦ Σταυροῦ τῇ χάριτι, τὴν ἐνιαυτόν χρηστότητός σου, τοὺς ἱερέας, τοὺς βασιλεῖς, τὸν στρατὸν, πάντα περιούσιον λαὸν, πιστῶς προσκυνοῦντάς σου, τὸν Σταυρὸν τὸν φωτόμορφον.

## Ὠδὴ ς'. Ὁ Εἱρμός.

„Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν
„οἱ θεόφρονες, τῷ θεοδέγμονος Σταυροῦ, τὰς χεῖ-
„ρας κροτήσωμεν, τὸν ἐπ' αὐτῷ τεθέντα Θεὸν δοξάζοντες.

## Τροπάριον.

Πᾶσα ἡ γῆ προσκυνοῦμέν σε, καὶ ψάλλομεν τῷ θείῳ ὀνόματι, σοῦ Σταυρὲ ὕψιστε, σεπτῷ Ἀγγέλοις ὑπάρχαντι, καὶ φοβερῷ καὶ τοῖς τοῖς δαιμόνων ἄρχουσι.

Ἑλένη γῆθεν τὸ Λάβαρον, ἐκλάμψαν βασιλείας

τοὐπίσημον, Χριστιανῶν ἡμῶν, γνοῦσα τὸ, Χαῖρέ σοι ἔκραζε, χαῖρε ἡμῶν ἡ δόξα καὶ τὸ κραταίωμα.

Ἰδοὺ καὐτοί σοι κραυγάζομεν: Χαῖρε Σταυρὲ Κυρίου πανένδοξε· χαῖρε ἐλπὶς ἡμῶν· χαῖρε ὑψῶν ἡμᾶς ἅπαντας, τῇ παγκοσμίῳ ἤδη θείᾳ ὑψώσει σου.

Χαρᾶς αἰτίου ὑπάρξαντος, πιστοὶ νῦν τῇ δυνάμει σου χαίρομεν, καὶ προσκυνοῦμέν σε. Χαῖρε λαμπτὴρ παμφαέστατε· χαῖρε νηπίων φύλαξ, καὶ πολυΰμνητε.

Τὸ Κοντάκιον: Ὦ τρισμακάριστε Σταυρέ.

Εἶτα τοὺς λοιποὺς ἓξ Οἴκους.

Τεῖχος τῆς οἰκουμένης, ὦ Σταυρὲ ζωηφόρε, ἀπόρθητον καὶ θεῖον νοοῦμεν· ὁ γὰρ τοῦ οὐρανοῦ καὶ τῆς γῆς κατασκευάσας σε ποιητής, τάννυσι τὰς χεῖρας, ξένον ἄκουσμα! καὶ ἅπαντας ἐκφωνεῖν διδάσκει:

Χαῖρε, ἡ βάσις τῆς εὐσεβείας· χαῖρε, τὸ νῖκος τῆς κληρουχίας.

Χαῖρε, Ἀμαλὴκ νοητὸν ὁ τροπούμενος· χαῖρε, Ἰακὼβ ταῖς χερσὶ προτυπούμενος.

Χαῖρε· σὺ γὰρ ἀνεμόρφωσας τὰς παλαιτάτας σκιάς· χαῖρε· σὺ γὰρ ἀνεπλήρωσας προφητοφθέγκτους φωνάς.

Χαῖρε, ὁ τὸν Σωτῆρα τῶν ἁπάντων βαστάσας· χαῖρε, ὁ τὸν φθορέα τῶν ψυχῶν καταργήσας.

Χαῖρε, δι' οὗ Ἀγγέλοις ἡνώθημεν· χαῖρε, δι' οὗ φωτὶ κατηυγάσθημεν.

Χαῖρε· σὲ γὰρ προσκυνοῦμεν τιμῶντες· χαῖρε· σοὶ γὰρ προσφωνοῦμεν, βοῶντες:

Χαῖρε, Ξύλον μακάριον.

Γύμνος ἅπας μείωται, συνακολουθεῖν θέλων τῷ πλήθει τῶν πολλῶν σε θαυμάτων· ἐγκωμίων πληθὺν καὶ γὰρ ἂν προσάξωμέν σοι, ὦ Σταυρὲ τίμιε, οὐδὲν τελοῦμεν ἄξιον, ὧν δέδωκας ἡμῖν· ἀλλ' ὅν βοῶμεν: Ἀλληλούϊα.

Φωτοπάροχον αἴγλην τοῖς ἐν σκότει δωρεῖται Σταυρὸς ὁ ζωοδώρητος ἔτος· τὸ γὰρ ξύλον δέδεκται φῶς, καὶ πρὸς γνῶσιν θείαν διδουχεῖ ἅπαντας· ὑψοῖ δὲ νῦν ὑψούμενος τὸν νοῦν ἡμῶν, ἀναμέλπειν ταῦτα:

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Αρχαιολογική Βιβλιοθήκη Δημοσίευση
Μορφές Ελληνικού Πολιτισμού

Χαῖρε, φωστὴρ τοῖς ἐν σκότει φαίνων· χαῖρε, ἀστὴρ τὸν κόσμον αὐγάζων.

Χαῖρε, ἀστραπὴ χριστοκτόνους ἀμβλύνουσα· χαῖρε, ἡ βροντὴ τοὺς ἀπίστους ἐκπλήττουσα.

Χαῖρε, ὅτι κατελάμπρυνας ὀρθοδόξων τοὺς χορούς· χαῖρε, ὅτι κατηδάφισας τῶν εἰδώλων τοὺς βωμούς.

Χαῖρε, οὗπερ ὁ τύπος οὐρανόθεν ἐφάνη· χαῖρε, οὗπερ ἡ χάρις πονηρίας ἐλαύνει.

Χαῖρε, σαρκὸς σημαίνων τὴν νέκρωσιν· χαῖρε, παθῶν ὁ κτείνων ἐπέγερσιν.

Χαῖρε, ἐν ᾧ ὁ Χριστὸς ἐσταυρώθη· χαῖρε, δι' οὗ πᾶς ὁ κόσμος ἐσώθη.

Χαῖρε, Ξύλον μακάριον.

Χάριν δοῦναι θελήσας ὁ Χριστὸς τοῖς ἀνθρώποις, τὰς χεῖρας ἐπὶ ξύλου ἐκτείνει, καὶ τὰ ἔθνη πάντα συγκαλεῖ, καὶ βασιλείαν πᾶσιν οὐρανῶν δίδωσι, τοῖς μέλπουσι τὸν ὕμνον ἐπαξίως, καὶ πιστῶς βοῶσιν:

Ἀλληλουϊα.

Ψάλλοντές σου τὸν ὕμνον, εὐφημοῦμεν ἐκ πόθου, ὡς ἔμψυχον Κυρίου σε Ξύλον· ἐπὶ σοὶ γὰρ παγεὶς ἐν σαρκὶ ὁ δεσπόζων τῶν ἄνω δυνάμεων, ἡγίασεν, ἐδόξασεν, ἐδίδαξε βοᾶν σοι ταῦτα:

Χαῖρε, Σταυρὲ, νοητὴ ῥομφαία· χαῖρε, Ἁγίων ἅγιον βλέμμα.

Χαῖρε, Προφητῶν καὶ Δικαίων προκήρυγμα· χαῖρε, τοῦ Χριστοῦ λαμπροφόρον στρατήγημα.

Χαῖρε, κάλλος καὶ διάδημα βασιλέων εὐσεβῶν· χαῖρε, κράτος καὶ ὀχύρωμα ἱερέων εὐλαβῶν.

Χαῖρε, τῆς ἀληθείας εὐκλεέσατος κόσμος· χαῖρε, τῆς σωτηρίας εὐτυχέστατος ὅρμος.

Χαῖρε, φαιδρὸν ἁπάντων ἀγλάϊσμα· χαῖρε, υἱῶν τῆς Ἄγαρ φυγάδευμα.

Χαῖρε, φωτὸς ἀκηράτου λυχνία· χαῖρε, ψυχῆς τῆς ἐμῆς θυμηδία.

Χαῖρε, Ξύλον μακάριον.

Ὦ πανύμνητον Ξύλον, τὸ βαστάσαν τὸν πάντων Ἁγίων ἁγιώτατον Λόγον· δεδεγμένον ἡμῶν τὰς λιτὰς, ἀπὸ πάσης ῥῦσαι συμφορᾶς ἅπαντας, καὶ αἰωνίου λύτρωσαι κολάσεως τοὺς σοὶ βοῶντας:

Ἀλληλούϊα.

Καὶ πάλιν: Ἄγγελοι οὐρανόθεν. Καὶ τὸ: Ὦ Τρισμακάριστε Σταυρέ. Σελ. 519.

## Ὠδὴ ζ'. Ὁ Εἱρμός.

„Οὐκ ἐλάτρευσαν, τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν „κτίσαντα· ἀλλὰ πυρὸς ἀπειλὴν, ἀνδρείως πατή„σαντες, ἔχαιρον ψάλλοντες: Ὑπερύμνητε, ὁ τῶν Πατέ„ρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ. Τροπάριον.

Ἀναφέρουσα, ἐκ γῆς πρὸς τὰ οὐράνια, χαῖρε ἡ γέφυρα· χαῖρε σημεῖον ἐν ᾧ, φλογίνη ῥομφαία μὲν ὑποκεχώρηκε· Λῃστὴς ἦλθε δὲ, χαίρων εἰς τὸν Παράδεισον. Ἀνυμνῶ τὴν δύναμίν σου.

Ἱερέων, ἡ εὐπρέπεια ζωήρρυτε, χαῖρε θεμέλιον, τῆς Ἐκκλησίας ἡμῶν, γαλήνη τοῦ σύμπαντος· χαῖρε ἀνάκλησις, μετανοίας τε, καὶ παρθενίας τήρησις· χαῖρε Ξύλον ἀφθαρσίας.

Ῥόδον εὔοσμον, ἄνθος χαῖρε ἀμάραντον, ῥάβδος βλαστήσασα, τὴν σωτηρίαν ἡμῶν· ζωῆς χαῖρε τράπεζα, παρατιθέμενον, ἄρτον ἔχουσα· χαῖρε τροφὴ πεινώντων τε, καὶ λιμὴν χειμαζομένων.

Εὐφημεῖσε, μακαρίζοντα τὰ πέρατα, καὶ ἀνακράζει σοι: Χαῖρε τὸ ἅρμα Θεοῦ, ἐν ᾧ περιέδραμεν ἀγαλλιώμενος, ὥσπερ γίγας τις, τὸν οὐρανὸν, τὴν ἄβυσσον, ἕως ἄκρων οὐρανίων.

Ἱλαστήριον, ἁπάντων χαῖρε τίμιε· χαῖρε ἡ σύστασις, παντὸς τοῦ κόσμου Σταυρὲ, δι' οὗ ὑψουμένου τε συναναυψούμεθα, καὶ διάβολος, πίπτει εἰς Ἅδου πέταυρόν, τὸ αὐτῷ ἡτοιμασμένον.

## Ὠδὴ η'. Ὁ Εἱρμός.

„Παῖδας εὐαγεῖς ἐν τῇ ἀβύσσῳ, ὁ τύπος τοῦ Θεο„δόχου διεσώσατο, τότε μὲν τυπούμενος· νῦν δὲ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λήξουρίου
Μουσείο Τυπογραφικών Εκδόσεων

„ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν ἐγείρει ψάλλου-
„ σαν: Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς
„ πάντας τοὺς αἰῶνας. Τροπάριον.

Ναμάτων πηγῆς ἐκ σωτηρίου, τοῦ θείου Σταυροῦ πλουσίως ἀρυσώμεθα, θεορρύτων ἅπαντες, τῆς πλευρᾶς τοῦ πλάσαντος, ἡμᾶς προθύμως κράζοντες, καὶ πίστει ψάλλοντες: Τὸν τίμιον ὑμνοῦμεν Κυρίου, καὶ ὑπερυψοῦμεν Σταυρὸν εἰς τοὺς αἰῶνας.

Μέσον οὐρανοῦ καὶ γῆς ἱδρύθης, ὡς κλίμαξ Σταυρὲ Κυρίου ὡραιότατε, ἵνα ἀνατρέχωμεν, πρὸς τὰ ἐπουράνια, διὰ τῆς σῆς αἱ ἄνθρωποι ἀνόδου, ψάλλοντες: Τὸν τίμιον Σταυρὸν ἀνυμνοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὁ τόπος Κυρίου, οὗ οἱ πόδες, οἱ ἅγιοι σὺ πρὸς σωτηρίαν ἔστησαν· ὅθεν προσκυνοῦμέν σε, Σταυρὲ ἡλιόμορφε, τῶν ἀσκητῶν ἐντρύφημα, τὸ παντοκράτορος, ἡ ἔκλαμπρος σημαία τῆς νίκης, κατὰ τοῦ Βελίαρ, ἡ θεοδόχος κλίνη.

Νεκροὶ διὰ σοῦ ζωοποιοῦνται· θανάτου καὶ γὰρ τὸν νεκρωτὴν ἐβάστασας· τυφλοὶ ἀναβλέπουσιν, ὥτα διανοίγονται, δαίμονες διώκονται, πάθη ἀφίστανται, μυρίων ἀγαθῶν ταμιεῦχε, Σταυρὲ τοῦ Σωτῆρος, ἡ κλεὶς τοῦ Παραδείσου.

Ὤφθης Κωνσταντίνῳ τῷ μεγάλῳ, τῷ κράτορι εὐσεβείας, ὦ πανσέβαστε, Σταυρὲ θεοδώρητε, καὶ πανυπερθαύμαστε, ἡλιακῶν λαμπρότερος βολίδων· ὅθεν σε, τὸν Κύριον ὑμνοῦμεν τὸν δόντα, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

## Ὠδὴ θ'. Ὁ Εἱρμός.

„ Ἅπας γηγενὴς, σκιρτάτω τῷ πνεύματι λαμπαδο-
„ χούμενος, πανηγυριζέτω δὲ, αὐλῶν Νόων φύσις
„ γεραίρουσα, τὰ ἱερὰ θαυμάσια τῆς Θεομήτορος, καὶ
„ βοάτω: Χαίροις παμμακάριστε, Θεοτόκε ἁγνὴ ἀει-
„ πάρθενε. Τροπάριον.

Ἵθυνον ἡμῶν, Σταυρὲ παμμακάριστε, τῶν προσκυνούντων σε, πρὸς τὰς ἐντολὰς Χριστοῦ, τὴν ζωὴν, ἵνα

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Κεφαλληνιακά Μουσεία

σοι Χαῖρε κράζωμεν: χαῖρε κατάρας λύτρωσις, ὡς τανυσθέντος σοι, τοῦ Κυρίου, καὶ καταράν λύσαντος, εὐλογίαν ἡμῖν ἀντεισάξαντος.

Ἤρθη ἐπὶ γῆς, ἀπάσης ἡ δόξα σου, Σταυρὲ καὶ ἔπλησε, καὶ τὰ ἐπουράνια· διό σοι, Χαῖρε ἀεὶ κραυγάζομεν· χαῖρε δι' οὗ ἐσώθημεν, τὰ ἔθνη ἅπαντα, προσκυνοῦντες, Τριάδα ἀχώριζον, τὸν Πατέρα Υἱὸν σὺν τῷ Πνεύματι.

Σὺ εἶ ὁ Σταυρὸς, δι' οὗ πάλαι ἔσχισε, Μωσῆς τὴν θάλασσαν· σὺ εἶ ἡ ἐκφύσασα, Ἀαρωνῖτις ῥάβδος τὰ κάρυα· σὺ τὸ γλυκᾶναν ξύλον Μερρᾶς τὰ νάματα· Σοὶ βοῶμεν: Χαίροις προφητόφθεγκτε, αὐτουργὲ τεραστίων ἑκάστοτε.

Ὅλης ἐκ ψυχῆς, τὸ Χαῖρέ σοι κράζομεν, Σταυρὲ πανάγιε, καὶ καπασφραγίζομεν, αὐτοὺς, καὶ πόλεις πλοῖά τε, καὶ ἱερὰ, καὶ ἅπαντα τὰ ἐγχειρήματα, σοῦ τὸ θεῖον, ὄνομα χαράττοντες, πεποιθότες ἐν σοὶ καὶ τροπούμενοι.

Ὕψωσον Χριστὲ, ἡμῶν λατρευόντων σοι, καὶ προσκυνούντων σου, τὸν ζωοποιὸν Σταυρὸν, καὶ τὰ φρικτά σου θεῖα παθήματα, τὴν πολιτείαν· θραῦσον δὲ, τοὺς ἀντιλέγοντας, ἵνα γνῶσι, πάντες τὴν ἀήττητον, τοῦ τιμίου Σταυροῦ σου τὴν δύναμιν.

Σῶσόν με Μητρὸς, τῇ χάριτι δέομαι τῆς παναχράντου σε, καὶ ζωοποιοῦ Σταυροῦ, θείᾳ δυνάμει, ὃν καὶ ὑπέμεινας, ὦ Ἰησοῦ μακρόθυμε, καὶ πολυέλεε, ἵνα σώσῃς, ῥεῦσαν τὸ εἰκόνα σὴν, καὶ ὁμοίωσιν φέρον πλαστούργημα.

Τέλος τῶν ἐν τῷ Τρίτῳ μέρει τοῦ Ὡρολογίου περιεχομένων, καὶ πάντων τῶν ποιούντων μέρος προσευχῆς.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΩΡΟΛΟΓΙΟΥ

## ΤΟΥ ΜΕΓΑΛΟΥ

## ΠΑΡΑΡΤΗΜΑ.

ΠΕΡΙΕΧΟΝ

Τὸ Εὐαγγέλιον τῆς Κυριακῆς τοῦ Πάσχα,
Τὸ Σύμβολον τῆς πίστεως τοῦ ἁγίου Ἀθανασίου,
Σύνοψιν μικρὰν ἱερῶν Κανόνων,
Στιχηρὰ τοῦ ὅλου Μηνολογίου περιεκτικά,
Καὶ Πασχάλια 62 ἐτῶν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΕΥΑΓΓΕΛΙΟΝ

## ΤΗΣ ΑΓΙΑΣ ΚΑΙ ΜΕΓΑΛΗΣ ΚΥΡΙΑΚΗΣ ΤΟΥ ΠΑΣΧΑ.

## ΚΑΤΑ ΙΩΑΝΝΗΝ α'. 1.

Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος. Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν. Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονεν. Ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων. Καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν. Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης. Οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός, ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ. Οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ' ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. Ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. Ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. Ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ. Οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν. Καὶ ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, (καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ Πατρός·) πλήρης χάριτος καὶ ἀληθείας. Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ, καὶ κέκραγε λέγων: Οὗτος ἦν ὃν εἶπον. Ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. Καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος. Ὅτι ὁ νόμος διὰ Μωσέως ἐδόθη· ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Βιβλιοθήκη Λιξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΣΥΜΒΟΛΟΝ ΤΗΣ ΠΙΣΤΕΩΣ

# ΤΟΥ ΑΓΙΟΥ ΑΘΑΝΑΣΙΟΥ

## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ.

Ὅς τις βούλεται σωθῆναι, πρὸ πάντων χρὴ αὐτῷ τὴν Καθολικὴν κρατῆσαι Πίστιν, ἣν εἰ μή τις σώαν καὶ ἄμωμον τηρήσειεν, ἄνευ διστάγμου, εἰς τὸν αἰῶνα ἀπολεῖται. Πίστις δὲ Καθολικὴ αὕτη ἐστὶν, ἵνα ἕνα Θεὸν ἐν Τριάδι, καὶ Τριάδα ἐν Μονάδι σεβώμεθα, μήτε συγχέοντες τὰς ὑποστάσεις, μήτε τὴν οὐσίαν μερίζοντες· ἄλλη γάρ ἐστιν ἡ τοῦ Πατρὸς ὑπόστασις, ἄλλη τοῦ Υἱοῦ, καὶ ἄλλη τοῦ ἁγίου Πνεύματος· ἀλλὰ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος μία ἐστὶ Θεότης, ἴση δόξα, συναΐδιος ἡ μεγαλειότης. Οἷος ὁ Πατὴρ, τοιοῦτος καὶ ὁ Υἱὸς, τοιοῦτο καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Ἄκτιστος ὁ Πατὴρ, ἄκτιστος ὁ Υἱὸς, ἄκτιστον καὶ τὸ ἅγιον Πνεῦμα· ἀκατάληπτος ὁ Πατὴρ, ἀκατάληπτος ὁ Υἱὸς, ἀκατάληπτον καὶ τὸ Πνεῦμα τὸ ἅγιον· αἰώνιος ὁ Πατὴρ, αἰώνιος ὁ Υἱὸς, αἰώνιον καὶ τὸ ἅγιον Πνεῦμα· πλὴν οὐ τρεῖς αἰώνιοι, ἀλλ' εἷς αἰώνιος· ὥσπερ οὐδὲ τρεῖς ἄκτιστοι, οὐδὲ τρεῖς ἀκατάληπτοι, ἀλλ' εἷς ἄκτιστος, καὶ εἷς ἀκατάληπτος. Ὁμοίως, παντοκράτωρ ὁ Πατὴρ, παντοκράτωρ ὁ Υἱὸς, παντοκράτωρ τὸ Πνεῦμα τὸ ἅγιον· πλὴν οὐ τρεῖς παντοκράτορες, ἀλλ' εἷς παντοκράτωρ. Οὕτω, Θεὸς ὁ Πατὴρ, Θεὸς ὁ Υἱὸς, Θεὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον· πλὴν οὐ τρεῖς Θεοὶ, ἀλλ' εἷς Θεός. Ὡσαύτως, Κύριος ὁ Πατὴρ, Κύριος ὁ Υἱὸς, Κύριον καὶ τὸ Πνεῦμα τὸ ἅγιον· πλὴν οὐ τρεῖς Κύριοι, ἀλλ' εἷς ἐστὶ Κύριος· ὅτι ὥσπερ μοναδικῶς ἑκάστην ὑπόστασιν Θεὸν καὶ Κύριον ὁμολογεῖν Χριστιανικῇ ἀληθείᾳ ἀναγκαζόμεθα, οὕτω τρεῖς Θεοὺς, ἢ τρεῖς Κυρίους λέγειν, Καθολικῇ εὐσεβείᾳ κωλυόμεθα. Ὁ Πατὴρ ἀπ οὐδενός ἐστι πεποιημένος, οὔτε δεδημιουργημένος, οὔτε γεγεννημένος· ὁ Υἱὸς ἀπὸ μόνου τοῦ Πατρός ἐστιν, οὐ πεποιημένος, οὐδὲ δεδημιουργημένος, ἀλλὰ γεγεννημένος· τὸ Πνεῦμα τὸ ἅγιον ἀπὸ τοῦ Πατρὸς, οὐ πεποιημένον, οὔτε δεδημιουργημένον, οὔτε γεγεννημένον, ἀλλ' ἐκπορευτόν. Εἷς οὖν ἐστι Πατὴρ, οὐ τρεῖς Πατέρες· εἷς Υἱὸς, οὐ τρεῖς Υἱοί· ἓν Πνεῦμα ἅγιον, οὐ τρία Πνεύματα ἅγια· καὶ ἐν ταύτῃ τῇ Τριάδι, οὐδὲν πρῶτον, ἢ ὕστερον· οὐδὲν μεῖζον, ἢ ἔλαττον· ἀλλ' ὅλαι αἱ τρεῖς ὑποστάσεις συνδιαιωνίζουσαι ἑαυταῖς εἰσὶ καὶ ἴσαι· ὥστε κατὰ πάντα,

ΑΠΟΚΤΗΣΗ ΒΙΒΛΙΟΘΗΚΕΣ
Απόκτηση από τη Βιβλιοθήκη Απόστολου Μ. Τσιάμη στην Αναβρυτή

ὡς εἴρηται, καὶ Τριὰς ἐν Μονάδι, καὶ Μονὰς ἐν Τριάδι λατρεύεται. Ὁ θέλων οὖν σωθῆναι, οὕτω περὶ τῆς ἁγίας Τριάδος φρονείτω· πλὴν ἀναγκαῖον ἔτι ἐστὶ, πρὸς αἰωνίαν σωτηρίαν, ὅπως καὶ τὴν ἐνανθρώπησιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὀρθῶς πιστεύῃ. Ἔστιν οὖν Πίστις ὀρθὴ, ἵνα πιστεύωμεν καὶ ὁμολογῶμεν, ὅτι ὁ Κύριος ἡμῶν Γησοῦς Χριστὸς, ὁ τοῦ Θεοῦ Υἱὸς, καὶ Θεὸς καὶ Ἄνθρωπός ἐστι. Θεός ἐστιν ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, πρὸ αἰώνων γεννηθείς· καὶ Ἄνθρωπός ἐστιν ἐκ τῆς οὐσίας τῆς Μητρὸς, ἐν χρόνῳ γεννηθείς. Τέλειος Θεὸς, καὶ τέλειος Ἄνθρωπος, ἐκ ψυχῆς λογικῆς, καὶ ἀνθρωπίνης σαρκὸς ὑποστάς· ἴσος τῷ Πατρὶ, κατὰ τὴν Θεότητα· ἐλάττων τοῦ Πατρὸς, κατὰ τὴν ἀνθρωπότητα· ὃς, εἰ καὶ Θεὸς ὑπάρχει καὶ Ἄνθρωπος, ὅμως οὐ δύο, ἀλλ' εἷς ἐστι Χριστός· εἷς δὲ, οὐ τροπῇ Θεότητος εἰς σάρκα, ἀλλὰ προσλήψει ἀνθρωπότητος εἰς Θεότητα· εἷς πάντως, οὐ συγχύσει φύσεων, ἀλλ' ἑνώσει ὑποστάσεων· ὥσπερ γὰρ ψυχὴ λογικὴ καὶ σὰρξ, εἷς ἐστιν ἄνθρωπος, οὕτω Θεὸς καὶ Ἄνθρωπος, εἷς ἐστι Χριστός· ὁ παθὼν διὰ τὴν ἡμετέραν σωτηρίαν, καὶ κατελθὼν εἰς τὸν Ἅδην, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστὰς ἐκ τῶν νεκρῶν, καὶ ἀνελθὼν εἰς τοὺς οὐρανοὺς, καὶ καθήμενος ἐκ δεξιῶν τοῦ Θεοῦ καὶ Πατρὸς τοῦ παντοκράτορος· ὅθεν ἐλεύσεται κρῖναι ζῶντας καὶ νεκρούς· οὗ τῇ παρουσίᾳ πάντες ἄνθρωποι ἀναστήσονται σὺν τοῖς ἑαυτῶν σώμασιν, ἀποδώσοντες περὶ τῶν ἰδίων ἔργων λόγον· καὶ οἱ μὲν τὰ ἀγαθὰ πράξαντες, πορεύσονται εἰς ζωὴν αἰώνιον· οἱ δὲ τὰ φαῦλα, εἰς τὸ πῦρ τὸ αἰώνιον. Αὕτη ἐστὶν ἡ Καθολικὴ Πίστις, ἣν εἰ μή τις πιστῶς τε καὶ βεβαίως πιστεύσῃ, σωθῆναι οὐ δυνήσεται.

---

Σημείωσαι, ὅτι τὸ ἄνωθεν Σύμβολον τοῦ Μεγάλου Ἀθανασίου, συγκριθὲν τοῖς ἀρχαιοτάτοις χειρογράφοις τοῖς σωζομένοις ἐν τῇ τοῦ ἁγίου Μάρκου Βιβλιοθήκῃ, καὶ σύμφωνον εὑρεθὲν γνησίου τε καὶ ὁμοφώνοιν τῇ γνώμῃ τῆς Ὀρθοδόξου Ἐκκλησίας, ἔδοξε τοῦτο τυπωθῆναι· τὰ γὰρ τυπωθέντα ἐν Παρισίοις καὶ ἀλλοθι, διαφέρουσι κατά τε τὴν φράσιν καὶ τὴν ἔννοιαν· τοῦτο δὲ, ἀπαράλλακτον καὶ τοῦ ἐν Μοσχοβίᾳ τυπωθέντος, εὐσεβεῖ γνώμῃ ἐνταῦθα προσετέθη.

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΣΥΝΟΨΙΣ ΚΑΝΟΝΩΝ ΙΕΡΩΝ

Τῶν ἁγίων Ἀποστόλων, τῶν Οἰκουμενικῶν καὶ Τοπικῶν Συνόδων, καί τινων ἁγίων Πατέρων μερικῶν, περὶ Νηστειῶν, καὶ ἑτέρων ὑποθέσεων, κατ' ἐκλογὴν συλλεχθέντων ἐνταῦθα, εἰς πρόχειρον χρῆσιν καὶ ὁδηγίαν παντὸς Χριστιανοῦ, ἐξαιρέτως δὲ τῶν Ἱερωμένων.

## Κανὼν ξγ'. Τῶν Ἀποστόλων.

Εἴ τις Ἐπίσκοπος, ἢ Πρεσβύτερος, ἢ Διάκονος, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ, φάγῃ κρέας ἐν αἵματι ψυχῆς αὐτοῦ, ἢ θηριάλωτον, ἢ θνησιμαῖον, καθαιρείσθω· εἰδὲ λαϊκὸς εἴη, ἀφοριζέσθω.

## Κανὼν ξδ'. τῶν αὐτῶν.

Εἴ τις Κληρικὸς εὑρεθῇ τὴν Κυριακὴν ἡμέραν νηστεύων, ἢ τὸ Σάββατον, πλὴν τοῦ ἑνὸς καὶ μόνου, καθαιρείσθω· εἰδὲ λαϊκὸς, ἀφοριζέσθω.

## Κανὼν ξε'. τῶν αὐτῶν.

Εἴ τις Ἐπίσκοπος, ἢ Πρεσβύτερος, ἢ Διάκονος, ἢ Ὑποδιάκονος, ἢ Ἀναγνώστης, ἢ Ψάλτης, τὴν ἁγίαν Τεσσαρακοστὴν οὐ νηστεύει, ἢ Τετράδα, ἢ Παρασκευὴν, καθαιρείσθω· ἐκτὸς εἰμὴ δι' ἀσθένειαν σωματικὴν ἐμποδίζοιτο· ἐὰν δὲ λαϊκὸς ᾖ, ἀφοριζέσθω.

## Κανὼν ε'. τῆς ἐν Λαοδικείᾳ.

Ὅτι οὐ δεῖ ἐν Τεσσαρακοστῇ, τῇ ὑστέρᾳ Ἑβδομάδι τὴν Πέμπτην λύειν, καὶ ὅλην τὴν Τεσσαρακοστὴν ἀτιμάζειν· ἀλλὰ δεῖ πᾶσαν τὴν Τεσσαρακοστὴν νηστεύειν, ξηροφαγοῦντας.

## Κανὼν ιέ. Πέτρου Ἀλεξανδρείας.

Οὐκ ἐγκαλέσει τις ἡμῖν παρατηρουμένοις Τετράδα καὶ Παρασκευὴν, ἐν αἷς καὶ νηστεύειν ἡμῖν κατὰ παράδοσιν εὐλόγως προσέτακται· τὴν μὲν γὰρ Τετράδα, διὰ τὸ γενόμενον συμβούλιον ὑπὸ τῶν Ἰουδαίων, ἐπὶ τῇ προδοσίᾳ τοῦ Κυρίου· τὴν δὲ Παρασκευὴν, διὰ τὸ πεπονθέναι αὐτὸν ὑπὲρ ἡμῶν· τὴν δὲ Κυριακὴν, χαρμοσύνης ἡμέραν ἄγομεν, διὰ τὸν ἀναστάντα ἐν αὐτῇ· ἐν ᾗ οὐδὲ γόνατα κλίνειν παρειλήφαμεν.

## Ἐρώτησις ιβ'. Τοῦ ἁγιωτάτου Πατριάρχου Ἀλεξανδρείας, κυρίου Μάρκου· καὶ Ἀπόκρισις τοῦ ἁγιωτάτου Πατριάρχου Ἀντιοχείας, κυρίου Θεοδώρου τοῦ Βαλσαμῶνος.

Ὁ καταλύων τὰς Τετράδας, καὶ Παρασκευὰς ὅλου τοῦ χρόνου, ἄνευ σωματικῆς ἀσθενείας, κολάζεται, κατὰ τὸν Κανόνα τῶν ἁγίων Ἀποστόλων· ὑπέξελέ μοι τὰς Τετράδας, καὶ τὰς Παρασκευὰς τῆς Ἀ-

ποκρέω, τῆς Τυροφάγου, τῆς Διακαινησίμου, καὶ τοῦ Δωδεκαημέρου· ἐν ταύταις γὰρ καὶ διὰ κρέατος ἀκινδύνως καταλύομεν.

Κανὼν ιθ'. τῆς ἐν Γάγγρᾳ Συνόδου.

Εἴ τις, χωρὶς σωματικῆς ἀνάγκης, ὑπερηφανεύοιτο, καὶ τὰς παραδεδομένας νηστείας εἰς τὸ κοινὸν, καὶ φυλασσομένας ὑπὸ τῆς Ἐκκλησίας, παραλύοι, ἀποκυροῦντος ἐν αὐτῷ οἰκείου λογισμοῦ, ἀνάθεμα ἔστω.

Ἐκ τοῦ Τόμου τῆς ἑνώσεως ἐπὶ Κωνσταντίνου καὶ Ῥωμανοῦ τῶν Βασιλέων, εἰς τὰ ϡιο. ἔτη ἀπὸ Χριστοῦ.

Τρὶς τοῦ ἐνιαυτοῦ μόνον ἀξιωθήσεται ὁ Τρίγαμος τῆς μεταλήψεως τῶν Μυστηρίων· ἅπαξ μὲν, ἐν τῇ σωτηρίῳ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν Ἀναστάσει· δεύτερον δὲ, ἐν τῇ Κοιμήσει τῆς ἀχράντου Δεσποίνης ἡμῶν Θεοτόκου· καὶ τρίτον, ἐν τῇ Γενεθλίῳ ἡμέρᾳ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· διὰ τὸ καὶ ἐν ταύταις προηγεῖσθαι νηστείαν, καὶ τὸ ἐκ ταύτης ὄφελος.

Κανὼν κθ'. τῆς ἐν Λαοδικείᾳ.

Ὅτι οὐ δεῖ ἰδιωτικοὺς ψαλμοὺς λέγεσθαι ἐν τῇ Ἐκκλησίᾳ, οὐδὲ ἀκανόνιστα βιβλία, ἀλλὰ μόνα τὰ κανονικὰ τῆς Καινῆς, καὶ Παλαιᾶς Διαθήκης.

Κανὼν λγ'. τῆς ς'. Συνόδου, ἥτις καὶ ἐν Τρούλλῳ λέγεται.

Τὰ θεῖα λόγια ἐπ' ἄμβωνος μὴ ἀναγινωσκέτω ὁ μὴ κεκαρμένος, καὶ μὴ τυχὼν εὐλογίας· ὁ δὲ παρὰ ταῦτα ποιῶν ἀφοριζέσθω.

Κανὼν ιδ'. τῆς Ζ'.

Καὶ ὁ μὴ χειροθεσίας τυχὼν, εἰ καὶ Μοναχὸς εἴη, τὰς ἱερὰς ἐπ' ἄμβωνος βίβλους μὴ ἀναγινωσκέτω. Χειροθετείτω δὲ Ἀναγνώστας καὶ ὁ Ἡγούμενος ἐν τῷ ἰδίῳ Μοναστηρίῳ, εἰ ἱερωμένος εἴη, καὶ παρ' Ἐπισκόπου χειροθεσίαν ἔχοι· καὶ Χωρεπίσκοπος, κατ' ἐπιτροπὴν Ἐπισκόπου.

Κανὼν οέ. τῆς ἐν Τρούλλῳ.

Οἱ ψάλλοντες, μετὰ πολλῆς προσοχῆς καὶ κατανύξεως ψαλλέτωσαν, βοαῖς ἀτάκτοις καὶ ἀναρμόστοις μὴ χρώμενοι.

Κανὼν δ'. τῆς Ζ'.

Ὁ χρυσίον, ἢ ἀργύριον, ἢ ἕτερον εἶδος τοὺς ὑπ' αὐτὸν ἀπαιτῶν, καὶ διά τι τούτων τῆς Λειτουργίας ἀπείργων τινὰ, ἢ ἀφορίζων, ἢ σεπτὸν κλείων ναὸν, μὴ γίνεσθαι ἐν αὐτῷ τὰς Λειτουργίας, ὑποκείσθω ταυτοπαθείᾳ.

Κανὼν λβ'. τῶν Ἀποστόλων.

Εἴ τις Πρεσβύτερος, ἢ Διάκονος ὑπὸ Ἐπισκόπου γένηται ἐν ἀφορισμῷ, τοῦτον μὴ ἐξεῖναι παρ' ἑτέρου δεχθῆναι, ἀλλ' ἢ παρὰ τοῦ ἀφορίσαντος αὐτόν· εἰ μὴ ἂν κατὰ συγκυρίαν τελευτήσῃ ὁ ἀφορίσας αὐτὸν Ἐπίσκοπος.

Κανὼν ϛ'. τοῦ Πατριάρχου Νικολάου.

Ὁ ἄλογος δεσμὸς, ἀνίσχυρος, καὶ παρ' Ἀρχιερέως λύεται.

Ἐκ τῶν Διαταγῶν τῶν Ἀποστόλων, Βιβλ. ή. Κεφ. 42.

Ἐπιτελείσθω δὲ Τρίτα τῶν κεκοιμημένων ἐν ψαλμοῖς, καὶ ἀνα-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Λήξουρίου - Μουσείο Κυθήρων

γνώσεσι καὶ προσευχαῖς, διὰ τὸν Τριήμερον ἐγερθέντα· καὶ Ἔννατα, εἰς ὑπόμνησιν τῶν περιόντων καὶ τῶν κεκοιμημένων· καὶ Τεσσαρακοστὰ, κατὰ τὸν παλαιὸν τύπον· Μωσῆν γὰρ οὕτως ὁ λαὸς ἐπένθησε· καὶ Ἐνιαύσια ὑπὲρ μνείας αὐτῶν· καὶ διδόσθω ἐκ τῶν ὑπαρχόντων αὐτῶν πένησιν, εἰς ἀνάμνησιν αὐτῶν.

Κανὼν θ'. τῶν Ἀποστόλων.

Πάντας τοὺς εἰσιόντας πιστοὺς, καὶ τῶν Γραφῶν ἀκούοντας, μὴ παραμένοντας δὲ τῇ προσευχῇ καὶ τῇ ἁγίᾳ μεταλήψει, ὡς ἀταξίαν ἐμποιοῦντας τῇ Ἐκκλησίᾳ, ἀφορίζεσθαι χρή.

Κανὼν ί. τῆς ἐν Τρούλλῳ.

Ἐπίσκοπος, ἢ Πρεσβύτερος, ἢ Διάκονος, τόκους ἢ τὰς λεγομένας ἑκατοστὰς λαμβάνων, ἢ παυσάσθω, ἢ καθαιρείσθω.

Κανὼν ιδ'. καὶ ιέ. τῆς αὐτῆς.

Πρεσβύτερος, πρὸ τῶν τριάκοντα ἐτῶν, μὴ χειροτονείσθω, κἂν πάνυ ᾖ ὁ ἄνθρωπος ἄξιος· ὁμοίως καὶ Διάκονος μὴ χειροτονείσθω, πρὸ τῶν εἰκοσιπέντε ἐτῶν· καὶ Ὑποδιάκονος, μὴ ἧττον τῶν εἴκοσι ἐτῶν· ὁ δὲ παρὰ τοὺς ὁρισθέντας χρόνους χειροτονηθεὶς, καθαιρείσθω.

Κανὼν κβ'. τῆς αὐτῆς.

Ὁ χειροτονηθεὶς ἐπὶ χρήμασι, συγκαθαιρείσθω τῷ χειροτονήσαντι.

Κανὼν κγ'. τῆς αὐτῆς.

Ὁ τῆς ἀχράντου μεταδιδοὺς Κοινωνίας, καὶ ὀβολὸν, ἢ εἰδός τι οἱονοῦν ἀπαιτῶν, καθαιρείσθω· ἡ γὰρ χάρις οὐ πιπράσκεται.

Κανὼν β'. τῆς Ζ'. Συνόδου.

Ὁ γενησόμενος Ἐπίσκοπος, γινωσκέτω τὸ Ψαλτήριον, διαγινωσκέτω δ', τι ἀναγινώσκει, οὐχ' ἁπλῶς, ἀλλ' ἐρευνητικῶς· ὁμοίως τοὺς ἱεροὺς Κανόνας, τὸ ἅγιον Εὐαγγέλιον, τὴν τοῦ Ἀποστόλου βίβλον, καὶ πᾶσαν τὴν θείαν Γραφήν· εἰδὲ μὴ, μὴ χειροτονείσθω.

Τοῦ Ἁγίου Κυρίλλου.

Μηδεὶς δύο πόλεων Ναοῖς κληρούσθω.

Κανὼν μβ'. καὶ μγ'. τῶν Ἀποστόλων.

Ἐπίσκοπος, ἢ Πρεσβύτερος, ἢ Διάκονος κύβοις σχολάζων καὶ μέθαις, ἢ παυσάσθω, ἢ καθαιρείσθω. Εἰ δὲ Ὑποδιάκονος, ἢ Ἀναγνώστης, ἢ Ψάλτης, ἀφοριζέσθω.

Κανὼν μδ'. τῶν αὐτῶν.

Ἐπίσκοπος, ἢ Πρεσβύτερος, ἢ Διάκονος τόκους ἀπαιτῶν τοὺς δανειζομένους, ἢ παυσάσθω, ἢ καθαιρείσθω.

Κανὼν ιή. τῶν αὐτῶν.

Ἐπίσκοπος, ἢ Πρεσβύτερος ἀμελῶν τοῦ Κλήρου, ἢ τοῦ λαοῦ, καὶ μὴ παιδείων αὐτοὺς τὴν εὐσέβειαν, ἀφοριζέσθω.

Ἐκ τοῦ οδ'. καὶ πδ'. Κανόνος τοῦ Μεγάλου Βασιλείου.

Ὁ' δεσμεῖν καὶ λύειν ἐξουσίαν λαβὼν οὐτινοσοῦν τῶν ἡμαρτηκότων, μεγάλην ὁρῶν συντριβὴν, ἐλαττώσει τὸν χρόνον τῶν ἐπιτιμίων. Μὴ χρόνῳ κρῖνε, ἀλλὰ τρόπῳ τὰ ἐπιτίμια.

ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ ΕΚΚΛΗΣΙΑΣ ΕΛΛΑΔΟΣ

## Τοῦ αὐτοῦ παράγγελμα πρὸς Ἱερέα

Σπούδασον, ὦ Ἱερεῦ, σαυτὸν παραστῆσαι ἐργάτην ἀνεπαίσχυντον, ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας. Μηδέποτε στῆς εἰς συναξιν, ἔχθραν ἔχων κατά τινος, ἵνα μὴ φυγαδεύσῃς τὸν Παράκλητον. Ἐν ἡμέρᾳ συνάξεως μὴ δικάζου, μὴ φιλονείκει, ἀλλ' ἐν τῇ Ἐκκλησίᾳ μένων, προσεύχου καὶ ἀναγίνωσκε μέχρι τῆς ὥρας, ἐν ᾗ σε δεῖ τελέσαι τὴν θείαν Μυσαγωγίαν· καὶ οὕτω παράστηθι ἐν κατανύξει, καὶ καθαρᾷ καρδίᾳ τῷ ἁγίῳ Θυσιαστηρίῳ, μὴ περιβλέπων ἔνθεν κἀκεῖθεν, ἀλλὰ φρίκῃ καὶ φόβῳ παριστάμενος τῷ ἐπουρανίῳ Βασιλεῖ. Μὴ, διὰ θεραπείαν ἀνθρωπίνην, ἐπισπεύσῃς τὰς εὐχὰς, ἢ συντέμῃς· μὴ δὲ λάβῃς πρόσωπον, ἀλλ' ὅρα πρὸς μόνον τὸν προκείμενον Βασιλέα, καὶ τὰς περιεστώσας κύκλῳ Δυνάμεις. Ἄξιον σαυτὸν ποίησον τῶν ἱερῶν Κανόνων. Μὴ συλλειτούργει, οἷς ἀπαγορεύουσι· Βλέπε τίνι παρέστηκας, πῶς ἱερουργεῖς, καὶ τίσι μεταδίδως. Μὴ ἐπιλάθῃ τῆς δεσποτικῆς ἐντολῆς, καὶ τῆς τῶν ἁγίων Ἀποστόλων. Μὴ δότε, γάρφησι, τὰ ἅγια τοῖς κυσὶ, καὶ τοὺς μαργαρίτας μὴ βάλετε ἔμπροσθεν τῶν χοίρων. Ὅρα, μὴ παραδῷς τὸν Υἱὸν τοῦ Θεοῦ εἰς χεῖρας ἀναξίων. Μὴ ἐντραπῇς τῶν ἐνδόξων τῆς γῆς, μηδ' αὐτὸν τὸ διάδημα περικείμενον ἐν τῇ ὥρᾳ ἐκείνῃ. Τοῖς δὲ τῆς Μεταλήψεως ἀξίοις μεταδίδου δωρεὰν, ὡς καὶ αὐτὸς ἔλαβες· οἷς οἱ θεῖοι Κανόνες οὐκ ἐπιτρέπουσι, μὴ μεταδίδου. Ὅρα μὴ, ἐξ ἀμελείας, σῦς, μῦς, ἢ ἄλλο τι, ἅψηται τῶν θείων Μυστηρίων, μηδὲ νοτισθῶσιν, ἢ καπνισθῶσιν, ἢ χρισθῶσιν ὑπὸ ἀνιέρων καὶ ἀναξίων. Ταῦτα, καὶ τὰ τοιαῦτα φυλάσσων, σεαυτὸν σώσεις, καὶ τοὺς ἀκούοντάς σου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου – Μουσείο Τυπάλδων Ιακωβάτων

# ΠΙΝΑΞ

## ΑΛΦΑΒΗΤΙΚΟΣ

Πάντων τῶν ἐν τῇ ἱερᾷ ταύτῃ Βίβλῳ ὀνομαστὶ ἀναφερομένων Ἁγίων, πρὸς εὐκολωτέραν εὕρεσιν τῆς μνήμης ἑνὸς ἑκάστου αὐτῶν.

### Α


Α᾽ββακοὺμ Προφήτης — Δεκεμβρίου 2.
Α᾽βδιοὺ Προφήτης — Νοεμβ. 15.
Α᾽βεὶμ, ἐκ τῶν 7 Μακκαβαίων — Αὐγούστου 1.
Α᾽βέρκιος Ἱεραπόλεως — Ὀκτωβρίου 22.
Α᾽βιβος Μάρτυς — Νοεμβρ. 15.
Α᾽βραὰμ Πατριάρχης — Κυρ. τῶν Προπατόρων.
Α᾽βράμιος Ὅσιος — Ὀκτωβρ. 29.
Α᾽γαβος, ἐκ τῶν 70. Ἀποστόλων — Ἀπριλίου 8.
Α᾽γαθάγγελος Μάρτυς — Ἰανουαρίου 23.
Α᾽γάθη Μάρτυς — Φεβρουαρ. 5.
Α᾽γαθόδωρος Μάρτυς — Ὀκτωβρίου 13.
Α᾽γαθόδωρος Ἱερομάρτυς — Μαρτίου 7.
Α᾽γαθονίκη Μάρτυς — Ὀκτωβ. 13.
Α᾽γαθόνικος Μάρτυς — Αὐγ. 22.
Α᾽γαθόπους, ἐκ τῶν ἐν Κρήτῃ 10 Μαρτύρων — Δεκεμβ. 23.
Α᾽γάπη Μάρτυς — Σεπτεμβ. 17.
Α᾽γάπιος Μάρτυς — Σεπτεμβ. 20.
Α᾽γάπιος Μάρτυς ἕτερος — Μαρτίου 15.
Α᾽γάπιος Μάρτυς ἕτερος — Αὐγούστου 21.
Α᾽γγαῖος Προφήτης — Δεκεμβ. 16.
Α᾽γγίας, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.
Α᾽γλαΐος, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.
Α᾽γριππῖνα Μάρτυς — Ἰουν. 23.
Α᾽δριανὸς Μάρτυς — Αὐγούς. 26.
Α᾽ειθαλᾶς Μάρτυς — Σεπτεμβ. 1.
Α᾽ειθαλᾶς Μάρτυς ἕτερος — Νοεμβρίου 3.
Α᾽ζαρίας, ἐκ τῶν 3 Παίδων — Δεκεμβρίου 17.
Α᾽έτιος, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.
Α᾽θανάσιος ὁ Μέγας — Ἰαν. 18, καὶ Μαΐου 2.
Α᾽θανάσιος ὁ ἐν τῷ Ἄθῳ — Ἰουλίου 5.
Α᾽θανάσιος, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.
Α᾽θηνογένης Ἱερομάρτυς — Ἰουλίου 16.
Αἰθέριος Ἱερομάρτυς — Μαρτ. 7.
Αἰκατερίνα Παρθενομάρτυς — Νοεμβρίου 25.
Αἰμιλιανὸς Μάρτυς — Ἰουλ. 18.
Αἰμιλιανὸς Ὁμολογητὴς — Αὐγούστου 8.
Ἀκάκιος, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.


ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λιξουρίου - Μουσείο Τυπογραφίας Ιακωβάτων

Ἀκάκιος Μάρτυς — Μαΐου 19.
Ἀκεψιμᾶς Μάρτυς — Νοεμβρ. 3.
Ἀκίνδυνος Μάρτυς — Νοεμβρ. 2.
Ἀκύλας, ἐκ τῶν 70 Ἀποστόλων — Ἰουλίου 14.
Ἀκυλίνα Μάρτυς — Ἰουν. 13.
Ἀλέξανδρος Κωνσταντινουπόλ. — Αὐγούστου 30.
Ἀλέξανδρος, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.
Ἀλέξιος ὁ ἄνθρωπος τοῦ Θεοῦ — Μαρτίου 17.
Ἀλύπιος ὁ Κιονίτης — Νοεμβ. 26.
Ἀμβρόσιος Μεδιολάνων — Δεκεμβρίου 7.
Ἀμμοῦν Διάκονος Μάρτυς — Σεπτεμβρ. 1.
Ἀμπλίας, ἐκ τῶν 70 Ἀποστόλων — Ὀκτωβρίου 31.
Ἀμφιλόχιος Ἰκονίου — Νοεμβ. 23.
Ἀμὼς Προφήτης — Ἰουν. 15.
Ἀνανίας, ἐκ τῶν 70 Ἀποστόλων — Ὀκτωβρίου 1.
Ἀνανίας, ἐκ τῶν 3 Παίδων — Δεκεμβρίου 17.
Ἀναστασία Ὁσιομάρτυς — Ὀκτωβρίου 29.
Ἀναστασία Φαρμακολύτρια — Δεκεμβρίου 22.
Ἀναστάσιος Ὁσιομάρτυς — Ἰανουαρίου 22.
Ἀνατόλιος Κωνσταντινουπόλεως — Ἰουλ. 3.
Ἀνδρέας ὁ Πρωτόκλητος — Νοεμβρίου 30.
Ἀνδρέας Ὁσιομάρτυς, ὁ ἐν τῇ Κρίσει — Ὀκτωβρ. 17.
Ἀνδρέας Μάρτυς — Μαΐου 18.
Ἀνδρέας Κρήτης — Ἰουλίου 4.
Ἀνδρέας Μάρτυς ὁ Στρατηλάτης — Αὐγούστου 19.
Ἀνδρόνικος Ὅσιος — Ὀκτωβρ. 9.
Ἀνδρόνικος Μάρτυς — Ὀκτωβ. 12.
Ἀνδρόνικος, ἐκ τῶν 70 Ἀποστόλων — Μαΐου 17, καὶ Ἰουλ. 30.
Ἀνεμπόδιστος Μάρτυς — Νοεμβρίου 2.
Ἄνθιμος Ἱερομάρτυς — Σεπτεμ. 3.
Ἀνίκητος Μάρτυς — Αὐγ. 12.
Ἄννα Θεομήτωρ — Σεπτεμβρ. 9. καὶ Ἰουλίου 25.
Ἄννα Προφῆτις — Φεβρ. 2.
Ἀντίπας Ἱερομάρτυς — Ἀπριλίου 11.
Ἀντωνίνα Μάρτυς — Ἰουν. 10.
Ἀντώνιος, ἐκ τῶν ἐν Ἐφέσῳ 7 Παίδων — Ὀκτωβρ. 22.
Ἀντώνιος ὁ Μέγας — Ἰανουαρ. 17.
Ἀντώνιος, ἐκ τῶν 7 Μακκαβαίων — Αὐγούστου 1.
Ἀνυσία Ὁσιομάρτυς — Δεκεμ. 30.
Ἀπελλῆς, ἐκ τῶν 70 Ἀποστόλων — Ὀκτωβρίου 31.
Ἀπολλώνιος Μάρτυς — Δεκεμ. 14.
Ἀπφία, ἐκ τῶν Ἀποστόλων — Νοεμβρίου 22.
Ἀρέθας Μάρτυς — Ὀκτωβρ. 24.
Ἀρίσταρχος, ἐκ τῶν 70 Ἀποστόλων — Ἀπριλ. 14.
Ἀριστόβουλος, ἐκ τῶν 70 Ἀποστόλων — Ὀκτωβρ. 31.
Ἀρκάδιος Ὅσιος, ὁ τοῦ Ξενοφῶντος — Ἰανουαρ. 26.
Ἀρριανὸς Μάρτυς — Δεκεμβ. 14.
Ἀρσένιος ὁ Μέγας — Μαΐου 8.
Ἀρσένιος Κερκύρας — Ἰανυαρ. 19.
Ἀρτέμιος Μάρτυς — Ὀκτωβρ. 20.
Ἄρχιππος, ἐκ τῶν 70 Ἀποστόλων — Νοεμβρίου 22, καὶ Φεβρουαρίου 19.
Ἀσύγκριτος, ἐκ τῶν 70 Ἀποστόλων — Ἀπριλίου 8.
Αὐξέντιος Μάρτυς — Δεκεμβ. 13.
Αὐξέντιος Ὅσιος — Φεβρ. 14.
Αὐτόνομος Ἱερομάρτυς — Σεπτεμβρίου 12.
Ἀφθόνιος Μάρτυς — Νοεμβρ. 2.
Ἀχεὶμ, ἐκ τῶν 7 Μακκαβαίων — Αὐγούστου 1.
Ἀχίλλιος Λαρίσσης — Μαΐου 15.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Καντούνι Βιβλιοθήκη Δημοσίου
Μουσείο Τσιμισκή Θεσσαλονίκης

## Β

Βαβύλας Ἱερομάρτυς — Σεπτ. 4.
Βάκχος Μάρτυς — Ὀκτωβρ. 7.
Βαλλεριανὸς Μάρτυς — Νοεμβ. 22.
Βαρβάρα Μάρτυς — Δεκεμβρ. 4.
Βαρθολομαῖος Ἀπόστολος — Ἰουνίου 11.
Βαρλαὰμ Μάρτυς — Νοεμβρ. 19.
Βαρνάβας, ἐκ τῶν 70 Ἀποστόλων — Ἰουνίου 11.
Βαρουὴχ Προφήτης — Σεπτεμβ. 28.
Βασιλείδης, ἐκ τῶν 10 τῶν ἐν Κρήτῃ — Δεκεμβρίου 23.
Βασίλειος ὁ Μέγας — Ἰανουαρ. 1 καὶ 30.
Βασίλειος Ὅσιος — Φεβρυαρ. 28.
Βασίλειος Ἱερομάρτυς — Μαρ. 22.
Βασίλειος Ὁμολογητὴς, ὁ Παρίου — Ἀπριλίου 12.
Βασιλεὺς Ἱερομάρτυς — Μαρτ. 7.
Βασιλεὺς Ἱερομάρτυς, ὁ Ἀμασίας — Ἀπριλίου 26.
Βασιλίσκος Μάρτυς — Μαρτ. 3.
Βασιλίσκος ἕτερος Μάρτυς — Μαΐου 22.
Βάσσα Μάρτυς — Αὐγ. 21.
Βενέδικτος Ὅσιος — Μαρτ. 14.
Βενέδιμος Μάρτυς — Μαΐου 18.
Βήλα Μάρτυς — Ὀκτωβρ. 28.
Βιβιανὸς, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.
Βικέντιος Μάρτυς — Νοεμβρ. 11.
Βίκτωρ Μάρτυς — Νοεμβρ. 11.
Βλάσιος Ἱερομάρτυς — Φεβρ. 11.
Βονιφάτιος Μάρτυς — Δεκεμ. 19.
Βουκόλος Σμύρνης — Φεβρ. 6.

## Γ

Γαβριὴλ Ἀρχιστράτηγος — Νοεμβρίου 8. Μαρτ. 26. Ἰουλ. 13.
Γάϊος, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.
Γαλακτίων Μάρτυς — Νοεμβ. 5.
Γελάσιος, ἐκ τῶν 10 τῶν ἐν Κρήτῃ — Δεκεμβρίου 23.
Γεράσιμος Ὅσιος, ὁ ἐν Κεφαλληνίᾳ — Ὀκτωβρίου 20.
Γεράσιμος Ὅσιος, ὁ ἐν Ἰορδάνῃ — Μαρτ. 4.
Γερβάσιος Μάρτυς — Ὀκτωβ. 14.
Γερμανὸς Κωνσταντινουπόλεως — Μαΐου 12.
Γεώργιος ὁ Χοζεβίτης — Ἰανουαρίου 8.
Γεώργιος Ὅσιος, ὁ ἐν τῷ Μαλεῷ — Ἀπριλίου 4.
Γεώργιος Μιτυλήνης — Ἀπριλ. 7.
Γεώργιος ὁ Τροπαιοφόρος — Ἀπριλίου 23.
Γλυκερία Μάρτυς — Μαΐου 13.
Γοργόνιοι δύο, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.
Γόρδιος Μάρτυς — Ἰανουαρ. 3.
Γουρίας Μάρτυς — Νοεμβρ. 15.
Γουρίας, ἐκ τῶν 7 Μακκαβαίων — Αὐγούστου 1.
Γρηγόριος ὁ Μεγάλης Ἀρμενίας — Σεπτεμβρίου 30.
Γρηγόριος ὁ Θαυματ. — Νοεμ. 17.
Γρηγόριος ὁ Δεκαπολίτης — Νοεμ. 20.
Γρηγόριος Ἀκραγαντίνων — Νοεμ. 23.
Γρηγόριος ὁ Νύσσης — Ἰανουαρ. 10.
Γρηγόριος ὁ Θεολόγος — Ἰανουαρ. 25 καὶ 30.
Γρηγόριος ὁ Παλαμᾶς — Κυρ. Β΄. τῶν Νηστειῶν.

ΑΡΧΑΙΕΣ ΒΙΒΛΟΘΗΚΕΣ
Αρχαία Κυπριακή Βιβλιοθήκη Λήσσουρου - Μουσείο Τυπλίου των Ιωαννίτων

## Δ

Δαλμάτος Ὅσιος — Αὐγ. 3.
Δαμιανὸς Ἀνάργυρος — Νοεμβρ. 1, καὶ Ἰουλ. 1.
Δανιὴλ Στυλίτης — Δεκεμβρ. 11.
Δανιὴλ ὁ Προφήτης — Δεκεμ. 17.
Δανιὴλ Μάρτυς — Φεβρουαρ. 16.
Δαρεία Μάρτυς — Μαρτ. 19.
Δαυὶδ ὁ Προφητάναξ — Κυρ. μετὰ τὴν Χ. Γέννησιν.
Δαυὶδ Ὅσιος, ὁ ἐν Θεσσαλονίκῃ — Ἰουν. 26.
Δημήτριος Μάρτυς, ὁ Μυροβλύτης — Ὀκτωβρ. 26.
Διόδωρος Μάρτυς — Ἀπριλ. 5.
Διομήδης Μάρτυς — Αὐγ. 16.
Διονύσιος ὁ Ἀρεοπαγίτης — Ὀκτωβρίου 3.
Διονύσιος, ἐκ τῶν ἐν Ἐφέσῳ 7 Παίδων — Ὀκτωβρ. 22.
Διονύσιος Ὅσιος, ὁ ἐκ Ζακύνθου — Δεκεμβρίου 17.
Διονύσιος Μάρτυς — Μαΐου 18.
Δῖος Ὅσιος — Ἰουλ. 19.
Δομετιανὸς Μελιτινῆς — Ἰαν. 10.
Δομετιανὸς, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.
Δομετιανὸς Ὁσιομάρτυς — Αὐγούστου 7.
Δομνίκη Ὁσία — Ἰανουαρ. 8.
Δόμνος, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.
Δρουμέδων Μάρτυς — Σεπτεμβρίου 19.
Δωρόθεος Ἱερομάρτυς — Ἰουν. 5.

## Ε

Εἰρήναρχος Μάρτυς — Νοεμ. 28.
Εἰρήνη Μάρτυς — Ἀπριλ. 16.
Εἰρήνη Μάρτυς ἑτέρα, ἡ Λικινίου — Μαΐου 5.
Ἐκδίκιος, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.
Ἐλεάζαρος, ἐκ τῶν 7 Μακκαβαίων — Αὐγούστου 1.
Ἐλεάζαρος, ὁ διδάσκαλος τούτων — Αὐγούστου 1.
Ἑλένη, μήτηρ τοῦ Μ. Κωνσταντίνου — Μαΐου 21.
Ἐλευθέριος Ἱερομάρτυς — Δεκεμβρίου 15.
Ἐλισάβετ, ἡ τοῦ Προδρόμου Μήτηρ — Σεπτεμ. 5, καὶ Ἰουν. 24.
Ἐλισάβετ Ὁσία, ἡ Θαυματουργὸς — Ἀπριλίου 24.
Ἐλισσαῖος ὁ Προφήτης — Ἰαν. 14.
Ἑλλάδιος Ἱερομάρτυς — Μαΐου 27.
Ἐλπιδηφόρος Μάρτυς — Νοεμβ. 2.
Ἐλπίδιος Ἱερομάρτυς — Μαρτ. 7.
Ἐλπὶς Μάρτυς — Σεπτεμβ. 17.
Ἑξακουστωδιανὸς, ἐκ τῶν ἐν Ἐφέσῳ 7 Παίδων — Ὀκτωβρ. 22.
Ἐπαινετὸς, ἐκ τῶν 70 Ἀποστόλων — Ἰουλ. 30.
Ἐπίμαχος Μάρτυς — Ὀκτωβ. 31.
Ἐπιστήμη Μάρτυς — Νοεμβρ. 5.
Ἐπιφάνιος Κύπρου — Μαΐου 12.
Ἔραστος, ἐκ τῶν 70 Ἀποστόλων — Νοεμβρίου 10.
Ἑρμαῖος Ἱερομάρτυς — Νοεμβ. 4.
Ἑρμῆς, ἐκ τῶν 70 Ἀποστόλων — Ἀπριλίου 8.
Ἑρμείας Μάρτυς — Μαΐου 30.
Ἑρμιππος Μάρτυς — Ἰουλ. 26.
Ἑρμογένης Μάρτυς — Σεπτεμ. 1.
Ἑρμογένης Μάρτυς ἕτερος — Δεκεμβρίου 10.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ἑρμοκράτης Μάρτυς — Ἰουλ. 26.
Ἑρμόλαος Ἱερομάρτυς — Ἰουλ. 26.
Ἕρμυλος Μάρτυς — Ἰανουαρ. 13.
Εὐάρεστος, ἐκ τῶν 10 Μαρτύρων τῶν ἐν Κρήτῃ — Δεκεμβρ. 23.
Εὐγενία Ὁσιομάρτυς — Δεκεμβρίου 24.
Εὐγένιος Μάρτυς — Δεκεμβρ. 13.
Εὐγένιος Ἱερομάρτυς — Μαρτ. 7.
Εὔγραφος Μάρτυς — Δεκεμβ. 10.
Εὐδοκία Ὁσιομάρτυς — Μαρτ. 1.
Εὐδόκιμος Δίκαιος — Ἰουλ. 31.
Εὐθύμιος Ὁμολογητὴς, ὁ Σάρδεων — Δεκεμβρ. 26.
Εὐθύμιος ὁ Μέγας — Ἰανουαρίου 20.
Εὐλαμπία Μάρτυς — Ὀκτωβ. 10.
Εὐλάμπιος Μάρτυς — Ὀκτωβ. 10.
Εὐμένιος Ἐπίσκοπος Γορτύνης — Σεπτεμβρ. 18.
Εὐνίκη Μάρτυς — Ὀκτωβρ. 28.
Εὐνικιανὸς, ἐκ τῶν ἐν Κρήτῃ 10 Μαρτύρων — Δεκεμβρίου 23.
Εὐνοϊκὸς, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.
Εὔοδος Μάρτυς — Σεπτεμβρ. 1.
Εὔπλους Διάκονος Μάρτυς — Αὐγούστου 11.
Εὔπορος, ἐκ τῶν ἐν Κρήτῃ 10 Μαρτύρων — Δεκεμβρ. 23.
Εὐσέβιος Σαμωσάτων Ἱερομάρτυς — Ἰουνίου 22.
Εὐσεβωνᾶς, ἐκ τῶν 7 Μακκαβαίων — Αὐγούστου 1.
Εὐσίγνιος Μάρτυς — Αὐγ. 5.
Εὐστάθιος Μάρτυς, ὁ Πλακίδας — Σεπτεμβρίου 20.
Εὐστάθιος Ἀντιοχείας — Φεβρουαρίου 21.
Εὐστράτιος Μάρτυς — Δεκεμ. 13.
Εὐτρόπιος Μάρτυς — Μαρτίου 3.
Εὐτυχὴς, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.
Εὐτυχὴς Ἱερομάρτυς — Μαΐου 28.
Εὐτυχὴς ἕτερος Ἱερομάρτυς — Αὐγούστου 24.
Εὐτύχιος, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.
Εὐτύχιος Κωνσταντινουπόλεως — Ἀπριλίου 9.
Εὐφημία Παρθενομάρτυς — Σεπτεμβρ. 16, καὶ Ἰουλ. 11.
Εὐφροσύνη Ὁσία — Σεπτεμβ. 25.
Εὐψύχιος Μάρτυς — Ἀπριλ. 9.
Ἐφαὶμ ὁ Σύρος — Ἰανουαρ. 28.
Ἐφραὶμ Ἱερομάρτυς — Μαρτ. 7.

## Ζ

Ζαχαρίας, ὁ Πατὴρ τοῦ Προδρόμου — Σεπτεμ. 5, 23, καὶ Ἰαν. 24.
Ζαχαρίας Προφήτης — Φεβρ. 8.
Ζηνοβία Μάρτυς — Ὀκτωβ. 30.
Ζηνόβιος Μάρυς — Ὀκτωβ. 30.
Ζωὴ Μάρτυς — Δεκεμβρ. 18.
Ζωτικὸς, ἐκ τῶν ἐν Κρήτῃ 10 Μαρτύρων — Δεκεμβρ. 23.

## Η

Ἠλιανὸς, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.
Ἠλίας, ἐκ τῶν αὐτῶν — Μαρτίου 9.
Ἠλίας Μάρτυς — Φεβρουαρ. 16.
Ἠλίας, ἢ Ἠλιοὺ ὁ Προφήτης — Ἰουλίου 20.
Ἡράκλειος, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.
Ἡράκλειος Μάρτυς — Μαΐου 18.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λησμονίου - Μουσείο Τυπαλδών Ιακωβάτων

Η'ρωδίων, ἐκ τῶν 70 Ἀποστόλων — Ἀπριλίου 8.
Η'σαΐας Μάρτυς — Φεβρουαρ. 16.
Η'σαΐας ὁ Προφήτης — Μαΐου 9.
Η'σύχιος Μάρτυς — Μαρτίου 2.
Η'σύχιος, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.

## Θ

Θαδδαῖος, ἐκ τῶν 70 Ἀποστόλων — Αὐγούστου 21.
Θαλέλαιος Μάρτυς — Μαΐου 20.
Θέκλα ἡ Πρωτομάρτυς — Σεπτεμβρίου 24.
Θεόγνιος Μάρτυς — Αὐγ 21.
Θεοδοσία Μάρτυς — Μαΐου 29.
Θεοδόσιος ὁ Κοινοβιάρχης — Ἰανουαρίου 11.
Θεόδοτος Ἱερομάρτυς — Ἰουν. 7.
Θεόδουλος Μάρτυς — Ὀκτωβ. 28.
Θεόδουλος, ἐκ τῶν ἐν Κρήτῃ 10 Μαρτύρων — Δεκεμβρ. 23.
Θεόδουλος Μάρτυς ἕτερος — Φεβρουαρίου 16.
Θεόδουλος, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.
Θεοδώρα Ὁσία, ἡ ἐν Ἀλεξανδρείᾳ — Σεπτεμβρίου 11.
Θεοδώρα ἡ Αὐγούστα — Φεβρ. 11.
Θεόδωρος ὁ Στουδίτης — Νοεμ. 11.
Θεόδωρος ὁ Γραπτὸς — Δεκεμβρίου 27.
Θεόδωρος ὁ Στρατηλάτης — Φεβρουαρ. 8 — καὶ Μαΐου 8.
Θεόδωρος ὁ Τήρων — Φεβρ. 17, καὶ Σαββ. Α'. τῶν Νηστειῶν.
Θεόδωρος ὁ Τριχινᾶς — Ἀπριλ. 20.
Θεόδωρος ὁ Συκεώτης — Ἀπριλίου 22.
Θεόδωρος ὁ Ἡγιασμένος — Μαΐου 16.
Θεόκτιστος Ὅσιος — Σεπτεμβ. 3.
Θεόκτιστος Ὅσιος ἕτερος — Ἰανουαρίου 4.
Θεόπεμπτος Μάρτυς — Ἰανουαρίου 5.
Θεοπίστη Μάρτυς — Σεπτεμ. 20.
Θεόπιστος Μάρτυς — Σεπτεμ. 20.
Θεοφάνης ὁ Γραπτὸς — Ὀκτωβ. 11.
Θεοφάνης Ὁμολογητὴς — Μαρτ. 12.
Θεόφιλος, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.
Θεοφύλακτος Ὁμολογητὴς — Μαρτίου 8.
Θεωνᾶς Μάρτυς — Ἰανουαρ. 5.
Θύρσος Μάρτυς — Δεκεμβρ. 14.
Θωμᾶς Ἀπόστολος ἐκ τῶν 12 — Ὀκτωβρίου 6.
Θωμᾶς Ὅσιος — Ἰουλίου 7.

## Ι

Ἰάκωβος Ἀπόστολος ἐκ τῶν 12, ὁ τοῦ Ἁλφαίου — Ὀκτωβρ. 9.
Ἰάκωβος ὁ Ἀδελφόθεος — Ὀκτωβρίου 23.
Ἰάκωβος Ὁμολογητὴς — Μαρτίου 8.
Ἰάκωβος Ἀπόστολος ἐκ τῶν 12, ὁ τοῦ Ζεβεδαίου — Ἀπριλ. 30.
Ἰάμβλιχος, ἐκ τῶν ἐν Ἐφέσῳ 7 Παίδων — Ὀκτωβρίου 22.
Ἰάσων, ἐκ τῶν 70 Ἀποστόλων — Ἀπριλίου 29.
Ἰγνάτιος ὁ Θεοφόρος — Δεκεμβρίου 20.
Ἰεζεκιὴλ ὁ Προφήτης — Ἰουλ. 23.
Ἴεραξ Μάρτυς — Ὀκτωβρίου 28.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ελληνική Κεντρική Βιβλιοθήκη Αθήνας
Μουσείο Τυπάλδων Ιωαννίνων

Γερεμίας Μάρτυς — Φεβρουαρ. 16.
Γερεμίας ὁ Προφήτης — Μαΐου 1.
Γερόθεος Ἀθηνῶν — Ὀκτωβρ. 4.
Γησοῦς ὁ τοῦ Ναυῆ — Σεπτεμ. 1.
Γλάριος Μάρτυς — Ἰουλ. 12.
Γλαρίων ὁ Μέγας — Ὀκτωβρ. 21.
Γλαρίων ὁ Νέος — Μαρτ. 28.
Γλαρίων ὁ τῶν Δαλμάτων — Ἰουνίου 6.
Γούδας Ἀπόστολος ἐκ τῶν 12 — Ἰουνίου 19.
Γουλιανὴ Μάρτυς — Δεκεμβρ. 21.
Γουλιανὸς Μάρτυς — Φεβρ. 16.
Γουλιανὸς Μάρτυς ὁ Ταρσεὺς — Ἰουνίου 21.
Γουλίττα Μάρτυς — Ἰουλ. 15.
Γουνία, ἐκ τῶν Ἀποστόλων — Μαΐου 17.
Γουστίνα Παρθενομάρτυς — Ὀκτωβρίου 2.
Γουστῖνος Μάρτυς, ὁ Φιλόσοφος — Ἰουνίου 1.
Γσαὰκ Πατριάρχης — Κυρ. τῶν Προπατόρων.
Γσαάκιος Ὅσιος — Μαΐου 30 — καὶ Αὐγούστου 3.
Γσαυρος Μάρτυς — Ἰουνίου 17.
Γσίδωρος ὁ Πλουσιώτης — Φεβρουαρίου 4.
Γσίδωρος Μάρτυς, ὁ ἐν Χίῳ — Μαΐου 14.
Γσμαὴλ Μάρτυς — Ἰουνίου 17.
Γωακεὶμ ὁ Θεοπάτωρ — Σεπτεμβρίου 9.
Γωάννης ὁ Νηστευτὴς — Σεπτεμβρίου 2.
Γωάννου τοῦ Προδρόμου Σύλληψις — Σεπτεμ. 23.
Σύναξις — Ἰανουαρ. 7.
Γέννησις — Ἰουνίου 24.
Βαπτιστοῦ Ἀποτομὴ — Αὐγ. 29.
Γωάννης ὁ Εὐαγγελιστὴς καὶ Θεολόγος — Σεπτ. 26, καὶ Μαΐου 8.
Γωάννης ὁ Ἐλεήμων — Νοεμβ. 12.
Γωάννης ὁ Χρυσόστομος — Νοεμ. 13, καὶ Ἰανουαρίου 27, 30.
Γωάννης ὁ Δαμασκηνὸς — Δεκεμβρίου 4.
Γωάννης ὁ Καλυβίτης — Ἰαν. 15.
Γωάννης ὁ τοῦ Ξενοφῶντος υἱὸς — Γανουαρίου 26.
Γωάννης ὁ Ἀνάργυρος — Ἰαν. 31.
Γωάννης, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.
Γωάννης ὁ τῆς Κλίμακος — Μαρτίου 30.
Γωάννης Ἀσκητὴς — Ἰουλ. 21.
Γωάννης Κωνσταντινουπόλεως — Αὐγούς. 30.
Γωαννίκιος ὁ Μέγας — Νοεμβρ. 4.
Γὼβ ὁ Πολύαθλος — Μαΐου 6.
Γωὴλ ὁ Προφήτης — Ὀκτωβρ. 19.
Γωνᾶς ὁ Προφήτης — Σεπτεμβρίου 21.
Γωσὴφ Μάρτυς — Νοεμβρ. 3.
Γωσὴφ ὁ Μνήστωρ — Κυρ. μετὰ τὴν Χ. Γέννησιν.
Γωσὴφ ὁ Ὑμνογράφος — Ἀπριλίου 3.
Γωσὴφ Θεσσαλονίκης — Ἰουλ. 14.
Γωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας — Κυρ. τῶν Μυροφόρων.

## Κ

Καλλίνικος Μάρτυς — Δεκεμ. 14.
Καλλίνικος Μάρτυς ἕτερος — Ἰουλίου 29.
Καλλιόπιος Μάρτυς — Ἀπριλ. 7.
Καλλίση Μάρτυς — Σεπτεμβρ. 1.
Καλλίστρατος Μάρτυς — Σεπτ. 27.
Καπίτων Ἱερομάρτυς — Μαρτ. 7.
Κάρπος Μάρτυς — Ὀκτωβρ. 13.
Κάρπος, ἐκ τῶν 70 Ἀποστόλων — Μαΐου 26.

Δημόσια Βιβλιοθήκη
Μουσείο Τυπά

Κασσιανὸς Ὅσιος — Φεβρουαρίου 29.
Κάστουλος Μάρτυς — Δεκεμ. 18.
Κάστωρ Μάρτυς — Δεκεμβρ. 18.
Κέλσιος Μάρτυς — Ὀκτωβρ. 14.
Κήρυκος Μάρτυς — Ἰουλ. 15.
Κικιλία Μάρτυς — Νοεμβρ. 22.
Κλαύδιος Μάρτυς — Δεκεμβρ. 18.
Κλαύδιος, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.
Κλαύδιος Μάρτυς ἕτερος — Ἀπριλίου 5.
Κλεόνικος Μάρτυς — Μαρτ. 3.
Κλήμης Ῥώμης Ἱερομάρτυς — Νοεμβρίου 24.
Κλήμης Ἀγκύρας Ἱερομάρτυς — Ἰανουαρίου 23.
Κοδράτος, ἐκ τῶν 70 Ἀποστόλων — Σεπτεμβρίου 21.
Κοδράτος Μάρτυς — Μαρτ. 10.
Κόνων Μάρτυς — Μαρτ. 5.
Κορνήλιος ὁ Ἑκατόνταρχος Σεπτεμβρίου 13.
Κοσμᾶς ὁ Ποιητὴς — Ὀκτωβ. 14.
Κοσμᾶς Ἀνάργυρος — Νοεμβρ. 1. καὶ Ἰουλίου 1.
Κούαρτος, ἐκ τῶν 70 Ἀποστόλων — Νοεμβρίου 10.
Κρήσκης Μάρτυς — Ἀπριλ. 15.
Κρήσκης, ἐκ τῶν 70 Ἀποστόλων — Ἰουλ. 30.
Κυπριανὸς Ἱερομάρτυς — Ὀκτωβρίου 2.
Κυριακὴ Μάρτυς — Ἰουλίου 7.
Κυριακὸς Ἀναχωρητὴς — Σεπτεμβρίου 29.
Κύριλλος Ἀλεξανδρείας — Ἰανουαρίου 18, καὶ Ἰουνίου 9.
Κύριλλος, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.
Κύριλλος Ἱεροσολύμων — Μαρτ. 18.
Κύριλλος Διάκονος — Μαρτίου 29.
Κυρίων, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.
Κῦρος Ἀνάργυρος — Ἰανουαρ. 31.
Κωνσταντῖνος, ἐκ τῶν ἐν Ἐφέσῳ 7 Παίδων — Ὀκτωβρίου 22.
Κωνσταντῖνος ὁ Μέγας — Μαΐου 21.

## Λ

Λάζαρος Ὅσιος, ὁ ἐν τῷ Γαλησίῳ — Νοεμβρίου 7.
Λάζαρος ὁ Τετραήμερος — Σαββάτῳ τοῦ Λαζάρου.
Λαμπαδὸς Ὅσιος — Ἰουλίου 5.
Λαυρέντιος Ἀρχιδιάκονος — Αὐγούστου 10.
Λαῦρος Μάρτυς — Αὐγ. 18.
Λεύκιος Μάρτυς — Δεκεμβρ. 14.
Λεόντιος Μάρτυς — Ἰουν. 18.
Λέων Πάπας Ῥώμης — Φεβρ. 18.
Λέων Κατάνης — Φεβρουαρ. 20.
Λογγῖνος ὁ Ἑκατόνταρχος — Ὀκτωβρίου 16.
Λουκᾶς ὁ Εὐαγγελιστὴς — Ὀκτωβρίου 18.
Λουκᾶς Ὅσιος, ὁ ἐν τῷ Στειρίῳ — Φεβρουαρίου 7.
Λουκία Μάρτυς — Δεκεμβρ. 13.
Λουκιανὸς Μάρτυς — Ὀκτωβ. 15.
Λουκιλλιανὸς Μάρτυς — Ἰουν. 3.
Λοῦππος Μάρτυς — Αὐγούς. 23.
Λυσίμαχος, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# Μ

Μακάριος Ὅσιος, ὁ Αἰγύπτιος — Ἰανουαρίου 19.
Μακρίνα Ὁσία — Ἰουλ. 19.
Μαλαχίας ὁ Προφήτης — Ἰαν. 3.
Μάμας Μάρτυς — Σεπτεμβρ. 2.
Μανουὴλ Μάρτυς — Ἰουνίου 17.
Μαξιμιλιανὸς, ἐκ τῶν ἐν Ἐφέσῳ ζ Παίδων — Ὀκτωβρίου 22.
Μάξιμος ὁ Ὁμολογητὴς — Ἰανουαρίου 21 καὶ Αὐγούστου 13.
Μαρδάριος Μάρτυς — Δεκεμ. 13.
Μαρία ἡ Θεοτόκος
- Γέννησις αὐτῆς — Σεπ. 8.
- Εἴσοδος αὐτῆς — Νοεμ. 21.
- Εὐαγγελισμὸς αὐτῆς — Μαρτίου 25.
- Κοίμησις αὐτῆς — Αὐγ. 15.

Μαρία Ὁσία, ἡ τοῦ Ξενοφῶντος γυνὴ — Ἰανουαρίου 26.
Μαρία Ὁσία, ἡ Αἰγυπτία — Ἀπριλίου 1.
Μαρία ἡ Μαγδαληνὴ — Ἰουλ. 22.
Μαρίνα Μάρτυς — Ἰουλίου 17.
Μαρκελλῖνος Μάρτυς — Δεκεμ. 18.
Μάρκελλος Μονῆς τῶν Ἀκοιμήτων — Δεκεμβρίου 29.
Μάρκελλος, ἐκ τῶν ζ Μακκαβαίων — Αὐγούστου 1.
Μαρκία Μάρτυς — Δεκεμβρ. 18.
Μαρκιανὸς Μάρτυς — Ὀκτωβ. 25.
Μάρκος Μάρτυς — Δεκεμβρ. 18.
Μάρκος Ὅσιος — Μαρτ. 29.
Μάρκος ὁ Εὐαγγελιστὴς — Ἀπριλίου 25.
Μαρτινιανὸς Ὅσιος — Φεβρ. 13.
Μαρτινιανὸς, ἐκ τῶν ἐν Ἐφέσῳ ζ Παίδων — Ὀκτωβρίου 22.
Μαρτῖνος Πάπας Ῥώμης — Ἀπριλίου 13.
Μαρτύριος Μάρτυς — Ὀκτωβ. 25.
Ματθαῖος ὁ Εὐαγγελιστὴς — Νοεμβρίου 16.
Ματθίας Ἀπόστολος, ἐκ τῶν ιβ — Αὐγούστου 9.
Ματρώνα Ὁσία — Νοεμβρ. 9.
Ματρώνα Ὁσία, ἡ ἐν Θεσσαλονίκῃ — Μαρτίου 27.
Μαύρα Μάρτυς — Μαΐου 3.
Μεθόδιος Ὁμολογητὴς — Ἰουν. 14.
Μεθόδιος Πατὴρ Ἱερομάρτυς — Ἰουνίου 20.
Μελάνη Ὁσία ἡ Ῥωμαία — Δεκεμβρίου 31.
Μελέτιος Ἀντιοχείας — Φεβρουαρίου 12.
Μελίτων, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.
Μένανδρος Μάρτυς — Μαΐου, 19.
Μερκούριος Μάρτυς — Νοεμβ. 25.
Μηνᾶς Μάρτυς, ὁ Αἰγύπτιος — Νοεμβρίου 11.
Μηνᾶς ὁ Καλλικέλαδος — Δεκεμβρίου 10.
Μινοδώρα Μάρτυς — Σεπτεμ. 10.
Μητροδώρα Μάρτυς — Σεπτ. 10.
Μητροφάνης Κωνσταντινουπόλ. — Ἰουνίου 4.
Μισαὴλ, ἐκ τῶν 3 Παίδων — Δεκεμβρίου 17.
Μιχαὴλ Ἀρχισράτηγος — Σεπτεμβρίου 6, καὶ Νοεμβρίου 8.
Μιχαὴλ Συνάδων — Μαΐου 23.
Μιχαίας ὁ Προφήτης — Αὐγ. 14.
Μύρων Μάρτυς — Αὐγουστ. 17.
Μώκιος Ἱερομάρτυς — Μαΐου 11.
Μωϋσῆς ὁ Θεόπτης — Σεπτεμβρίου 4.
Μωϋσῆς Ὅσιος ὁ Αἰθίοψ — Αὐγούστου 28.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Μαρκοπούλου - Μουσείο Υπαιθρίου Εικαστικών

## Ν

Ναζάριος Μάρτυς — Ὀκτωβ. 14.
Ναοὺμ Προφήτης — Δεκεμβρ. 1.
Νάρκισσος, ἐκ τῶν 70 Ἀποστόλων — Ὀκτωβρίου 31.
Ναταλία Μάρτυς — Αὐγ. 26.
Νεῖλος Ὅσιος — Νοεμβρ. 12.
Νεονίλα Μάρτυς — Ὀκτωβρ. 28.
Νεόφυτος Μάρτυς — Ἰανουαρ. 21.
Νέστωρ Μάρτυς — Ὀκτωβρ. 27.
Νίκανδρος Ἱερομάρτυς — Νοεμ. 4.
Νικάνωρ, ἐκ τῶν 7 Διακόνων — Ἰουλίου 28.
Νικήτας Μάρτυς — Σεπτεμ. 15.
Νικήτας Ὅσιος — Ἀπριλίου 3.
Νικηφόρος Μάρτυς — Φεβρ. 9.
Νικηφόρος Κωνσταντινουπόλεως — Μαρτίου 13, καὶ Ἰουνίου 2.
Νικόδημος, ἄρχων τῶν Ἰουδαίων — Κυρ. τῶν Μυροφόρων.
Νικόλαος ὁ ἐν Μύροις — Δεκεμ. 6.
Νικόλαος, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.
Νικόστρατος Μάρτυς — Δεκεμ. 18.
Νίκων Ὅσιος, ὁ Μετανοεῖτε — Νοεμβρίου 26.
Νίκων Ὁσιομάρτυς — Μαρτ. 23.
Νιτᾶς Μάρτυς — Ὀκτωβρ. 28.
Νυμφοδώρα Μάρτυς — Σεπτεμ. 10.

## Ξ

Ξανθίας, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.
Ξένη Ὁσία — Ἰανουαρ. 24.
Ξενοφῶν Ὅσιος — Ἰανουαρ. 26.

## Ο

Ὀλυμπᾶς, ἐκ τῶν 70 Ἀποστόλων — Νοεμβρίου 10.
Ὀνήσιμος, ἐκ τῶν Ἀποστόλων — Νοεμβρ. 22. Φεβρουαρ. 15.
Ὀνησιφόρος Μάρτυς — Νοεμβρ. 9.
Ὀνούφριος Ὅσιος — Ἰουν. 12.
Ὀρέστης Μάρτυς — Νοεμβρ. 10.
Ὀρέστης Μάρτυς ἕτερος — Δεκεμ. 13.
Οὐαλέριος, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.
Οὐάλης, ἐκ τῶν αὐτῶν — Μαρτ. 9.
Οὐάλης Μάρτυς ἕτερος — Φεβρουαρίου 16.
Οὔαρος Μάρτυς — Ὀκτωβρ. 19.
Οὐρβανὸς, ἐκ τῶν 70 Ἀποστόλων — Ὀκτωβρίου 31.

## Π

Παγκράτιος Ἱερομάρτυς — Ἰουλ. 9.
Πάμφιλος Μάρτυς — Φεβρ. 16.
Παντελεήμων ὁ Ἰαματικὸς — Ἰουλίου 9.
Πάπυλος Μάρτυς — Ὀκτωβ. 13.
Παράμονος Μάρτυς — Νοεμβ. 29.
Παρασκευὴ Ὁσιομάρτυς — Ἰουλ. 26.
Παρθένιος Λαμψάκου — Φεβρ. 7.
Παρμενᾶς, ἐκ τῶν 7 Διακόνων — Ἰουλίου 28.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Πατάπιος Ὅσιος — Δεκεμβρ. 8.
Πατρίκιος Ἱερομάρτυς — Μαΐου 19.
Παυλῖνος Μάρτυς — Μαΐου 18.
Παῦλος Κωνσταντινουπόλεως Ὁμολογητὴς — Νοεμβρίου 6.
Παῦλος Ὅσιος, ὁ Θηβαῖος — Ἰανουαρίου 15.
Παῦλος Μάρτυς — Φεβρουαρ. 16.
Παῦλος Μάρτυς ἕτερος — Μαΐου 18.
Παῦλος ὁ Ἀπόστολος, τὸ Σκεῦος τῆς ἐκλογῆς — Ἰουνίου 29.
Παῦλος Κωνσταντινουπόλεως, ὁ Νέος — Αὐγούστου 30.
Παφνούτιος Ἱερομάρτυς — Ἀπριλίου 19.
Παχώμιος ὁ Μέγας — Μαΐου 15.
Πελαγία Ὁσία — Ὀκτωβρίου 8.
Πελαγία Μάρτυς — Μαΐου 4.
Πέτρος Ἀλεξανδρείας Ἱερομάρ. — Νοεμβρίου 24.
Πέτρος Μάρτυς — Μαΐου 18.
Πέτρος Ὅσιος, ὁ ἐν τῷ Ἄθῳ — Ἰουνίου 12.
Πέτρος Ἀπόστολος, ὁ Πρωτοκορυφαῖος — Ἰουνίου 29.
Πηγάσιος Μάρτυς — Νοεμβρ. 3.
Πίστις Μάρτυς — Σεπτεμβρ. 17.
Πιστὸς Μάρτυς — Αὐγ. 21.
Πλάτων Μάρτυς — Νοεμβρ. 18.
Ποιμὴν Ὅσιος — Αὐγ. 27.
Πολύαινος Μάρτυς — Μαΐου 19.
Πολύευκτος Μάρτυς — Ἰανουαρίου 9.
Πολύκαρπος Σμύρνης — Φεβρ. 23.
Πομπήϊος Μάρτυς — Ἀπριλ. 10.
Πόμπιος, ἐκ τῶν ἐν Κρήτῃ 10 Μαρτύρων — Δεκεμβρίου 23.
Πορφύριος Μάρτυς — Νοεμβρ. 9.
Πορφύριος Μάρτυς ἕτερος — Φεβρουαρίου 16.
Πορφύριος Γάζης — Φεβρ. 26.
Πούδης, ἐκ τῶν 70 Ἀποστόλων — Αὐγούστου 14.
Πρῖσκος, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.
Πρόβος Μάρτυς — Ὀκτωβρ. 12.
Πρόκλος Κωνσταντινουπόλεως — Νοεμβρίου 20.
Πρόκλος Μάρτυς — Ἰουλίου 12.
Προκόπιος Ὅσιος, ὁ Δεκαπολίτης — Φεβρουαρίου 27.
Προκόπιος ὁ Μεγαλομάρτυς — Ἰουλίου 28.
Προτάσιος Μάρτυς — Ὀκτωβ. 14.
Πρόχορος, ἐκ τῶν 7 Διακόνων — Ἰουλίου 28.

## Ρ

Ῥόδιων, ἐκ τῶν 70 Ἀποστόλων — Νοεμβρίου 10.
Ῥῆφος, ἐκ τῶν 70 Ἀπος. — Ἀπρ. 8.
Ῥωμανὸς ὁ Μελῳδὸς — Ὀκτωβρίου 1.
Ῥωμανὸς Μάρτυς — Νοεμβρ. 18.

## Σ

Σάββας ὁ Ἡγιασμένος — Δεκεμ. 5.
Σαββάτιος Μάρτυς — Σεπτεμ. 9.
Σαβὲλ Μάρτυς — Ἰουνίου 17.
Σαβῖνος Μάρτυς — Μαρτ. 16.
Σαπερδὼν, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.
Σαμουὴλ ὁ Προφήτης — Αὐγ. 20.
Σαμψὼν ὁ Ξενοδόχος — Ἰουν. 27.
Σαμωνᾶς Μάρτυς — Νοεμβρ. 15.
Σάρβηλος Μάρτυς — Ὀκτωβρ. 28.
Σάῤῥα ἡ τοῦ Ἀβραὰμ — Κυρ. τῶν Προπατόρων.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

Σατορνῖνος, ἐκ τῶν ἐν Κρήτῃ 10 Μαρτύρων — Δεκεμβρίου 23.
Σεβαστιανὸς Μάρτυς — Δεκεμ. 18.
Σεβηριανὸς Μάρτυς — Σεπτεμ. 9.
Σεβηριανὸς, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.
Σέλευκος Μάρτυς — Φεβρουαρ. 16.
Σέργιος Μάρτυς — Ὀκτωβρ. 7.
Σίλας, ἐκ τῶν 70 Ἀποστόλων — Ἰουλίου 30.
Σίλβεστρος Πάπας Ῥώμης — Ἰαν. 2.
Σιλουανὸς, ἐκ τῶν 70 Ἀποστόλων — Ἰουλίου 30.
Σίμων Ἀπόστολος ἐκ τῶν 12, ὁ Ζηλωτὴς — Μαΐου 10.
Σισίνιος, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.
Σισώης ὁ Μέγας — Ἰουλίου 6.
Σμάραγδος, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.
Σολομονὴ, ἡ μήτηρ τῶν Μακκαβαίων — Αὐγούστου 1.
Σοφία Μάρτυς — Σεπτεμβρ. 17.
Σοφονίας Προφήτης — Δεκεμβρ. 3.
Σπυρίδων ὁ Θαυματουργὸς — Δεκεμβρίου 12.
Στάχυς, ἐκ τῶν 70 Ἀποστόλων — Ὀκτωβρίου 31.
Στεφανὶς Μάρτυς — Νοεμβρ. 11.
Στέφανος ὁ Σαββαΐτης — Ὀκτωβρίου 28, καὶ Ἰουλίου 13.
Στέφανος ὁ Νέος, Ὁσιομάρτυς — Νοεμβρίου 28.
Στέφανος ὁ Πρωτομάρτυς — Δεκεμβρίου 27.
Στρατόνικος Μάρτυς — Ἰανουαρίου 13.
Συγκλητικὴ Ὁσία — Ἰανουαρ. 5.
Συμεὼν ὁ Στυλίτης — Σεπτεμ. 1.
Συμεὼν ὁ Θεοδόχος — Φεβρ. 2.
Συμεὼν Ἱερομάρτυς ὁ ἐν Περσίδι — Ἀπριλίου 17.
Συμεὼν ὁ συγγενὴς τοῦ Κυρίου — Ἀπριλίου 27.
Συμεὼν ὁ ἐν τῷ Θαυμαστῷ ὄρει — Μαΐου 24.
Συμεὼν ὁ διὰ Χριστὸν Σαλὸς — Ἰουλίου 21.
Σώζων Μάρτυς — Σεπτεμβρ. 7.
Σωσίπατρος, ἐκ τῶν 70 Ἀποστ. Νοεμβ. 10, Ἀπριλίου 29.
Σωφρόνιος Ἱεροσολύμων — Μαρ. 11.

## Τ

Ταράσιος Κωνσταντινουπόλεως — Φεβρουαρίου 15.
Τάραχος Μάρτυς — Ὀκτωβρ. 12.
Τατιανὴ Μάρτυς — Ἰανουαρ. 12.
Τερέντιος Μάρτυς — Ὀκτωβ. 28.
Τερέντιος Μάρτυς ἕτερος — Ἀπριλίου 10.
Τιβούρτιος Μάρτυς — Νοεμβ. 22.
Τιβούρτιος Μάρτυς ἕτερος — Δεκεμβρίου 12.
Τιμόθεος, ἐκ τῶν 70 Ἀποστόλων — Ἰανουαρίου 22.
Τιμόθεος Ὅσιος — Φεβρουαρ. 21.
Τιμόθεος Μάρτυς — Μαΐου 3.
Τίμων, ἐκ τῶν 7 Διακόνων — Ἰουλίου 28.
Τίτος Ὅσιος — Ἀπριλίου 2.
Τίτος Ἀπόστολος — Αὐγούστος 25.
Τραγκυλῖνος Μάρτυς — Δεκεμ. 18.
Τρόφιμος Μάρτυς — Σεπτεμ. 19.
Τρόφιμος, ἐκ τῶν 70 Ἀποστόλων — Ἀπριλίου 14.
Τρύφων Μάρτυς — Φεβρουαρ. 1.
Τύχων ὁ Ἀμαθοῦντος — Ἰουν. 16.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Μουσείο Τυπλάδων Ιακωβιτών

## Υ

Υάκινθος Μάρτυς — Ἰουλίου 3.

Ὑπάτιος Γαγγρῶν Ἱερομάρτυς — Μαρτίου 31.

## Φ

Φαῦστος Ὅσιος — Αὐγούστου 3.

Φεβρωνία Ὁσιομάρτυς — Ἰαν. 25.

Φιλήμων, ἐκ τῶν ο' Ἀποστόλων — Νοεμβρίου 22.

Φιλήμων Μάρτυς — Δεκεμβρ. 14.

Φίλιππος, ἐκ τῶν ζ Διακόνων — Ὀκτωβρίου 11.

Φίλιππος Ἀπόστολος ἐκ τῶν 12 — Νοεμβρίου 14.

Φιλοκτήμων, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.

Φιλούμενος Μάρτυς — Νοεμβρ. 29.

Φλάβιος, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.

Φλέγων, ἐκ τῶν ο' Ἀποστόλων — Ἀπριλίου 8.

Φλῶρος Μάρτυς — Αὐγούστου 18.

Φωκᾶς Ἱερομάρτυς — Σεπτεμβρ. 22, καὶ Ἰουλίου 23.

Φώτιος Μάρτυς — Ὀκτωβρ. 28.

Φώτιος Μάρτυς ἕτερος — Αὐγούστου 12.

## Χ

Χαραλάμπης Ἱερομάρτυς — Φεβρουαρίου 10.

Χαριτίνη Μάρτυς — Ὀκτωβρ. 5.

Χαρίτων Ὁμολογητὴς — Σεπτεμβρίου 28.

Χουδίων, ἐκ τῶν 40 Μαρτύρων — Μαρτίου 9.

Χριστίνα Μάρτυς — Μαΐου 18.

Χριστίνα Μεγαλομάρτυς — Ἰουλίου 24.

Χριστόδουλος Ὅσιος, ὁ ἐν Πάτμῳ — Μαρτίου 16.

Χριστοφόρος Μάρτυς — Μαΐου 9.

Χρύσανθος Μάρτυς — Μαρτ. 19.

## Ω

Ὡσηὲ ὁ Προφήτης — Ὀκτωβ. 17.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΠΑΣΧΑΛΙΑ

## ΕΤΩΝ ΕΞΗΚΟΝΤΑ ΔΥΟ.

Ἀρχόμενα ἀπὸ τοῦ 1839. καὶ καταλήγοντα εἰς τὸ 1900.

### ΠΑΣΧΑΛΙΟΝ

ΤΟΥ ΕΤΟΥΣ.

1839. ᾳωλθ'. χτμχ'.

Ἰνδικτιῶνος ιβ'.
Ἡλίου Κύκλοι ια'.
Σελήνης Κύκλοι ιγ'.
Θεμέλιον Σελήνης λϛ'.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Σαββ.
Κρεωφαγία, ἡμέραι λϛ'.
Τὸ Τριῴδιον ἄρχεται Ἰανουαρίου ιέ.
Εὐωδινὸν ά. Ἦχος ά.
Ἡ Ἀποκρέα, Ἰανουαρίου κϑ'.
Τοῦ Εὐαγγ. τῷ ἁγίῳ καὶ μεγ. Σαββ.
Νομικὸν Φάσκα, Μαρτίου κά.
Λατίνων Πάσχα, Μαρτίου ιϑ'.
Τὸ Ἅγιον Πάσχα, Μαρτίου κϛ'.
Τῆς Ἀναλήψεως, Μαΐου ϑ'.
Τῆς Πεντηκοστῆς, Μαΐου ιϑ'.
Τῶν Ἁγίων Πάντων, Μαΐου κά.
Ἡ νηστεία τῶν Ἁγίων Ἀποστ. ἡμ. λή.
Ἡ μνήμη αὐτῶν, ἡμέρᾳ Πέμπ.

### ΠΑΣΧΑΛΙΟΝ

ΤΟΥ ΕΤΟΥΣ.

1840. ᾳωμ'. χτμή. Βίσεκτος.

Ἰνδικτιῶνος ιγ'.
Ἡλίου Κύκλοι ιβ'.
Σελήνης Κύκλοι ιδ'.
Θεμέλιον Σελήνης ζ'.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Κυρ.
Κρεωφαγία, ἡμέραι νϛ'.
Τὸ Τριῴδιον ἄρχεται Φεβρουαρίου ϑ'.
Εὐωδινὸν ά. Ἦχος πλ. ά.
Ἡ Ἀποκρέα, Φεβρουαρίου ιή.
Τοῦ Εὐαγγ. τῇ Δευτ. τῆς έ. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου ϑ'.
Λατίνων Πάσχα, Ἀπριλίου ζ'.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου ιϑ'.
Τῆς Ἀναλήψεως, Μαΐου κγ'.
Τῆς Πεντηκοστῆς, Ἰουνίου β.
Τῶν Ἁγίων Πάντων, Ἰουνίου ϑ'.
Ἡ νηστεία τῶν ἁγ. Ἀποστ. ἡμ. ιϑ'.
Ἡ μνήμη αὐτῶν, ἡμέρᾳ Σαββ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Κεντρική Βιβλιοθήκη Πανεπιστημίου
Ιόνιων Νήσων

## ΠΑΣΧΑΛΙΟΝ
ΤΟΥ ΕΤΟΥΣ.

**1841. ᾳωμά. ζτμϑ'.**

Ἰνδικτιῶνος ιδ'.
Ἡλίου Κύκλοι ιγ'.
Σελήνης Κύκλοι ιέ.
Θεμέλιον Σελήνης ιή.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Τρίτ.
Κρεωφαγία, ἡμέραι μ'.
Τὸ Τριῴδιον ἄρχεται Ἰανουαρίου ιϑ'.
Εὠϑινὸν ιά. Ἦχος πλ. δ'.
Ἡ Ἀποκρέα, Φεβρουαρίου β'.
Τοῦ Εὐαγγ. τῇ ἁγίᾳ, καὶ μεγ. Τρίτ.
Νομικὸν Φάσκα, Μαρτίου κϑ'.
Λατίνων Πάσχα, Μαρτίου λ'.
Τὸ Ἅγιον Πάσχα, Μαρτίου λ'.
Τῆς Ἀναλήψεως, Μαΐου ή.
Τῆς Πεντηκοστῆς, Μαΐου ιή.
Τῶν Ἁγίων Πάντων Μαΐου κέ.
Ἡ νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. λδ'.
Ἡ μνήμη αὐτῶν ἡμέρᾳ Κυρ.

## ΠΑΣΧΑΛΙΟΝ
ΤΟΥ ΕΤΟΥΣ.

**1842. ᾳωμβ'. ζτν'.**

Ἰνδικτιῶνος ιέ.
Ἡλίου Κύκλοι ιδ'.
Σελήνης Κύκλοι ις'.
Θεμέλιον Σελήνης κϑ'.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Τετ.
Κρεωφαγία. ἡμέραι ξ'.
Τὸ Τριῴδιον ἄρχεται Φεβρουαρίου ή.
Εὠϑινὸν έ. Ἦχος πλ. ά.
Ἡ Ἀποκρέα, Φεβρουαρίου κβ'.
Τοῦ Εὐαγγ. τῇ Τετ. τῆς δ'. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου ιζ'.
Λατίνων Πάσχα, Μαρτίου ιέ.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου ιϑ'.
Τῆς Ἀναλήψεως, Μαΐου κή.
Τῆς Πεντηκοστῆς, Ἰουνίου ζ'.
Τῶν Ἁγίων Πάντων, Ἰουνίου ιδ'.
Ἡ νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. ιδ'.
Ἡ μνήμη αὐτῶν ἡμέρᾳ Δευτ.

## ΠΑΣΧΑΛΙΟΝ
ΤΟΥ ΕΤΟΥΣ.

**1843. ᾳωμγ'. ζτνά.**

Ἰνδικτιῶνος ά.
Ἡλίου Κύκλοι ιέ.
Σελήνης Κύκλοι ιζ'.
Θεμέλιον Σελήνης ί.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Πέμ.
Κρεωφαγία, ἡμέραι νβ'.
Τὸ Τριῴδιον ἄρχεται Ἰανουαρίου λά.
Εὠϑινὸν ά. Ἦχος ά.
Ἡ Ἀποκρέα, Φεβρουαρίου ιδ'.
Τοῦ Εὐαγγ. τῇ Πέμ. τῆς έ. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου έ.
Λατίνων Πάσχα, Ἀπριλίου δ'.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου ια.
Τῆς Ἀναλήψεως, Μαΐου κ'.
Τῆς Πεντηκοστῆς, Μαΐου λ'.
Τῶν Ἁγίων Πάντων, Ἰουνίου ς'.
Ἡ νηστεία τῶν ἁγ. Ἀποστ. ἡμ. κβ'.
Ἡ μνήμη αὐτῶν, ἡμέρᾳ Τρίτ.

## ΠΑΣΧΑΛΙΟΝ
ΤΟΥ ΕΤΟΥΣ.

**1844. ᾳωμδ'. ζτνβ'. Βίσεκτος.**

Ἰνδικτιῶνος β'.
Ἡλίου Κύκλοι ις'.
Σελήνης Κύκλοι ιή.
Θεμέλιον Σελήνης κά.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Παρ.
Κρεωφαγία, ἡμέραι λζ.
Τὸ Τριῴδιον ἄρχεται Ἰανουαρίου ις'.
Εὠϑινὸν ιά. Ἦχος πλ. δ'.
Ἡ Ἀποκρέα, Ἰανουαρίου λ'.
Τοῦ Εὐαγγ. τῷ ἁγίῳ, καὶ μεγ. Σαββ.
Νομικὸν Φάσκα, Μαρτίῳ κέ.
Λατίνων Πάσχα, Μαρτίῳ κς'.
Τὸ Ἅγιον Πάσχα, Μαρτίῳ κς'.
Τῆς Ἀναλήψεως, Μαΐῳ δ'.
Τῆς Πεντηκοστῆς Μαΐῳ ιδ'.
Τῶν Ἁγίων Πάντων, Μαΐῳ κά.
Ἡ νηστεία των αγίων Ἀποστ. ἡμ. λή.
Ἡ μνήμη αὐτῶν, ἡμέρᾳ Πέμ.

ΑΠΟΨΙΣΕΙΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπογράφων Ιακώβατων

## ΠΑΣΧΑΛΙΟΝ

ΤΟΥ ΕΤΟΥΣ.

1845. ᾳωμέ. ζτνγ'.

Ἰνδικτιῶνος γ'.
Ἡλίου Κύκλοι ιζ.
Σελήνης Κύκλοι ιϑ'.
Θεμέλιον Σελήνης β.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Κυρ.
Κρεωφαγία, ἡμέρ. νς'.
Τὸ Τριῴδιον ἄρχεται Φεβρουαρίου δ'.
Εὠθινὸν έ. Ἦχος πλ. ά.
Ἡ Ἀποκρέα, Φεβρουαρίου ιή.
Τοῦ Εὐαγγ. τῇ Κυρ. τῆς δ'. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου ιγ'.
Λατίνων Πάσχα, Μαρτίου ιά.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου ιέ.
Τῆς Ἀναλήψεως, Μαΐου κδ'.
Τῆς Πεντηκοστῆς, Ἰουνίου γ'.
Τῶν Ἁγίων Πάντων, Ἰουνίου ί.
Ἡ νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. ιή.
Ἡ μνήμη αὐτῶν, ἡμέρᾳ Παρ.

## ΠΑΣΧΑΛΙΟΝ

ΤΟΥ ΕΤΟΥΣ.

1846. ᾳωμς'. ζτνδ'.

Ἰνδικτιῶνος δ'.
Ἡλίου Κύκλοι ιή.
Σελήνης Κύκλοι ά.
Θεμέλιον Σελήνης ιδ'.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Δευτ.
Κρεωφαγία, ἡμέραι μή.
Τὸ Τριῴδιον ἄρχεται, Ἰανουαρίου κζ'.
Εὠθινὸν ά. Ἦχος ά.
Ἡ Ἀποκρέα, Φεβρουαρίου ί.
Τοῦ Εὐαγγ. τῇ Δευτ. τῆς ς'. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου β'.
Λατίνων Πάσχα, Μαρίου λά.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου ζ'.
Τῆς Ἀναλήψεως, Μαΐου ιϛ'.
Τῆς Πεντηκοστῆς, Μαΐου κς'.
Τῶν Ἁγίων Πάντων, Ἰουνίου β'.
Ἡ νηστεία τῶν ἁγ. Ἀποστ. ἡμ. κς'.
Ἡ μνήμη αὐτῶν, ἡμέρᾳ Σαββ.

## ΠΑΣΧΑΛΙΟΝ

ΤΟΥ ΕΤΟΥΣ.

1847. ᾳωμζ'. ζτνέ.

Ἰνδικτιῶνος έ.
Ἡλίου Κύκλοι ιϑ'.
Σελήνης Κύκλοι β'.
Θεμέλιον Σελήνης κέ.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Τρίτη.
Κρεωφαγία, ἡμέραι λγ'.
Τὸ Τριῴδιον ἄρχεται, Ἰανουαρίου ιβ.
Εὠθινὸν ιά. Ἦχος πλ. δ'.
Ἡ Ἀποκρέα, Ἰανουαρίου κς'.
Τοῦ Εὐαγγ. τῇ Τρίτῃ τῆς Διακαινησ.
Νομικὸν Φάσκα, Μαρτίου κβ'.
Λατίνων Πάσχα, Μαρτίου κγ'.
Τὸ Ἅγιον Πάσχα, Μαρτίῳ κγ'.
Τῆς Ἀναλήψεως, Μαΐου ά.
Τῆς Πεντηκοστῆς, Μαΐου ιά.
Τῶν Ἁγίων Πάντων, Μαΐου ιή.
Ἡ νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. μά.
Ἡ μνήμη αὐτῶν, ἡμέρᾳ Κυριακῇ.

## ΠΑΣΧΑΛΙΟΝ

ΤΟΥ ΕΤΟΥΣ.

1848. ᾳωμή. ζτνς'. Βίσεκτος.

Ἰνδικτιῶνος ς'.
Ἡλίου Κύκλοι κ'.
Σελήνης Κύκλοι γ'.
Θεμέλιον Σελήνης ς'.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Τετ.
Κρεωφαγία, ἡμέραι νγ'.
Τὸ Τριῴδιον ἄρχεται Φεβρουαρίου ά.
Εὠθινὸν δ'. Ἦχος δ'.
Ἡ Ἀποκρέα, Φεβρουαρίου ιέ.
Τοῦ Εὐαγγ. τῇ Πέμπ. τῆς έ. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου έ.
Λατίνων Πάσχα, Ἀπριλίου ιά.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου ιά.
Τῆς Ἀναλήψεως, Μαΐου κ'.
Τῆς Πεντηκοστῆς Μαΐου λ'.
Τῶν Ἁγίων Πάντων, Ἰουνίου ς'.
Ἡ νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. κβ'.
Ἡ μνήμη αὐτῶν, ἡμέρᾳ Τρίτ.

ΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημοσία Κεντρική Βιβλιοθήκη Δήμου Ιωαννίνων

## ΠΑΣΧΑΛΙΟΝ
ΤΟΥ ΕΤΟΥΣ.
1849. ᾳωμθ'. ζτνζ'.

Ἰνδικτιῶνος ζ.
Ἡλίου Κύκλοι κά.
Σελήνης Κύκλοι δ'.
Θεμέλιον Σελήνης ιζ'.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Παρ.
Κρεωφαγία, ἡμέραι μδ'.
Τὸ Τριῳδιον ἄρχεται Ἰανουαρίου κγ'.
Εὠθινὸν ά. Ἦχος δ'.
Η' Ἀποκρέα, Φεβρουαρίου ϛ'.
Τοῦ Εὐαγγ. τῇ Παρ. τῆς ϛ'. Ἑβδομ.
Νομικὸν Φάσκα, Μαρτίου λ'.
Λατίνων Πάσχα, Μαρτίου κζ.
Τὸ Ἅγιον Πάσχα Ἀπριλίου γ'.
Τῆς Ἀναλήψεως, Μαΐου ιβ'.
Τῆς Πεντηκοστῆς, Μαΐου κβ'.
Τῶν Ἁγίων Πάντων, Ἰουνίου κϑ'.
Η' νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. λ'.
Η' μνήμη αὐτῶν, ἡμέρᾳ Τετ.

## ΠΑΣΧΑΛΙΟΝ
ΤΟΥ ΕΤΟΥΣ.
1850. ᾳων'. ζτνή.

Ἰνδικτιῶνος έ.
Ἡλίου Κύκλοι κβ'.
Σελήνης Κύκλοι έ.
Θεμέλιον Σελήνης κή.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Σαββ.
Κρεωφαγία, ἡμέραι ξδ'.
Τὸ Τριῳδιον ἄρχεται Φεβρουαρίου ιβ'.
Εὠθινὸν έ. Ἦχος πλ. ά.
Η' Ἀποκρέα, Φεβρουαρίου κϛ'.
Τοῦ Εὐαγγ. τῷ Σαββ. τῆς γ'. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου ιή.
Λατίνων Πάσχα, Μαρτίου ιϑ'.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου κγ'.
Τῆς Ἀναλήψεως, Ἰουνίου ά.
Τῆς Πεντηκοστῆς, Ἰουνίου ιά.
Τῶν Ἁγίων Πάντων, Ἰουνίου ιή.
Η' νηστεία τῶν ἁγ. Ἀποστ. ἡμ. ί.
Η' μνήμη αὐτῶν, ἡμέρᾳ Πέμ.

## ΠΑΣΧΑΛΙΟΝ
ΤΟΥ ΕΤΟΥΣ.
1851. ᾳωνά. ζτνϑ'.

Ἰνδικτιῶνος ϑ'.
Ἡλίου Κύκλοι κγ'.
Σελήνης Κύκλοι ϛ'.
Θεμέλιον Σελήνης ϑ'.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Κυρ.
Κρεωφαγία, ἡμέραι μϑ'.
Τὸ Τριῳδιον ἄρχεται Ἰανουαρίου κή.
Εὠθινὸν ιά. Ἦχος πλ. δ'.
Η' Ἀποκρέα, Φεβρουαρίου ιά.
Τοῦ Εὐαγγ. τῇ Κυρ. τῆς έ. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου ζ'.
Λατίνων Πάσχα, Ἀπριλίου ή.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου ή.
Τῆς Ἀναλήψεως, Μαΐου ιζ'.
Τῆς Πεντηκοστῆς Μαΐου κζ'.
Τῶν Ἁγίων Πάντων, Ἰουνίου γ'.
Η' νηστεία τῶν ἁγ. Ἀποστ. ἡμ. κά.
Η' μνήμη αὐτῶν ἡμέρᾳ Παρασ.

## ΠΑΣΧΑΛΙΟΝ
ΤΟΥ ΕΤΟΥΣ.
1852. ᾳωνβ'. ζτζ'. Βίσεκτος.

Ἰνδικτιῶνος ί.
Ἡλίου Κύκλοι κδ'.
Σελήνης Κύκλοι ζ'.
Θεμέλιον Σελήνης κ'.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Δευτ.
Κρεωφαγία, ἡμέραι μά.
Τὸ Τριῳδιον ἄρχεται Ἰανουαρίου κ'.
Εὠθινὸν έ. Ἦχος πλ. δ'.
Η' Ἀποκρέα, Φεβρουαρίου γ'.
Τοῦ Εὐαγγ. τῇ ἁγίᾳ, καὶ μεγ. Τρίτῃ.
Νομικὸν Φάσκα, Μαρτίου κζ.
Λατίνων Πάσχα, Μαρτίου λ'.
Τὸ Ἅγιον Πάσχα, Μαρτίου λ'.
Τῆς Ἀναλήψεως, Μαΐου ή.
Τῆς Πεντηκοστῆς, Μαΐου ιή.
Τῶν Ἁγίων Πάντων, Μαΐου κέ.
Η' νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. λδ'.
Η' μνήμη αὐτῶν, ἡμέρᾳ Κυρ.

ΑΝΟΙΧΤΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Λιξουρίου - Μουσείο Τυπογραφών Ιθακησίων

## ΠΑΣΧΑΛΙΟΝ

ΤΟΥ ΕΤΟΥΣ.

### 1853. ᾳωνγ'. ᾠξά.

Ἰνδικτιῶνος ιά.
Ἡλίου Κύκλοι κέ.
Σελήνης Κύκλοι ή.
Θεμέλιον Σελήνης ά.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Τετ.
Κρεωφαγία, ἡμέρ. ξ.
Τὸ Τριῳδιον ἄρχεται Φεβρουαρίου ή.
Εὠθινὸν έ. Ἦχος πλ. ά.
Η' Ἀποκρέα, Φεβρουαρίου κβ'.
Τοῦ Εὐαγγ. τῇ Τετ. τῆς δ'. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου ιέ.
Λατίνων Πάσχα, Ἀπριλίου ιέ.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου ιϑ'.
Τῆς Ἀναλήψεως, Μαΐου κή.
Τῆς Πεντηκοστῆς, Ἰουνίου ζ'.
Τῶν Ἁγίων Πάντων, Ἰουνίου ιδ'.
Η' νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. ιδ'.
Η' μνήμη αὐτῶν, ἡμέρα Δευτ.

## ΠΑΣΧΑΛΙΟΝ

ΤΟΥ ΕΤΟΥΣ.

### 1854. ᾳωνδ'. ᾠξβ'.

Ἰνδικτιῶνος ιβ'.
Ἡλίου Κύκλοι κς'.
Σελήνης Κύκλοι ϑ'.
Θεμέλιον Σελήνης ιβ'.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Πέμπ.
Κρεωφαγία, ἡμέραι νβ'.
Τὸ Τριῳδιον ἄρχεται, Φεβρουαρίου λά.
Εὠθινὸν ά. Ἦχος ά.
Η' Ἀποκρέα, Φεβρουαρίου ιδ'.
Τοῦ Εὐαγγ. τῇ Πέμ. τῆς έ. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου δ'.
Λατίνων Πάσχα, Ἀπριλίου δ'.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου ιά.
Τῆς Ἀναλήψεως, Μαΐου κ'.
Τῆς Πεντηκοστῆς, Μαΐου λ'.
Τῶν Ἁγίων Πάντων, Ἰουνίου ς'.
Η' νηστεία τῶν ἁγ. Ἀποστ. ἡμ. κβ'.
Η' μνήμη αὐτῶν, ἡμέρα Τρίτη.

## ΠΑΣΧΑΛΙΟΝ

ΤΟΥ ΕΤΟΥΣ.

### 1855. ᾳωνέ. ᾠξγ'.

Ἰνδικτιῶνος ιγ'.
Ἡλίου Κύκλοι κζ'.
Σελήνης Κύκλοι ί.
Θεμέλιον Σελήνης κγ'.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Παρασ.
Κρεωφαγία, ἡμέραι λζ'.
Τὸ Τριῳδιον ἄρχεται, Ἰανουαρίου ις'.
Εὠθινὸν ιά. Ἦχος πλ. δ'.
Η' Ἀποκρέα, Ἰανουαρίου λ'.
Τοῦ Εὐαγγ. τῇ ἁγ. καὶ μεγάλῃ Παρασ.
Νομικὸν Φάσκα, Μαρτίου κδ'.
Λατίνων Πάσχα, Μαρτίου κζ'.
Τὸ Ἅγιον Πάσχα, Μαρτίου κζ'.
Τῆς Ἀναλήψεως, Μαΐου έ.
Τῆς Πεντηκοστῆς, Μαΐου ιέ.
Τῶν Ἁγίων Πάντων, Μαΐου κβ'.
Η' νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. λζ'.
Η' μνήμη αὐτῶν, ἡμέρα Τετ.

## ΠΑΣΧΑΛΙΟΝ

ΤΟΥ ΕΤΟΥΣ.

### 1856. ᾳωνς'. ᾠξδ'. Βίσεκτος.

Ἰνδικτιῶνος ιδ'.
Ἡλίου Κύκλοι κή.
Σελήνης Κύκλοι ιά.
Θεμέλιον Σελήνης δ'.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Σαββ.
Κρεωφαγία, ἡμέραι νζ'.
Τὸ Τριῳδιον ἄρχεται Φεβρουαρίου έ.
Εὠθινὸν έ. Ἦχος πλ. ά.
Η' Ἀποκρέα, Φεβρουαρίου ιϑ'.
Τοῦ Εὐαγγ. τῇ Κυρ. τῆς έ. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου ιβ'.
Λατίνων Πάσχα, Μαρτίου ιά.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου ιέ.
Τῆς Ἀναλήψεως, Μαΐου κδ'.
Τῆς Πεντηκοστῆς Ἰουνίου η'.
Τῶν Ἁγίων Πάντων, Ἰουνίου ί.
Η' νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. ιή.
Η' μνήμη αὐτῶν, ἡμέρα Παρασ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Αποθετήριο Κεντρική Βιβλιοθήκη Δημοσίου - Ιονίων Νήσων

## ΠΑΣΧΑΛΙΟΝ

ΤΟΥ ΕΤΟΥΣ.

1857. ϡωνζ'. ϡτξέ.

Ἰνδικτιῶνος ιέ.
Ἡλίου Κύκλοι ά.
Σελήνης Κύκλοι ιβ'.
Θεμέλιον Σελήνης ιέ.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Δευτ.
Κρεωφαγία, ἡμέραι μή.
Τὸ Τριῴδιον ἄρχεται Ἰανουαρίου κζ'.
Εὠθινὸν ά. Ἦχος ά.
Ἡ Ἀποκρέα, Φεβρουαρίου ί.
Τοῦ Εὐαγγ. τῇ Δευτ. τῆς ς'. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου ά.
Λατίνων Πάσχα, Μαρτίου λά.
Τὸ Ἅγιον Πάσχα Ἀπριλίου ζ'.
Τῆς Ἀναλήψεως, Μαΐου ις'.
Τῆς Πεντηκοστῆς, Μαΐου κς'.
Τῶν Ἁγίων Πάντων, Ἰουνίου β'.
Ἡ νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. κς'.
Ἡ μνήμη αὐτῶν, ἡμέρᾳ Σαββ.

## ΠΑΣΧΑΛΙΟΝ

ΤΟΥ ΕΤΟΥΣ.

1858. ϡωνή. ϡτξς'.

Ἰνδικτιῶνος ά.
Ἡλίου Κύκλοι β'.
Σελήνης Κύκλοι ιγ'.
Θεμέλιον Σελήνης κς'.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Τρίτη.
Κρεωφαγία, ἡμέραι λγ'.
Τὸ Τριῴδιον ἄρχεται Ἰανουαρίου ιβ'.
Εὠθινὸν ιά. Ἦχος πλ. δ'.
Ἡ Ἀποκρέα, Φεβρουαρίου ή.
Τοῦ Εὐαγγ. τῇ Τρίτῃ τῆς Διακαινησίμου.
Νομικὸν Φάσκα, Μαρτίου κά.
Λατίνων Πάσχα, Μαρτίου κγ'.
Τὸ Ἅγιον Πάσχα, Μαρτίου κγ'.
Τῆς Ἀναλήψεως, Μαΐου ά.
Τῆς Πεντηκοστῆς, Μαΐου ιά.
Τῶν Ἁγίων Πάντων, Μαΐου ιή.
Ἡ νηστεία τῶν ἁγ. Ἀποστ. ἡμ. μά.
Ἡ μνήμη αὐτῶν, ἡμέρᾳ Κυρ.

## ΠΑΣΧΑΛΙΟΝ

ΤΟΥ ΕΤΟΥΣ.

1859. ϡωνθ'. ϡτξζ'.

Ἰνδικτιῶνος β'.
Ἡλίου Κύκλοι γ'.
Σελήνης Κύκλοι ιδ'.
Θεμέλιον Σελήνης γ'.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Τετ.
Κρεωφαγία, ἡμέραι νγ'.
Τὸ Τριῴδιον ἄρχεται Φεβρουαρίου ά.
Εὠθινὸν έ. Ἦχος πλ. ά.
Ἡ Ἀποκρέα, Φεβρουαρίου ιέ.
Τοῦ Εὐαγγ. τῇ Τετ. τῆς έ. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου θ'.
Λατίνων Πάσχα, Ἀπριλίου ιβ'.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου ιβ'.
Τῆς Ἀναλήψεως, Μαΐου κά.
Τῆς Πεντηκοστῆς Μαΐου λά.
Τῶν Ἁγίων Πάντων, Ἰουνίου ζ'.
Ἡ νηστεία τῶν ἁγ. Ἀποστ. ἡμ. κδ'.
Ἡ μνήμη αὐτῶν ἡμέρᾳ Δευτ.

## ΠΑΣΧΑΛΙΟΝ

ΤΟΥ ΕΤΟΥΣ.

1860. ϡωξ'. ϡτξή. Βίσεκτος.

Ἰνδικτιῶνος γ'.
Ἡλίου Κύκλοι δ'.
Σελήνης Κύκλοι ιέ.
Θεμέλιον Σελήνης ιή.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Πέμ.
Κρεωφαγία, ἡμέραι μέ.
Τὸ Τριῴδιον ἄρχεται Ἰανουαρίου κδ'.
Εὠθινὸν ά. Ἦχος ά.
Ἡ Ἀποκρέα, Φεβρουαρίου ζ'.
Τοῦ Εὐαγγ. τῇ Παρ. τῆς ς'. Ἑβδομ.
Νομικὸν Φάσκα, Μαρτίου κθ'.
Λατίνων Πάσχα, Μαρτίου κζ'.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου γ'.
Τῆς Ἀναλήψεως, Μαΐου ιβ'.
Τῆς Πεντηκοστῆς, Μαΐου κβ'.
Τῶν Ἁγίων Πάντων, Μαΐου κθ'.
Ἡ νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. λ'.
Ἡ μνήμη αὐτῶν, ἡμέρᾳ Τετ.

ΑΠΟΣΙΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Εθνική Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπογράφων Κεφαλλήνων

## ΠΑΣΧΑΛΙΟΝ
### ΤΟΥ ΕΤΟΥΣ.
### 1861. ᾳωξά. ζτξϑ'.

Ἰνδικτιῶνος δ'.
Ἡλίου Κύκλοι έ.
Σελήνης Κύκλοι ις'.
Θεμέλιον Σελήνης κϑ'.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Σαββ.
Κρεωφαγία, ἡμέραι ξδ'.
Τὸ Τριῴδιον ἄρχεται Φεβρουαρίου ιβ'.
Εὠθινὸν έ. Ἦχος πλ. ά.
Η' Ἀποκρέα, Φεβρουαρίου κς'.
Τοῦ Εὐαγγ. τῷ Σαββ. τῆς γ'. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου ιζ'.
Λατίνων Πάσχα, Μαρτίου ιϑ'.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου κγ'.
Τῆς Ἀναλήψεως, Ἰουνίου ά.
Τῆς Πεντηκοστῆς, Ἰουνίου ια.
Τῶν Ἁγίων Πάντων Ἰουνίου ιή.
Η' νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. έ.
Η' μνήμη αὐτῶν ἡμέρᾳ Πέμ.

## ΠΑΣΧΑΛΙΟΝ
### ΤΟΥ ΕΤΟΥΣ.
### 1862. ᾳωξβ'. ζτό.

Ἰνδικτιῶνος έ.
Ἡλίου Κύκλοι ς'.
Σελήνης Κύκλοι ιζ.
Θεμέλιον Σελήνης ί.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Κυρ.
Κρεωφαγία. ἡμέραι μϑ'.
Τὸ Τριῴδιον ἄρχεται Ἰανουαρίου κή.
Εὠθινὸν ια. Ἦχος πλ. δ'.
Η' Ἀποκρέα, Φεβρουαρίου ια.
Τοῦ Εὐαγγ. τῇ Κυρ. τῆς έ. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου έ.
Λατίνων Πάσχα, Ἀπριλίου ή.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου ή.
Τῆς Ἀναλήψεως, Μαΐου ιζ'.
Τῆς Πεντηκοστῆς, Μαΐου κζ'.
Τῶν Ἁγίων Πάντων, Ἰουνίου ή.
Η' νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. κέ.
Η' μνήμη αὐτῶν ἡμέρᾳ Παρ.

## ΠΑΣΧΑΛΙΟΝ
### ΤΟΥ ΕΤΟΥΣ.
### 1863. ᾳωξγ'. ζτοά.

Ἰνδικτιῶνος ς'.
Ἡλίου Κύκλοι ζ.
Σελήνης Κύκλοι ιή.
Θεμέλιον Σελήνης κά.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Δευτ.
Κρεωφαγία, ἡμέραι μά.
Τὸ Τριῴδιον ἄρχεται Ἰανουαρίου κ.
Εὠθινὸν α. Ἦχος ά.
Η' Ἀποκρέα, Φεβρουαρίου γ'.
Τοῦ Εὐαγγ. τῇ ἁγίᾳ, καὶ μεγ. Δευτ.
Νομικὸν Φάσκα, Μαρτίου κέ.
Λατίνων Πάσχα, Μαρτίου κϑ.
Τὸ Ἅγιον Πάσχα, Μαρτίου λά.
Τῆς Ἀναλήψεως, Μαΐου ϑ'.
Τῆς Πεντηκοστῆς, Μαΐου ιϑ'.
Τῶν Ἁγίων Πάντων, Μαΐου κς'.
Η' νηστεία τῶν ἁγ. Ἀποστ. ἡμ. λγ'.
Η' μνήμη αὐτῶν, ἡμέρᾳ Σαβ.

## ΠΑΣΧΑΛΙΟΝ
### ΤΟΥ ΕΤΟΥΣ.
### 1864. ᾳωξδ'. ζτοβ'. Βίσεκτο

Ἰνδικτιῶνος ζ.
Ἡλίου Κύκλοι ή.
Σελήνης Κύκλοι ιϑ'.
Θεμέλιον Σελήνης β'.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Τρίτ.
Κρεωφαγία, ἡμέραι ξά.
Τὸ Τριῴδιον ἄρχεται Φεβρουαρίου ϑ'.
Εὠθινὸν έ. Ἦχος πλ. ά.
Η' Ἀποκρέα, Φεβρουαρίου κγ'.
Τοῦ Εὐαγγ. τῇ Τετ. τῆς δ'. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου ιγ'.
Λατίνων Πάσχα, Μαρτίου ιέ.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου ιϑ'.
Τῆς Ἀναλήψεως, Μαΐου κή.
Τῆς Πεντηκοστῆς Ἰουνίου ζ.
Τῶν Ἁγίων Πάντων, Ἰουνίου ιδ'.
Η' νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. ιδ'.
Η' μνήμη αὐτῶν, ἡμέρᾳ Δευτ.

ΔΗΜΟΣΙΕΥΣΗ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ψηφιακή Βιβλιοθήκη Θεόδοσίου - Κυριακή Τσιλιμπάρδου - Ιδρυμα Τριανταφυλλίδη

## ΠΑΣΧΑΛΙΟΝ

ΤΟΥ ΕΤΟΥΣ.

1865. ϡωξέ. ϛτογ΄.

Ἰνδικτιῶνος ή.
Ἡλίου Κύκλοι Θ΄.
Σελήνης Κύκλοι ά.
Θεμέλιον Σελήνης ιδ΄.
Παραμονὴ τῶν Χριστουγέν. ήμ. Πέμ.
Κρεωφαγίας ἡμέραι μέ.
Τὸ Τριῴδιον ἄρχεται Ἰανουαρίου κδ΄.
Εὐωδινὸν ιά. Ἦχος πλ. ά.
Η΄ Ἀποκρέα, Φεβρουαρίου ζ΄.
Τοῦ Εὐαγγ. τῇ Πέμ. τῆς ϛ΄. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου β΄.
Λατίνων Πάσχα, Ἀπριλίου δ΄.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου ϑ΄.
Τῆς Ἀναλήψεως, Μαΐου ιγ΄.
Τῆς Πεντηκοστῆς, Μαΐου κγ΄.
Τῶν Ἁγίων Πάντων, Μαΐου λ΄.
Η΄ νηστεία τῶν Ἁγίων Ἀποστ. ἡμ. κϑ΄.
Η΄ μνήμη αὐτῶν, ἡμέρᾳ Τρίτ.

## ΠΑΣΧΑΛΙΟΝ

ΤΟΥ ΕΤΟΥΣ.

1866. ϡωξϛ΄. ϛτοϑ΄.

Ἰνδικτιῶνος Θ΄.
Ἡλίου Κύκλοι ί.
Σελήνης Κύκλοι β΄.
Θεμέλιον Σελήνης κέ.
Παραμονὴ τῶν Χριστουγέν. ήμ. Παρ.
Κρεωφαγία, ἡμέραι λζ΄.
Τὸ Τριῴδιον ἄρχεται Ἰανουαρίου ϛ΄.
Εὐωδινὸν ά. Ἦχος ά.
Η΄ Ἀποκρέα, Ἰανουαρίου λ΄.
Τοῦ Εὐαγγ. τῇ ἁγ. καὶ μεγάλῃ Παρασ.
Νομικὸν Φάσκα, Μαρτίου κβ΄.
Λατίνων Πάσχα, Μαρτίου κ΄.
Τὸ Ἅγιον Πάσχα, Μαρτίου κζ΄.
Τῆς Ἀναλήψεως, Μαΐου έ.
Τῆς Πεντηκοστῆς, Μαΐου ιέ.
Τῶν Ἁγίων Πάντων, Μαΐου κβ΄.
Η΄ νηστεία τῶν ἁγ. Ἀποστ. ἡμ. λζ΄.
Η΄ μνήμη αὐτῶν, ἡμέρᾳ Τετ.

## ΗΑΣΧΑΛΙΟΝ

ΤΟΥ ΕΤΟΥΣ.

1867. ϡωξζ΄. ϛτοέ.

Ἰνδικτιῶνος ί.
Ἡλίου Κύκλοι ιά.
Σελήνης Κύκλοι γ΄.
Θεμέλιον Σελήνης ϛ΄.
Παραμονὴ τῶν Χριστουγέν. ήμ. Σαββ.
Κρεωφαγία, ἡμέραι νζ΄.
Τὸ Τριῴδιον ἄρχεται, Φεβρουαρίου έ.
Εὐωδινὸν έ. Ἦχος πλ. ά.
Η΄ Ἀποκρέα, Φεβρουαρίου ιϑ΄.
Τοῦ Εὐαγγ. τῷ Σαββ. τῆς δ΄. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου ί.
Λατίνων Πάσχα, Ἀπριλίου Θ΄.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου ιϛ΄.
Τῆς Ἀναλήψεως, Μαΐου κέ.
Τῆς Πεντηκοστῆς, Ἰουνίου δ΄.
Τῶν Ἁγίων Πάντων, Ἰουνίου ιά.
Η΄ νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. ιζ΄.
Η΄ μνήμη αὐτῶν, ἡμέρᾳ Πέμ.

## ΠΑΣΧΑΛΙΟΝ

ΤΟΥ ΕΤΟΥΣ.

1868. ϡωξή. ϛτος΄. Βίσεκτος.

Ἰνδικτιῶνος ιά.
Ἡλίου Κύκλοι ιβ΄.
Σελήνης Κύκλοι δ΄.
Θεμέλιον Σελήνης ιζ΄.
Παραμονὴ τῶν Χριστουγέν. ήμ. Κυρ.
Κρεωφαγία, ἡμέραι μβ΄.
Τὸ Τριῴδιον ἄρχεται Ἰανουαρίου κά.
Εὐωδινὸν ιά. Ἦχος πλ. δ΄.
Η΄ Ἀποκρέα, Φεβρουαρίου δ΄.
Τοῦ Εὐαγγ. τῇ ἁγία καὶ μεγ. Δευτ.
Νομικὸν Φάσκα, Μαρτίου λ΄.
Λατίνων Πάσχα, Μαρτίου λά.
Τὸ Ἅγιον Πάσχα, Μαρτίου λά.
Τῆς Ἀναλήψεως, Μαΐου Θ΄.
Τῆς Πεντηκοστῆς, Μαΐου ιϑ΄.
Τῶν Ἁγίων Πάντων, Μαΐου κς΄.
Η΄ νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. λγ΄.
Η΄ μνήμη αὐτῶν, ἡμέρᾳ Σαββ.

ΑΠΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσιο Κεντρικό Βιβλιοθηκή Λήξουριου - Μουσείο Τυπλάνων Ιακώβατου

## ΠΑΣΧΑΛΙΟΝ

ΤΟΥ ΕΤΟΥΣ.

1869. ᾳ̠ώξθ'. ζτοζ'.

Ἰνδικτιῶνος ιβ'.
Ἡλίου Κύκλοι ιγ'.
Σελήνης Κύκλοι έ.
Θεμέλιον Σελήνης κή.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Τρ.
Κρεωφαγία, ἡμέραι ξά.
Τὸ Τριῴδιον ἄρχεται Φεβρουαρίου θ'.
Εὠθινόν έ. Ἦχος πλ. ά.
Ἡ Ἀποκρέα, Φεβρουαρίου κγ'.
Τοῦ Εὐαγγ. τῇ Τρ. τῆς δ'. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου ιή.
Λατίνων Πάσχα, Μαρτίου ις'.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου κ'.
Τῆς Ἀναλήψεως, Μαΐου κθ'.
Τῆς Πεντηκοστῆς, Ἰουνίου ή.
Τῶν Ἁγίων Πάντων, Ἰουνίου ιέ.
Ἡ νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. ιγ'.
Ἡ μνήμη αὐτῶν, ἡμέρᾳ Κυρ.

## ΠΑΣΧΑΛΙΟΝ

ΤΟΥ ΕΤΟΥΣ.

1870. ᾳ̠ώό. ζτοή.

Ἰνδικτιῶνος ιγ'.
Ἡλίου Κύκλοι ιδ'.
Σελήνης Κύκλοι ς'.
Θεμέλιον Σελήνης θ'.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Τετ.
Κρεωφαγία, ἡμέραι νγ'.
Τὸ Τριῴδιον ἄρχεται Φεβρουαρίου ά.
Εὠθινόν ά. Ἦχος ά.
Ἡ Ἀποκρέα, Φεβρουαρίου ιέ.
Τοῦ Εὐαγγ. τῇ Τετ. τῆς έ. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου ζ'.
Λατίνων Πάσχα, Ἀπριλίου ιέ.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου ιβ.
Τῆς Ἀναλήψεως, Μαΐου κά.
Τῆς Πεντηκοστῆς, Μαΐου λά.
Τῶν Ἁγίων Πάντων, Ἰουνίου ζ'.
Ἡ νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. κά.
Ἡ μνήμη αὐτῶν, ἡμέρᾳ Δευτ.

## ΠΑΣΧΑΛΙΟΝ

ΤΟΥ ΕΤΟΥΣ.

1871. ᾳ̠ωοά. ζτοθ'.

Ἰνδικτιῶνος ιδ'.
Ἡλίου Κύκλοι ιέ.
Σελήνης Κύκλοι ζ'.
Θεμέλιον Σελήνης κ'.
Παραμ. τῶν Χριστουγέν. ἡμ. Πέμ.
Κρεωφαγία, ἡμέραι λή.
Τὸ Τριῴδιον ἄρχεται Ἰανουαρίου ιζ'.
Εὠθινόν ιά. Ἦχος πλ. δ'.
Ἡ Ἀποκρέα Φεβρουαρίου λά.
Τοῦ Εὐαγγ. τῇ ἁγ. καὶ μεγ. Πέμ.
Νομικὸν Φάσκα, Μαρτίου κζ'.
Λατίνων Πάσχα, Μαρτίου κή.
Τὸ Ἅγιον Πάσχα, Μαρτίου κή.
Τῆς Ἀναλήψεως, Μαΐου ς'.
Τῆς Πεντηκοστῆς, Μαΐου ις'.
Τῶν Ἁγίων Πάντων, Μαΐου κγ'.
Ἡ νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. λς'.
Ἡ μνήμη αὐτῶν, ἡμέρᾳ Τρίτῃ.

## ΠΑΣΧΑΛΙΟΝ

ΤΟΥ ΕΤΟΥΣ.

1872. ᾳ̠ωοβ'. ζτπ'. Βίσεκτος.

Ἰνδικτιῶνος ιέ.
Ἡλίου Κύκλοι ις'.
Σελήνης Κύκλοι ή.
Θεμέλιον Σελήνης ά.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Παρ.
Κρεωφαγία, ἡμέραι νή.
Τὸ Τριῴδιον ἄρχεται, Φεβρουαρίου ς'.
Εὠθινόν δ'. Ἦχος δ'.
Ἡ Ἀποκρέα, Φεβρουαρίου κ'.
Τοῦ Εὐαγγ. τῇ Παρ. τῆς δ'. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου ιέ.
Λατίνων Πάσχα, Μαρτίου ιθ'.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου ις'.
Τῆς Ἀναλήψεως, Μαΐου κέ.
Τῆς Πεντηκοστῆς, Ἰουνίου δ'.
Τῶν Ἁγίων Πάντων, Ἰουνίου ιά.
Ἡ νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. ιζ'.
Ἡ μνήμη αὐτῶν, ἡμέρᾳ Πέμ.

ΣΗΜΕΙΩΣΕΙΣ ΒΙΒΛΙΟΣΤΑΣΙΕΣ
Δημοσία Κεντρική Βιβλιοθήκη Μακεδονικού Σπουδών Ιδρύματος

## ΠΑΣΧΑΛΙΟΝ
ΤΟΥ ΕΤΟΥΣ.

1873. αωογ'. ζτπά.

Ἰνδικτιῶνος ά.
Ἡλίου Κύκλοι ιζ.
Σελήνης Κύκλοι Θ'.
Θεμέλιον Σελήνης ιβ'.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Κυρ.
Κρεωφαγία, ἡμέραι μΘ'.
Τὸ Τριῴδιον ἄρχεται, Ἰανουαρίου κή.
Εὠθινὸν ά. Ἦχος ά.
Η' Ἀποκρέα, Φεβρουαρίου ιά.
Τοῦ Εὐαγγ. τῇ Κυρ. τῆς έ. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου δ'.
Λατίνων Πάσχα, Ἀπριλίου ά.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου ή.
Τῆς Ἀναλήψεως, Μαΐου ιζ'.
Τῆς Πεντηκοστῆς Μαΐου κζ.
Τῶν Ἁγίων Πάντων, Ἰουνίου γ'.
Η' νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. κέ.
Η' μνήμη αὐτῶν, ἡμέρᾳ Παρ.

## ΠΑΣΧΑΛΙΟΝ
ΤΟΥ ΕΤΟΥΣ.

1874. αωοδ'. ζτπβ'.

Ἰνδικτιῶνος β'.
Ἡλίου Κύκλοι ιή.
Σελήνης Κύκλοι ι'.
Θεμέλιον Σελήνης κγ'.
Παραμ. τῶν Χριστουγέν. ἡμ. Δευτ.
Κρεωφαγία, ἡμέραι μά.
Τὸ Τριῴδιον ἄρχεται, Ἰανουαρίου κ'.
Εὠθινὸν ά. Ἦχος ά.
Η' Ἀποκρέα, Φεβρουαρίου γ'.
Τοῦ Εὐαγγ. τῇ ἁγ. καὶ μεγ. Δευτ.
Νομικὸν Φάσκα, Μαρτίου κδ'.
Λατίνων Πάσχα, Μαρτίου κδ'.
Τὸ Ἅγιον Πάσχα, Μαρτίου λά.
Τῆς Ἀναλήψεως, Μαΐου Θ'.
Τῆς Πεντηκοστῆς, Μαΐου ιΘ'.
Τῶν Ἁγίων Πάντων, Μαΐου κς'.
Η' νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. λγ'.
Η' μνήμη αὐτῶν, ἡμέρᾳ Σαβ.

## ΠΑΣΧΑΛΙΟΝ
ΤΟΥ ΕΤΟΥΣ.

1875. αωοέ. ζτπγ'.

Ἰνδικτιῶνος γ'.
Ἡλίου Κύκλοι ιΘ'.
Σελήνης Κύκλοι ιά.
Θεμέλιον Σελήνης δ'.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Τρίτη.
Κρεωφαγία, ἡμέραι μδ'.
Τὸ Τριῴδιον ἄρχεται, Φεβρουαρίου β'.
Εὠθινὸν δ'. Ἦχος δ'.
Η' Ἀποκρέα, Φεβρουαρίου ις'.
Τοῦ Εὐαγγ. τῇ Τρίτ. τῆς έ. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου ιβ'.
Λατίνων Πάσχα, Μαρτίου ις'.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου ιγ'.
Τῆς Ἀναλήψεως, Μαΐου κβ'.
Τῆς Πεντηκοστῆς, Ἰουνίου ά.
Τῶν Ἁγίων Πάντων, Ἰουνίου ή.
Η' νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. κ'.
Η' μνήμη αὐτῶν, ἡμέρᾳ. Κυρ.

## ΠΑΣΧΑΛΙΟΝ
ΤΟΥ ΕΤΟΥΣ.

1876. αωος'. ζτπδ'. Βίσεκτος.

Ἰνδικτιῶνος δ'.
Ἡλίου Κύκλοι κ'.
Σελήνης Κύκλοι ιβ'.
Θεμέλιον Σελήνης ιέ.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Τετ.
Κρεωφαγία, ἡμέραι μς'.
Τὸ Τριῴδιον ἄρχεται, Ἰανουαρίου κέ.
Εὠθινὸν ιά. Ἦχος πλ. δ'.
Η' Ἀποκρέα, Φεβρουαρίου ή.
Τοῦ Εὐαγγ. τῇ Πέμπ. τῆς ς'. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου ά.
Λατίνων Πάσχα, Ἀπριλίου δ'.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου δ'.
Τῆς Ἀναλήψεως, Μαΐου ιγ'.
Τῆς Πεντηκοστῆς, Μαΐου, κγ'.
Τῶν Ἁγίων Πάντων, Μαΐου λ'.
Η' νηστεία τῶν ἁγ. Ἀποστ. ἡμ. κΘ'.
Η' μνήμη αὐτῶν, ἡμέρᾳ Τρίτη.

ΑΠΟΘΕΣΕΙΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Απορρία Κεντρική Βιβλιοθήκη Ξουρίου - Ιονίου Πανεπιστημίου

## ΠΑΣΧΑΛΙΟΝ
ΤΟΥ ΕΤΟΥΣ.
**1877. ᾳωοζ'. ζτπέ.**

Ἰνδικτιῶνος ἰ.
Ἡλίου Κύκλοι κά.
Σελήνης Κύκλοι ιγ'.
Θεμέλιον Σελήνης κϛ'.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Παρ.
Κρεωφαγία, ἡμέραι λζ'.
Τὸ Τριῳδιον ἄρχεται, Ἰαγουαρίου ιϛ'.
Εὠθινὸν ά. Ἦχος ά.
Η' Ἀποκρέα, Ἰανουαρίου λ'.
Τοῦ Εὐαγγ. τῇ ἁγία καὶ μεγάλῃ Παρ.
Νομικὸν Φάσκα, Μαρτίου κά.
Λατίνων Πάσχα, Μαρτίου κ'.
Τὸ Ἅγιον Πάσχα, Μαρτίου κζ.
Τῆς Ἀναλήψεως, Μαΐου έ.
Τῆς Πεντηκοστῆς, Μαΐου ιέ.
Τῶν Ἁγίων Πάντων, Μαΐου κβ'.
Η' νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. λζ'.
Η' μνήμη αὐτῶν, ἡμ. Τετ.

## ΠΑΣΧΑΛΙΟΝ
ΤΟΥ ΕΤΟΥΣ.
**1878. ᾳωοή. ζτπϛ'.**

Ἰνδικτιῶνος ϛ'.
Ἡλίου Κύκλοι κβ'.
Σελήνης Κύκλοι ιδ'.
Θεμέλιον Σελήνης ζ.
Παραμονὴ τῶν Χριστουγέν. ἡμέρα Σαβ.
Κρεωφαγία, ἡμέραι νζ'.
Τὸ Τριῳδιον ἄρχεται, Φεβρουαρίου έ.
Εὠθινὸν έ. Ἦχος πλ. ά.
Η' Ἀποκρέα, Φεβρουαρίου ιϑ'.
Τοῦ Εὐαγγ. τῷ Σαβ. τῆς δ'. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου ϑ'.
Λατίνων Πάσχα, Ἀπριλίου ϑ'.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου ιϛ'.
Τῆς Ἀναλήψεως, Μαΐου κέ.
Τῆς Πεντηκοστῆς, Ἰουνίου ϑ'.
Τῶν Ἁγίων Πάντων, Ἰουνίου ά.
Η' νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. ιζ'.
Η' μνήμη αὐτῶν, ἡμέρα Πέμ.

## ΠΑΣΧΑΛΙΟΝ
ΤΟΥ ΕΤΟΥΣ
**1879. ᾳωοϑ'. ζτπζ'.**

Ἰνδικτιῶνος ζ'.
Ἡλίου Κύκλοι κγ'.
Σελήνης Κύκλοι ιέ.
Θεμέλιον Σελήνης ιή.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Κυρ.
Κρεωφαγία, ἡμέραι μβ'.
Τὸ Τριῳδιον ἄρχεται, Ἰανουαρίου κά.
Εὠθινὸν ιά. Ἦχος πλ. δ'.
Η' Ἀποκρέα, Φεβρουαρίου δ'.
Τοῦ Εὐαγγ. τῇ Κυρ. τῶν Βαΐων.
Νομικὸν Φάσκα, Μαρτίου κϑ'.
Λατίνων Πάσχα, Ἀπριλίου ά.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου ά.
Τῆς Ἀναλήψεως, Μαΐου ί.
Τῆς Πεντηκοστῆς, Μαΐου κ'.
Τῶν Ἁγίων Πάντων, Μαΐου κζ'.
Η' νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. λβ'.
Η' μνήμη αὐτῶν, ἡμέρα Παρ.

## ΠΑΣΧΑΛΙΟΝ
ΤΟΥ ΕΤΟΥΣ.
**1880. ᾳωπ'. ζτπή. Βίσεκτος.**

Ἰνδικτιῶνος ή.
Ἡλίου Κύκλοι κδ'.
Σελήνης Κύκλοι ιϛ'.
Θεμέλιον Σελήνης κϑ'.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Δευτ.
Κρεωφαγία, ἡμέραι ξβ'.
Τὸ Τριῳδιον ἄρχεται, Φεβρουαρίου ί.
Εὠθινὸν έ. Ἦχος πλ. ά.
Η' Ἀποκρέα, Φεβρουαρίου κδ'.
Τοῦ Εὐαγγ. τῇ Τρίτ. τῆς δ'. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου ιζ'.
Λατίνων Πάσχα, Μαρτίου ιϛ'.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου κ'.
Τῆς Ἀναλήψεως, Μαΐου κϑ'.
Τῆς Πεντηκοστῆς, Ἰουνίου ή.
Τῶν Ἁγίων Πάντων, Ἰουνίου ιέ.
Η' νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. ιγ'.
Η' μνήμη αὐτῶν, ἡμέρᾳ Κυριακῇ.

ΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Αρκαδίου
Μουσείο Παραδόσεων

## ΠΑΣΧΑΛΙΟΝ

ΤΟΥ ΕΤΟΥΣ

1881. ϡωπά. ϛτπϑ'.

Ἰνδικτιῶνος ϑ'.
Ἡλίου Κύκλοι κέ.
Σελήνης Κύκλοι ιϛ'.
Θεμέλιον Σελήνης ί.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Τετ.
Κρεωφαγία, ἡμέραι νγ'.
Τὸ Τριῴδιον ἄρχεται Φεβρουαρίου ά.
Εὠθινὸν ά. Ἦχος ά.
Ἡ Ἀποκρέα, Φεβρουαρίου ιέ.
Τοῦ Εὐαγγ. τῇ Τετ. τῆς έ. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου έ.
Λατίνων Πάσχα, Ἀπριλίου ί.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου ιβ'.
Τῆς Ἀναλήψεως, Μαΐου κά.
Τῆς Πεντηκοστῆς, Μαΐου λά.
Τῶν Ἁγίων Πάντων Ἰουνίου ζ.
Ἡ νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. κά.
Ἡ μνήμη αὐτῶν ἡμέρᾳ Δευτ.

## ΠΑΣΧΑΛΙΟΝ

ΤΟΥ ΕΤΟΥΣ

1882. ϡωπβ'. ζτή.

Ἰνδικτιῶνος ί'.
Ἡλίου Κύκλοι κϛ'.
Σελήνης Κύκλοι ιή.
Θεμέλιον Σελήνης κά.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Πέμπ.
Κρεωφαγία, ἡμέραι λή.
Τὸ Τριῴδιον ἄρχεται Ἰανουαρίου ιζ'.
Εὠθινὸν ά. Ἦχος ά.
Ἡ Ἀποκρέα, Ἰανουαρίου λά.
Τοῦ Εὐαγγ. τῇ ἁγίᾳ καὶ μεγ. Πέμπ.
Νομικὸν Φάσκα, Μαρτίου κέ.
Λατίνων Πάσχα, Μαρτίου κή.
Τὸ Ἅγιον Πάσχα, Μαρτίου κή.
Τῆς Ἀναλήψεως, Μαΐου ϛ'.
Τῆς Πεντηκοστῆς, Μαΐου ιϛ'.
Τῶν Ἁγίων Πάντων, Μαΐου κή.
Ἡ νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. λϛ'.
Ἡ μνήμη αὐτῶν ἡμέρᾳ Τρίτῃ.

## ΠΑΣΧΑΛΙΟΝ

ΤΟΥ ΕΤΟΥΣ

1883. ϡωπγ'. ζτυά.

Ἰνδικτιῶνος ιά.
Ἡλίου Κύκλοι κζ'.
Σελήνης Κύκλοι ιϑ'.
Θεμέλιον Σελήνης β'.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Παρ.
Κρεωφαγία, ἡμέραι νή.
Τὰ Τριῴδιον ἄρχεται Φεβρουαρίου ϛ'.
Εὠθινὸν έ. Ἦχος πλ. ά.
Ἡ Ἀποκρέα, Φεβρουαρίου κ.
Τοῦ Εὐαγγ. τῇ Παρ. τῆς δ'. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου ιγ'.
Λατίνων Πάσχα, Μαρτίου ιγ'.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου ιζ'.
Τῆς Ἀναλήψεως, Μαΐου κϛ'.
Τῆς Πεντηκοστῆς, Ἰουνίου έ.
Τῶν Ἁγίων Πάντων, Ἰουνίου ιβ'.
Ἡ νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. ιϛ'.
Ἡ μνήμη αὐτῶν ἡμέρᾳ Τετ.

## ΠΑΣΧΑΛΙΟΝ

ΤΟΥ ΕΤΟΥΣ

1884. ϡωπδ'. ζτυβ'. Βίσεκτος.

Ἰνδικτιῶνος ιβ'.
Ἡλίου Κύκλοι κή.
Σελήνης Κύκλοι ά.
Θεμέλιον Σελήνης ι.δ'.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Σαβ.
Κρεωφαγία, ἡμέραι ν'.
Τὸ Τριῴδιον ἄρχεται Ἰανουαρίου κϑ'.
Εὠθινὸν ά. Ἦχος ά.
Ἡ Ἀποκρέα, Φεβρουαρίου ιβ'.
Τοῦ Εὐαγγ. τῇ Κυρ. τῆς έ. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου β'.
Λατίνων Πάσχα, Ἀπριλίου ά.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου ά.
Τῆς Ἀναλήψεως, Μαΐου ιζ'.
Τῆς Πεντηκοστῆς, Μαΐου κζ'.
Τῶν Ἁγίων Πάντων, Ἰουνίου γ'.
Ἡ νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. κέ.
Ἡ μνήμη αὐτῶν, ἡμ. Παρ.

ΑΠΟΨΕΙΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Μόνιμα Κέντρα Βιβλιοθήκης Ξουρίου - Μουσείο Τυπογραφίας Ελλάδος

## ΠΑΣΧΑΛΙΟΝ

ΤΟΥ ΕΤΟΥΣ.

1885. ᾳωπέ. ζτγ΄.

Ἰνδικτιῶνος ιγ΄.
Ἡλίου Κύκλοι ά.
Σελήνης Κύκλοι β΄.
Θεμέλιον Σελήνης κέ.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Δευτ.
Κρεωφαγία, ἡμέραι λδ΄.
Τὸ Τριῴδιον ἄρχεται Ἰανουαρίου ιγ΄.
Εὠθινὸν ιά. Ἦχος πλ. δ΄.
Η΄ Ἀποκρέα, Ἰανουαρίου κζ΄.
Τοῦ Εὐαγγ. τῇ Δευτ. τῆς Διακαινης.
Νομικὸν Φάσκα, Μαρτίου κβ΄.
Λατίνων Πάσχα, Μαρτίου κδ΄.
Τὸ Ἅγιον Πάσχα, Μαρτίου κδ΄.
Τῆς Ἀναλήψεως, Μαΐου β΄.
Τῆς Πεντηκοστῆς, Μαΐου ιβ΄.
Τῶν Ἁγίων Πάντων, Μαΐου ιϑ΄.
Η΄ νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. μ΄.
Η΄ μνήμη αὐτῶν, ἡμέρᾳ Σαββ.

## ΠΑΣΧΑΛΙΟΝ

ΤΟΥ ΕΤΟΥΣ.

1886. ᾳωπς΄. ζτγδ΄.

Ἰνδικτιῶνος ιδ΄.
Ἡλίου Κύκλοι β΄.
Σελήνης Κύκλοι γ΄.
Θεμέλιον Σελήνης ς΄.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Τρίτ.
Κρεωφαγία, ἡμέραι νδ΄.
Τὸ Τριῴδιον ἄρχεται Φεβρουαρίου β΄.
Εὠθινὸν έ. Ἦχος πλ. ά.
Η΄ Ἀποκρέα, Φεβρουαρίου ις΄.
Τοῦ Εὐαγγ. τῇ Τρίτῃ τῆς έ. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου ί.
Λατίνων Πάσχα, Ἀπριλίου ιγ΄.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου ιγ΄.
Τῆς Ἀναλήψεως, Μαΐου κβ΄.
Τῆς Πεντηκοστῆς, Ἰουνίου ά.
Τῶν Ἁγίων Πάντων, Ἰουνίου ή.
Η΄ νηστεία τῶν ἁγ. Ἀποστ. ἡμ. κ΄.
Η΄ μνήμη αὐτῶν, ἡμέρᾳ Κυριακῇ.

## ΠΑΣΧΑΛΙΟΝ

ΤΟΥ ΕΤΟΥΣ.

1887. ᾳωπζ΄. ζτγέ.

Ἰνδικτιῶνος ιέ.
Ἡλίου Κύκλοι γ΄.
Σελήνης Κύκλοι δ΄.
Θεμέλιον Σελήνης ιζ΄.
Παραμ. τῶν Χριστουγέν. ἡμ. Τετ.
Κρεωφαγία, ἡμέραι μς΄.
Τὸ Τριῴδιον ἄρχεται Ἰανουαρίου κέ.
Εὠθινὸν ά. Ἦχος ά.
Η΄ Ἀποκρέα Φεβρουαρίου ή.
Τοῦ Εὐαγγ. τῇ Τετ. τῆς ς΄. Ἑβδομ.
Νομικὸν Φάσκα, Μαρτίου λ΄.
Λατίνων Πάσχα, Μαρτίου κϑ΄.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου έ.
Τῆς Ἀναλήψεως, Μαΐου ιϑ΄.
Τῆς Πεντηκοστῆς, Μαΐου κϑ΄.
Τῶν Ἁγίων Πάντων, Μαΐου λά.
Η΄ νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. κή.
Η΄ μνήμη αὐτῶν, ἡμέρᾳ Δευτ.

## ΠΑΣΧΑΛΙΟΝ

ΤΟΥ ΕΤΟΥΣ.

1888. ᾳωπή. ζτγς΄. Βίσεκτος.

Ἰνδικτιῶνος ά.
Ἡλίου Κύκλοι δ΄.
Σελήνης Κύκλοι έ.
Θεμέλιον Σελήνης κή.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Σαββ.
Κρεωφαγία, ἡμέραι ξς΄.
Τὸ Τριῴδιον ἄρχεται Φεβρουαρίου ιϑ΄.
Εὠθινὸν έ. Ἦχος πλ. ά.
Η΄ Ἀποκρέα, Φεβρουαρίου κή.
Τοῦ Εὐαγγ. τῇ Παρ. τῆς γ΄. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου ιή.
Λατίνων Πάσχα, Μαρτίου κ΄.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλιου κο.
Τῆς Ἀναλήψεως, Ἰουνίου β΄.
Τῆς Πεντηκοστῆς, Ἰουνίου ιβ΄.
Τῶν Ἁγίων Πάντων, Ἰουνίου ιϑ΄.
Η΄ νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. ϑ΄.
Η΄ μνήμη αὐτῶν, ἡμέρᾳ Τετ.

ΣΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ιστορικὸ Κεντρικὴ Βιβλιοθήκη Ἀπόστολου - Ἀνδρούτσου

## ΠΑΣΧΑΛΙΟΝ

ΤΟΥ ΕΤΟΥΣ.

1889. ᾳωπϑ'. ζτυζ'.

Ἰνδικτιῶνος β'.
Ἡλίου Κύκλοι έ.
Σελήνης Κύκλοι ϛ'.
Θεμέλιον Σελήνης ϑ'.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Σαββ.
Κρεωφαγία, ἡμέραι ν'.
Τὸ Τριῴδιον ἄρχεται Ἰανουαρίου κϑ'.
Εὠθινὸν ιά. Ἦχος πλ. δ'.
Ἡ Ἀποκρέα, Φεβρουαρίου ιβ'.
Τοῦ Εὐαγγ. τῷ Σαβ. τῆς έ. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου ζ'.
Λατίνων Πάσχα, Ἀπριλίου ϑ'.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου ϑ'.
Τῆς Ἀναλήψεως, Μαΐου ιή.
Τῆς Πεντηκοστῆς, Μαΐου κή.
Τῶν Ἁγίων Πάντων, Ἰουνίου δ'.
Ἡ νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. κδ'.
Ἡ μνήμη αὐτῶν, ἡμέρᾳ Πέμ.

## ΠΑΣΧΑΛΙΟΝ

ΤΟΥ ΕΤΟΥΣ.

1890. ᾳωϙ'. ζτυή.

Ἰνδικτιῶνος γ'.
Ἡλίου Κύκλοι ϛ'.
Σελήνης Κύκλοι ζ'.
Θεμέλιον Σελήνης κ'.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Κυρ.
Κρεωφαγία, ἡμέραι μβ'.
Τὸ Τριῴδιον ἄρχεται Ἰανουαρίου κά.
Εὠθινὸν ά. Ἦχος ά.
Ἡ Ἀποκρέα, Φεβρουαρίου δ'.
Τοῦ Εὐαγγ. τῇ Κυρ. τῶν Βαΐων.
Νομικὸν Φάσκα, Μαρτίου κζ'.
Λατίνων Πάσχα, Μαρτίου κέ.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου ά.
Τῆς Ἀναλήψεως, Μαΐου έ.
Τῆς Πεντηκοστῆς, Μαΐου κ'.
Τῶν Ἁγίων Πάντων Μαΐου κζ'.
Ἡ νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. λβ'.
Ἡ μνήμη αὐτῶν ἡμέρᾳ Παρ.

## ΠΑΣΧΑΛΙΟΝ

ΤΟΥ ΕΤΟΥΣ.

1891. ᾳωϙά. ζτυϑ'.

Ἰνδικτιῶνος δ'.
Ἡλίου Κύκλοι ζ'.
Σελήνης Κύκλοι ή.
Θεμέλιον Σελήνης ά.
Παραμονὴ τῶν Χριστουγέν. ἡμέρᾳ Δευτ.
Κρεωφαγία, ἡμέραι ξβ'.
Τὸ Τριῴδιον ἄρχεται Φεβρουαρίου έ.
Εὠθινὸν έ. Ἦχος πλ. ά.
Ἡ Ἀποκρέα, Φεβρουαρίου κδ'.
Τοῦ Εὐαγγ. τῇ Δευτ. τῆς δ'. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου ιέ.
Λατίνων Πάσχα, Μαρτίου ιζ.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου κά.
Τῆς Ἀναλήψεως, Μαΐου λ'.
Τῆς Πεντηκοστῆς, Ἰουνίου ϑ'.
Τῶν Ἁγίων Πάντων, Ἰουνίου ιϛ'.
Ἡ νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. ιβ'.
Ἡ μνήμη αὐτῶν, ἡμέρᾳ Σαβ.

## ΠΑΣΧΑΛΙΟΝ

ΤΟΥ ΕΤΟΥΣ.

1892. ᾳωγβ'. ζύ. Βίσεκτος.

Ἰνδικτιῶνος έ.
Ἡλίου Κύκλοι ή.
Σελήνης Κύκλοι ϑ'.
Θεμέλιον Σελήνης ιβ'.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Πέμ.
Κρεωφαγία, ἡμέραι μζ'.
Τὸ Τριῴδιον ἄρχεται Ἰανουαρίου κϛ'.
Εὠθινὸν ιά. Ἦχος πλ. δ'.
Ἡ Ἀποκρία, Φεβρουαρίου ϑ'.
Τοῦ Εὐαγγ. τῇ Τετ. τῆς ϛ'. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου δ'.
Λατίνων Πάσχα, Ἀπριλίου έ.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου ϛ'.
Τῆς Ἀναλήψεως, Μαΐου ιδ'.
Τῆς Πεντηκοστῆς, Μαΐου κϑ'.
Τῶν Ἁγίων Πάντων, Μαΐου λά.
Ἡ νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. κή.
Ἡ μνήμη αὐτῶν, ἡμέρᾳ Δευτ.

ΑΠΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Απορρία Κεντρικής Βιβλιοθήκης Κουρίου - Μουσείο Τυπάλων Τυπολογίου

## ΠΑΣΧΑΛΙΟΝ
ΤΟΥ ΕΤΟΥΣ.
1893. ἀωγγ'. ζυά.

Ἰνδικτιῶνος ϛ'.
Ἡλίου Κύκλοι θ'.
Σελήνης Κύκλοι ι'.
Θεμέλιον Σελήνης κγ'.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Πέμ.
Κρεωφαγία, ἡμέραι λή.
Τὸ Τριῴδιον ἄρχεται Ἰανουαρίου ιζ'.
Εὠθινὸν ά. Ἦχος ά.
Ἡ Ἀποκρέα, Ἰανουαρίου λά.
Τοῦ Εὐαγγ. τῇ ἁγ. καὶ μεγ. Πέμ.
Νομικὸν Φάσκα, Μαρτίου κδ'.
Λατίνων Πάσχα, Μαρτίου κά.
Τὸ Ἅγιον Πάσχα, Μαρτίου κή.
Τῆς Ἀναλήψεως, Μαΐου ϛ'.
Τῆς Πεντηκοστῆς, Μαΐου ιϛ'.
Τῶν Ἁγίων Πάντων, Μαΐου κγ'.
Ἡ νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. λϛ'.
Ἡ μνήμη αὐτῶν, ἡμέρᾳ Τρίτ.

## ΠΑΣΧΑΛΙΟΝ
ΤΟΥ ΕΤΟΥΣ.
1894. ἀωγδ'. ζυβ'.

Ἰνδικτιῶνος ζ'.
Ἡλίου Κύκλοι ἐ.
Σελήνης Κύκλοι ιά.
Θεμέλιον Σελήνης δ'.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Παρ.
Κρεωφαγία, ἡμέραι νή.
Τὸ Τριῴδιον ἄρχεται Φεβρουαρίου ϛ'.
Εὠθινὸν έ. Ἦχος πλ. ά.
Ἡ Ἀποκρέα, Φεβρουαρίου κ'.
Τοῦ Εὐαγγ. τῇ Παρ. τῆς δ'. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου ιβ'.
Λατίνων Πάσχα, Μαρτίου ιγ'.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου ιζ.
Τῆς Ἀναλήψεως, Μαΐου κϛ'.
Τῆς Πεντηκοστῆς, Ἰουνίου έ.
Τῶν Ἁγίων Πάντων, Ἰουνίου ιβ'.
Ἡ νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. ιϛ'.
Ἡ μνήμη αὐτῶν, ἡμέρᾳ Τετ.

## ΠΑΣΧΑΛΙΟΝ
ΤΟΥ ΕΤΟΥΣ.
1895. ἀωγε. ζυγ'.

Ἰνδικτιῶνος ή.
Ἡλίου Κύκλοι ιά.
Σελήνης Κύκλοι ιβ'.
Θεμέλιον Σελήνης ιέ.
Παραμ. τῶν Χριστουγέν. ἡμ. Σαβ.
Κρεωφαγία, ἡμέραι μγ'.
Τὸ Τριῴδιον ἄρχεται Ἰανουαρίου κβ'.
Εὠθινὸν ιά. Ἦχος πλ. δ'.
Ἡ Ἀποκρέα Φεβρουαρίου έ.
Τοῦ Εὐαγγ. τῷ Σαβ. τοῦ Λαζάρου.
Νομικὸν Φάσκα, Ἀπριλίου ά.
Λατίνων Πάσχα, Ἀπριλίου β'.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου β'.
Τῆς Ἀναλήψεως, Μαΐου ιά.
Τῆς Πεντηκοστῆς, Μαΐου κά.
Τῶν Ἁγίων Πάντων, Μαΐου κή.
Ἡ νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. λά.
Ἡ μνήμη αὐτῶν, ἡμέρᾳ Πέμ.

## ΠΑΣΧΑΛΙΟΝ
ΤΟΥ ΕΤΟΥΣ.
1896. ἀωϛ'. ζυθ'. Βίσεκτος.

Ἰνδικτιῶνος θ'.
Ἡλίου Κύκλοι ιβ'.
Σελήνης Κύκλοι ιγ'.
Θεμέλιον Σελήνης κϛ'.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Κυρ.
Κρεωφαγία, ἡμέραι λδ'.
Τὸ Τριῴδιον ἄρχεται, Ἰανουαρίου ιδ'.
Εὠθινὸν ά. Ἦχος πλ. δ'.
Ἡ Ἀποκρέα, Ἰανουαρίου κή.
Τοῦ Εὐαγγ. τῇ Δευτ. τῆς Διακαινήσ.
Νομικὸν Φάσκα, Μαρτίου κβ'.
Λατίνων Πάσχα, Μαρτίου κδ'.
Τὸ Ἅγιον Πάσχα, Μαρτίου κδ'.
Τῆς Ἀναλήψεως, Μαΐου β'.
Τῆς Πεντηκοστῆς, Ἰουνίου ιβ'.
Τῶν Ἁγίων Πάντων, Ἰουνίου ιθ'.
Ἡ νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. μ'.
Ἡ μνήμη αὐτῶν, ἡμέρᾳ Σαββ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Κεντρική Βιβλιοθήκη Θεσσαλονίκης - Μουσείο Χειρογράφων Ιλιγκάδων Ιακωβατων

## ΠΑΣΧΑΛΙΟΝ
ΤΟΥ ΕΤΟΥΣ.
1897. ,αωϟζ'. ,ζυέ.

Ἰνδικτιῶνος ί.
Ἡλίου Κύκλοι ιγ'.
Σελήνης Κύκλοι ιδ'.
Θεμέλιον Σελήνης ζ'.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Τρίτη.
Κρεωφαγία, ἡμέραι νδ'.
Τὸ Τριῴδιον ἄρχεται, Φεβρουαρίου β'.
Εὠθινὸν έ. Ἦχος πλ. ά.
Ἡ Ἀποκρέα, Φεβρουαρίου ιϛ'.
Τοῦ Εὐαγγ. τῇ Τρίτ. τῆς έ. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου θ'.
Λατίνων Πάσχα, Μαρτίου ϛ'.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου ιγ'.
Τῆς Ἀναλήψεως, Μαΐου κβ'.
Τῆς Πεντηκοστῆς, Ἰουνίου ά.
Τῶν Ἁγίων Πάντων, Ἰουνίου ή.
Ἡ νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. κ'.
Ἡ μνήμη αὐτῶν, ἡμέρα. Κυρ.

## ΠΑΣΧΑΛΙΟΝ
ΤΟΥ ΕΤΟΥΣ.
1898. ,αωϟή. ,ζυϛ'.

Ἰνδικτιῶνος ιά.
Ἡλίου Κύκλοι ιδ'.
Σελήνης Κύκλοι ιέ.
Θεμέλιον Σελήνης ιή.
Παραμ. τῶν Χριστουγέν. ἡμ. Τετ.
Κρεωφαγία, ἡμέραι μϛ'.
Τὸ Τριῴδιον ἄρχεται, Ἰανουαρίου κέ.
Εὠθινὸν ά. Ἦχος ά.
Ἡ Ἀποκρέα, Φεβρουαρίου ή.
Τοῦ Εὐαγγ. τῇ Τετ. τῆς ϛ'. Ἑβδομ.
Νομικὸν Φάσκα, Μαρτίου κθ'.
Λατίνων Πάσχα, Μαρτίου κθ'.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου έ.
Τῆς Ἀναλήψεως, Μαΐου ιδ'.
Τῆς Πεντηκοστῆς, Μαΐου κδ'.
Τῶν Ἁγίων Πάντων, Μαΐου λά.
Ἡ νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. κή.
Ἡ μνήμη αὐτῶν, ἡμέρα Δευτ.

## ΠΑΣΧΑΛΙΟΝ
ΤΟΥ ΕΤΟΥΣ.
1899. ,αωϟθ'. ,ζυζ'.

Ἰνδικτιῶνος ιβ'.
Ἡλίου Κύκλοι ιέ.
Σελήνης Κύκλοι ιϛ'.
Θεμέλιον Σελήνης κθ'.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Πέμ.
Κρεωφαγία, ἡμέραι νθ'.
Τὸ Τριῴδιον ἄρχεται Φεβρουαρίου ζ'.
Εὠθινὸν δ'. Ἦχος δ'.
Ἡ Ἀποκρέα, Φεβρουαρίου κά.
Τοῦ Εὐαγγ. τῇ Πέμ. τῆς δ'. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου ιζ'.
Λατίνων Πάσχα, Μαρτίου κά.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου ιή.
Τῆς Ἀναλήψεως, Μαΐου κζ'.
Τῆς Πεντηκοστῆς Ἰουνίου ϛ'.
Τῶν Ἁγίων Πάντων, Ἰουνίου ιγ'.
Ἡ νηστεία τῶν ἁγίων Ἀποστ. ἡμ. ιέ.
Ἡ μνήμη αὐτῶν, ἡμέρα Τρίτ.

## ΠΑΣΧΑΛΙΟΝ
ΤΟΥ ΕΤΟΥΣ.
1900. ,αύ. ,ζυή. Βίσεκτος.

Ἰνδικτιῶνος ιγ'.
Ἡλίου Κύκλοι ιϛ'.
Σελήνης Κύκλοι ιζ'.
Θεμέλιον Σελήνης ί.
Παραμονὴ τῶν Χριστουγέν. ἡμ. Παρ.
Κρεωφαγία, ἡμέραι ν'.
Τὸ Τριῴδιον ἄρχεται Ἰανουαρίου λ'.
Εὠθινὸν ιά. Ἦχος πλ. δ'.
Ἡ Ἀποκρέα, Φεβρουαρίου ιγ'.
Τοῦ Εὐαγγ. τῷ Σαβ. τῆς έ. Ἑβδομ.
Νομικὸν Φάσκα, Ἀπριλίου έ.
Λατίνων Πάσχα, Ἀπριλίου β'.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλίου θ'.
Τῆς Ἀναλήψεως, Μαΐου ιή.
Τῆς Πεντηκοστῆς, Μαΐου κή.
Τῶν Ἁγίων Πάντων, Ἰουνίου δ'.
Ἡ νηστεία τῶν ἁγ. Ἀποστ. ἡμ. κδ'.
Ἡ μνήμη αὐτῶν, ἡμέρα Πέμπ.

ΑΝΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημοσία Κεντρική Βιβλιοθήκη Ζακύνθου - Μουσείο Τυπάλδων Ιακωβατείων

# ΚΑΝΟΝΙΟΝ

## ΤΟΥ ΕΥΡΙΣΚΕΙΝ

Ἐν ποίᾳ ἡμέρᾳ τῆς Ἑβδομάδος ἄρχεται ἕκαστος Μήν.

| Οἱ δώδεκα Μῆνες, καὶ αἱ ἡμέραι αὐτῶν. | | Οἱ εἰκοσιοκτὼ Κύκλοι τοῦ Ἡλίου. | | | | | | |
|---|---|---|---|---|---|---|---|---|
| Μῆνες. | Ἡμέραι. | 1 | 2 | 3 | 9 | 10 | 5 | 6 |
| | | 7 | 13 | 14 | 15 | 21 | 11 | 17 |
| | | 18 | 19 | 25 | 26 | 27 | 22 | 23 |
| | | 12 | 24 | 8 | 20 | 4 | 16 | 28 |
| Μάρτιος. | 31 | ϛ′ | Ζ′ | Α′ | Β′ | Γ′ | Δ′ | Ε′ |
| Ἀπρίλιος. | 30 | Β′ | Γ′ | Δ′ | Ε′ | ϛ′ | Ζ′ | Α′ |
| Μάϊος. | 31 | Δ′ | Ε′ | ϛ′ | Ζ′ | Α′ | Β′ | Γ′ |
| Ἰούνιος. | 30 | Ζ′ | Α′ | Β′ | Γ′ | Δ′ | Ε′ | ϛ′ |
| Ἰούλιος. | 31 | Β′ | Γ′ | Δ′ | Ε′ | ϛ′ | Ζ′ | Α′ |
| Αὔγουστος. | 31 | Ε′ | ϛ′ | Ζ′ | Α′ | Β′ | Γ′ | Δ′ |
| Σεπτέμβριος. | 30 | Α′ | Β′ | Γ′ | Δ′ | Ε′ | ϛ′ | Ζ′ |
| Ὀκτώβριος. | 31 | Γ′ | Δ′ | Ε′ | ϛ′ | Ζ′ | Α′ | Β′ |
| Νοέμβριος. | 30 | ϛ′ | Ζ′ | Α′ | Β′ | Γ′ | Δ′ | Ε′ |
| Δεκέμβριος. | 31 | Α′ | Β′ | Γ′ | Δ′ | Ε′ | ϛ′ | Ζ′ |
| Ἰανουάριος. | 31 | Δ′ | Ε′ | ϛ′ | Ζ′ | Α′ | Β′ | Γ′ |
| Φεβρουάριος. | 28 ἢ 29 | Ζ′ | Α′ | Β′ | Γ′ | Δ′ | Ε′ | ϛ′ |

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΕΡΜΗΝΕΙΑ

## Τοῦ εὑρίσκειν τὴν ἀρχὴν ἑκάστου Μηνὸς εἰς τὸ ἀντικρὺ Κανόνιον.

Ἐὰν θέλῃς νὰ εὕρῃς εἰς ποίαν ἡμέραν τῆς Ἑβδομάδος ἄρχεται ὁ Μὴν, εὑρὲ πρῶτον, εἰς τὸ Πασχάλιον τοῦ τρέχοντος ἔτους, τὸν τυχόντα εἰς αὐτὸ Κύκλον τοῦ Ἡλίου· εἶτα, στραφεὶς εἰς τὸ παρὸν Κανόνιον, ἄνωθεν τοῦ ὁποίου εἶναι γεγραμμένοι ὅλοι ὁμοῦ τοῦ Ἡλίου οἱ κύκλοι, ἰδὲ, εἰς ποῖον τετράγωνον διασταυρόνεται ὁ εὑρεθεὶς αὐτὸς κύκλος μὲ τὸν ζητούμενον Μῆνα, καὶ ἐκεῖ βλέπεις τὴν ἡμέραν, σημειουμένην διὰ τῶν γραμμάτων Α΄. Β΄, Γ΄. Δ΄, κ. τ. λ. δηλοῦσι δὲ τὸ μὲν Α΄. πρώτην ἡμέραν, ἤγουν Κυριακήν· τὸ δὲ Β΄. Δευτέραν· τὸ Γ΄. Τρίτην· τὸ Δ΄. Τετάρτην· τὸ Ε΄. Πέμπτην· τὸ Ϛ΄. ἕκτην, ἤγουν Παρασκευήν· καὶ τὸ Ζ΄. ἑβδόμην, ὅ ἐστι Σάββατον.

Παραδείγματος χάριν, κατὰ τὸ 1838 Ἔτος ἔχομεν Κύκλον τοῦ Ἡλίου ί. Θέλοντες δὲ, ἐξ ὑποθέσεως, νὰ εὕρωμεν τὴν ἡμέραν, καθ' ἣν ἄρχεται ὁ Σεπτέμβριος Μὴν, βλέπομεν ὅτι αὐτὸς διασταυρόνεται καὶ συμπίπτει εἰς ἐκεῖνο τὸ τετράγωνον, ὅπου εἶναι γεγραμμένον Ε΄. ἐκ τούτου μανθάνομεν, ὅτι ὁ Σεπτέμβριος ἄρχεται ἡμέρᾳ Πέμπτῃ.

Ἐὰν δὲ ὁ ζητούμενος Μὴν ἦναι ὁ Ἰανουάριος, ἢ ὁ Φεβρουάριος, τότε πρέπει νὰ κρατῇς τὸν κύκλον τοῦ Ἡλίου τοῦ παλαιοῦ Ἔτους. Οὕτω. π. χ. εἰς τὸ 1839 Ἔτος, εἰς τὸ ὁποῖον εἶναι Κύκλος τοῦ Ἡλίου 10, ἡ πρωτομηνία τοῦ Ἰανουαρίου καὶ Φεβρουαρίου μηνὸς εὑρίσκεται μὲ τὸν 4 κύκλον τοῦ Ἡλίου, καὶ οὐχὶ μὲ τὸν 5.

Δημόσιες Βιβλιοθήκες

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΣΕΛΗΝΟΔΡΟΜΙΟΝ ΠΑΝΤΟΤΕΙΝΟΝ

| Οἱ 19 Κύκλοι τῆς Σελήνης. | Οἱ δώδεκα Μῆνες τοῦ ἐνιαυτοῦ. | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| | Μάρτιος. | Ἀπρίλιος. | Μάϊος. | Ἰούνιος. | Ἰούλιος. | Αὔγουστος. | Σεπτέμβριος. | Ὀκτώβριος. | Νοέμβριος. | Δεκέμβριος. | Ἰανουάριος. | Φεβρουάριος. |
| 1 | 15 | 14 | 13 | 12 | 11 | 10 | 9 | 8 | 7 | 6 | 5 | 4 |
| 2 | 4 | 3 | 2 | 1/30 | 30 | 29 | 28 | 27 | 26 | 25 | 24 | 23 |
| 3 | 23 | 22 | 21 | 20 | 19 | 18 | 17 | 16 | 15 | 14 | 13 | 12 |
| 4 | 12 | 11 | 10 | 9 | 8 | 7 | 6 | 5 | 4 | 3 | 2 | 1 |
| 5 | 1/31 | 30 | 29 | 28 | 27 | 26 | 25 | 24 | 23 | 22 | 21 | 20 |
| 6 | 20 | 19 | 18 | 17 | 16 | 15 | 14 | 13 | 12 | 11 | 10 | 9 |
| 7 | 9 | 8 | 7 | 6 | 5 | 4 | 3 | 2 | 1/30 | 30 | 29 | 28 |
| 8 | 28 | 27 | 26 | 25 | 24 | 23 | 22 | 21 | 20 | 19 | 18 | 17 |
| 9 | 17 | 16 | 15 | 14 | 13 | 12 | 11 | 10 | 9 | 8 | 7 | 6 |
| 10 | 6 | 5 | 4 | 3 | 2 | 1/31 | 30 | 29 | 28 | 27 | 26 | 25 |
| 11 | 25 | 24 | 23 | 22 | 21 | 20 | 19 | 18 | 17 | 16 | 15 | 14 |
| 12 | 14 | 13 | 12 | 11 | 10 | 9 | 8 | 7 | 6 | 5 | 4 | 3 |
| 13 | 3 | 2 | 1/31 | 30 | 29 | 28 | 27 | 26 | 25 | 24 | 23 | 22 |
| 14 | 22 | 21 | 20 | 19 | 18 | 17 | 16 | 15 | 14 | 13 | 12 | 11 |
| 15 | 11 | 10 | 9 | 8 | 7 | 6 | 5 | 4 | 3 | 2 | 1/31 | 30 |
| 16 | 30 | 29 | 28 | 27 | 26 | 25 | 24 | 23 | 22 | 21 | 20 | 19 |
| 17 | 19 | 18 | 17 | 16 | 15 | 14 | 13 | 12 | 11 | 10 | 9 | 8 |
| 18 | 8 | 7 | 6 | 5 | 4 | 3 | 2 | 1/31 | 30 | 29 | 28 | 27 |
| 19 | 27 | 26 | 25 | 24 | 23 | 22 | 21 | 20 | 19 | 18 | 17 | 16 |

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΕΡΜΗΝΕΙΑ

## Τοῦ εὑρίσκειν τὴν ἡμέραν τοῦ Μηνὸς, καθ' ἣν γίνεται νέα Σελήνη.

Ἐὰν θέλῃς νὰ εὕρῃς εἰς ποίαν ἡμέραν τοῦ Μηνὸς γίνεται νέα Σελήνη, ζήτησον τὸν κύκλον αὐτῆς, εἰς τὸ Πασχάλιον τοῦ τρέχοντος ἔτους· εἶτα, στραφεὶς εἰς τὸ ἀντικρὺ Κανόνιον, εἰς τὰ ἀριστερὰ τοῦ ὁποίου εἶναι ἄλοι τῆς Σελήνης οἱ κύκλοι γεγραμμένοι, καὶ κρατήσας τὸν εὑρεθέντα κύκλον αὐτῆς, ἰδὲ εἰς ποῖον τετράγωνον συναπαντᾷ αὐτὸς μὲ τὸν ζητούμενον Μῆνα, καὶ ἐκεῖ εὑρίσκεις σημειουμένην τὴν ἡμέραν αὐτοῦ, καθ' ἣν γένεται ἡ νέα Σελήνη.

Παραδείγματος χάριν, κατὰ τὸ 1838 Ἔτος, ἔχοντες κύκλον τῆς Σελήνης 12, βλέπομεν εἰς τὸ Κανόνιον, ὅτι ὁ κύκλος οὗτος συναπαντᾷ μὲ τὸν Αὔγουστον, φέρ' εἰπεῖν, εἰς τὸ τετράγωνον ἐκεῖνο, ὅπου εἶναι ἀριθμὸς 9. ἐκ τούτου μανθάνομεν, ὅτι διὰ τὴν ἐνάτην τοῦ Αὐγούστου Μηνὸς ἔχομεν νέαν Σελήνην.

Ἐὰν δὲ ζητῇς αὐτὴν εἰς τὰς ἡμέρας τοῦ Ἰανουαρίου, ἢ τοῦ Φεβρουαρίου Μηνὸς, τότε πρέπει νὰ κρατῇς τὸν κύκλον τῆς Σελήνης τοῦ παλαιοῦ Ἔτους. Οὕτω, π. χ. κατὰ τὸ 1839 Ἔτος, εἰς τὸ ὁποῖον κύκλος τῆς Σελήνης εἶναι 13, ἡ νέα Σελήνη γίνεται τὸν μὲν Ἰανουάριον, κατὰ τὴν τετάρτην αὐτοῦ· τὸν δὲ Φεβρουάριον, κατὰ τὴν τρίτην τὰς ὁποίας εὑρίσκεις, ἐὰν κρατήσῃς κύκλον τῆς Σελήνης οὐχὶ τὸν 13, ἀλλὰ τὸν αὐτὸν πάλιν 12.

Σημείωσαι δέ, ὅτι εἰς τετράγωνα τινὰ εὑρίσκονται ὁμοῦ δύο ἀριθμοὶ, καὶ 30. ἢ 1 καὶ 31. τὸ ὁποῖον δηλοῖ, ὅτι κατ' αὐτὸν τὸν Μῆνα γίνεται νέα Σελήνη δίς· τὴν πρώτην δηλαδὴ, καὶ τελευταίαν αὐτοῦ ἡμέραν.

Τέλος τοῦ Παραρτήματος, καὶ τῆς ὅλης Βίβλου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΠΙΝΑΞ ΣΥΝΟΠΤΙΚΟΣ

## Τῶν ἐν τῇ παρούσῃ Βίβλῳ περιεχομένων.


| | Σελ. | ἐ. |
|---|---|---|
| Ἐ ἰδηγητις πρὸς τοὺς ἀναγινώσκοντας | | |
| Ἐπιστολὴ τοῦ Ἐκδότου πρὸς τὸν Πατριάρχην | » | Σ'. |
| Ἀπόκρισις τοῦ Πατριάρχου πρὸς αὐτὴν | » | υ'. |
| Προσευχὴ Προοιμιακὴ | » | 1 |
| Τὸ καθ' ἡμέραν Μεσονυκτικόν | » | 3 |
| Τὸ τοῦ Σαββάτου Μεσονυκτικόν | » | 23 |
| Τὸ τῆς Κυριακῆς Μεσονυκτικόν | » | 33 |
| Ἀκολουθία τοῦ Ὄρθρου | » | 34 |
| Ὕμνοι Τριαδικοί | » | 44 |
| Εὐλογηταρία Ἀναστάσιμα | » | 48 |
| Εὐλογηταρία Νεκρώσιμα | » | 49 |
| Ὥρα Πρώτη, μετὰ τοῦ Μεσωρίου αὐτῆς | » | 77 |
| Ὥρα Τρίτη, μετὰ τοῦ Μεσωρίου αὐτῆς | » | 86 |
| Ὥρα Ἕκτη, μετὰ τοῦ Μεσωρίου αὐτῆς | » | 93 |
| Τὰ Τυπικὰ | » | 102 |
| Εὐχὴ πρὸ τοῦ Ἀρίστου, καὶ ἡ μετ' αὐτὸ Εὐχαριστία | » | 110 |
| Ὥρα Ἐννάτη, μετὰ τοῦ Μεσωρίου αὐτῆς | » | 115 |
| Ἀκολουθία τοῦ Ἑσπερινοῦ | » | 123 |
| Εὐχὴ πρὸ τοῦ Δείπνου, καὶ ἡ μετ' αὐτὸ Εὐχαριστία | » | 132 |
| Τὸ Μέγα Ἀπόδειπνον | » | 133 |
| Τὸ Μικρὸν Ἀπόδειπνον | » | 159 |
| Ἀπολυτίκια καὶ Κοντάκια τοῦ ὅλου Μηνολογίου | » | 169 |
| Ἀπολυτίκια καὶ Κοντάκια τοῦ Τριῳδίου καὶ Πεντηκοσταρίου | » | 362 |
| Ἀπολυτίκια Ἀναστάσιμα, μετὰ τῶν Θεοτοκίων καὶ Ὑπακοῶν | » | 406 |
| Ἀπολυτίκια τῆς ὅλης Ἑβδομάδος | » | 411 |
| Θεοτοκία Ἀπολυτίκια εἰς ἕκαστον Ἦχον | » | 414 |
| Ἀκολουθία Εἰς τὸν Ἀκάθιστον Ὕμνον | » | 431 |
| Ἀκολουθία Εἰς τοὺς δύο Παρακλητικοὺς Κανόνας | » | 451 |
| Ἀκολουθία Τῆς Θείας Μεταλήψεως | » | 473 |
| Κανὼν ἱκετήριος Εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν | » | 495 |
| Κανὼν ἱκετήριος Εἰς τὸν Ἄγγελον τὸν φύλακα τῆς τοῦ ἀνθρώπου ζωῆς | » | 503 |
| Κανὼν ἱκετήριος Εἰς τοὺς Ἀγγέλους, καὶ πάντας τοὺς Ἁγίους | » | 513 |
| Οἱ εἰς τὸν τίμιον Σταυρὸν εἰκοσιτέσσαρες Οἶκοι | » | 519 |
| Εὐαγγέλιον τῆς Κυριακῆς τοῦ Πάσχα | » | 534 |
| Σύμβολον τῆς πίστεως τοῦ ἁγίου Ἀθανασίου | » | 535 |
| Σύνοψις Κανόνων τινῶν ἱερῶν | » | 537 |
| Πίναξ αλφαβητικὸς πάντων τῶν περιεχομένων | » | 541 |
| Πασχάλια ΟΒ' ἔτη | » | 554 |


ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

Δημοτική Κεντρική Βιβλιοθήκη Δημοσιού -
Μουσείο Τυπογλύφων Ιακωβατών